3 1761 06636310 2

ΙΩΑΝΝΟΥ ΤΟΥ ΖΩΝΑΡΑ

ΕΠΙΤΟΜΗ ΙΣΤΟΡΙΩΝ.

IOANNIS ZONARAE

EPITOME HISTORIARUM.

CUM

CAROLI DUCANGII SUISQUE
ANNOTATIONIBUS

EDIDIT

LUDOVICUS DINDORFIUS.

VOL. IV.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Quo expeditior in prioribus duodecim libris fontium unde epitomen suam conflavit Zonaras indagatio est et comparatio, quum et supersint scriptores quos sequitur et eosdem ipse interdum nominet, eo minus idem fieri potest in sex postremis. Nusquam enim eiusmodi exhibuit chronographorum qui res illis expositas persequuti essent recensum qualem Georgius Cedrenus et Ioannes Scylitzes Synopsis uterque suae initio, sed Dionem, Eusebium, Procopium semel iterumque memorans ceterorum nomina non prodit, et si prodidisset, nihil fere hoc profuisset, quum omnia sua ex perditis fere hodie duxerit historicis, quos et ipsos raro nominat, ut Malchum, Psellum, Theodorum, Thracesium, quem esse Ioannem Thracesium intelligitur ex Cedreno p. 2, A, ubi memoratur ὁ πρωτοβεστιάριος Ἰωάννης ὁ Θρᾳκήσιος τὸ ἐπώνυμον. Itaque quum per libros priores duodecim in imis paginarum marginibus indicati sint historici quos excerpsit, nihil tale fieri potuit in sex postremis, nec quicquam superest ei qui res ab eo narratas accuratius velit excutere quam ut ceterorum qui easdem exposuerunt chronographorum instituat comparationem. Quod quum pro se quisque sua sponte sit facturus qui uni Zonarae nolit fidem habere, iam Ducangius intellexit inutilem esse singulorum verborum comparationem, quae modo eadem sunt apud utrosque modo longe diversa, nisi quatenus partim librorum vitia ita coarguuntur partim ipsorum peccata compilatorum, quorum alter altero saepe magis depravat

quem sequitur scriptorem. Veluti quum Theophanes Chronogr. p. 5, C scribit: *Ἀλλὰ καὶ Κράσσος ἀντῆρε καὶ Βρεττανίαν κατέσχε, καὶ οἱ πέντε Γεντιανοὶ τὴν Ἀφρικὴν καὶ Ἀχιλλεὺς τὴν Αἴγυπτον·* et D: *Ἄρτι μὲν γὰρ ἐπικλύσαντες οἱ Ἀλανοὶ τῷ Κωνσταντίου στρατῷ ἄχρι καὶ εἰς τὰ τείχη κατεδίωξαν. αὐτὸς δὲ ἠκολούθει τελευταῖος φεύγοντι τῷ στρατῷ. ἐπειδὴ δὲ κεκλεισμένων τῶν πυλῶν οὐδὲ ἔσω τοῦ τείχους ἠδυνήθη εἰσελθεῖν, χεῖρας ἐξέτειναν οἱ πολέμιοι πρὸς τὸ συλλαβεῖν αὐτόν, σχοινίοις δὲ καθέντες ἀπὸ τοῦ τείχους ἀνείλκυσαν αὐτόν. ἔσω δὲ γενόμενος, καὶ τὸν στρατὸν παραθαρσύνας, ἐπεξελθὼν τοῖς Ἀλανοῖς νίκην ἔσχε λαμπράν, ὥστε ἑξακισχιλίους πεσεῖν*, eandem historiam ita narrat Zonaras vol. 1, p. 641, A: *Κράσον δὲ Βρεττανίαν κατεσχηκότα ἐπὶ ἐνιαυτοὺς τρεῖς ὁ ἔπαρχος ἀνεῖλεν Ἀσκληπιόδοτος· καὶ πέντε τινῶν Γεντιανῶν τὴν Ἀφρικὴν κατασχόντων ὁ Ἑρκούλιος τούτους κατηγωνίσατο. ὁ δέ γε Καῖσαρ Κώνστας ἐν ταῖς Γαλλίαις πρὸς Ἀλαμαννοὺς μαχόμενος τῆς αὐτῆς ἡμέρας ἥττητο καὶ νενίκηκε. πρότερον μὲν γὰρ τῶν Ἀλαμαννῶν τῇ αὐτοῦ στρατιᾷ μετὰ ῥύμης ἐφορμησάντων σφοδρᾶς, εἰς φυγὴν ἐτράπησαν ἅπαντες. οἷς καὶ αὐτὸς ὁ Κώνστας συναποδιδράσκων ἑάλω ἂν παρὰ βραχύ. ὀπίσω γὰρ ἐρχόμενος κεκλεισμένας εὗρε τὰς πύλας τῆς πόλεως· οἱ δὲ διώκοντες ἐγγίζοντες ἤδη ἕτοιμοι ἦσαν ἐκεῖνον συλλήψεσθαι, καὶ κἂν ἀπήχθη δέσμιος, εἰ μὴ σχοίνους ἐκ τοῦ τείχους ἄνωθεν καθιμήσαντες ταύταις αὐτὸν ἀνιμήσαντο. οὕτω δὲ περισωθεὶς καὶ τῆς πόλεως ἐντὸς γεγονώς, καὶ τὴν στρατιὰν ἀθροίσας αὐτίκα καὶ λόγοις αὐτὴν παρακλητικοῖς εἰς ἀλκὴν διεγείρας καὶ θάρσος οἷον ἐμπνεύσας αὐτῇ, ἔξεισιν εὐθὺς καὶ συμμίξας τοῖς πολεμίοις νικᾷ νίκην περιφανῆ, ὥστε περὶ ἑξήκοντα χιλιάδας ἐκείνων πεσεῖν.* Ubi etsi *Ἀλανοὶ* pro *Ἀλαμαννοὶ* apud Theophanem bis fortasse est illatum ab librario, ut Goarus putabat, quum eadem nomina permutata sint apud Agathiam, atque etiam *πέντε Γεντιανοί*, ut idem volebat, in *Πεντεγεντιανοὶ* mutandum, Zonarae tamen manifesta sunt peccata non solum *Κώνστας* pro *Κωνστάντιος*, ut solet Constantium Chlorum modo sic modo *Κώνσταν* vocare, sed etiam ridiculum illud *πέντε τινῶν Γεντιανῶν* de Quinquegentianis, et *ἑξήκοντα χιλιάδες* pro *ἑξακισχίλιοι.*

Quibus addendi sunt quos aut ipse tacito expilat, ut Annam Comnenam et Leonem Diaconum, aut qui ipsum modo nominantes, ut Ioannes Glycas, modo non, ut Ephraemus per totum Caesarum opus longissimum ipsa saepe Zonarae verba repetens, vicissim in usos suos converterunt. Et de Anna quidem notabile est quod nisi casu factum esset ut expedire liceret, nemo potuisset explicare, quomodo illam simul et sequi et non sequi videatur, hoc est quod non ipsam adhibuit Annam, sed Alexiadis epitomen hodie superstitem. De qua Schopenus praef. vol. 1, p. XVII seq.: „Ab his Epitomis diversa et multo maioris ad crisin momenti est alia Alexiados Epitome, libris VIII, quae codice Augustano, nunc Monacensi, continetur, opera Dav. Hoeschelii edita August. Vindel. a. 1610. Quae eas, quas Gronovius descripsit, longo intervallo vetustate praestat, siquidem confecta est ipsis Annae Comnenae temporibus. Cuius rei argumento est quod Io. Zonaras, Annae aequalis, ea iam usus reperitur. Sic, ut hoc utur, Annal. t. 3, p. 236 ed. Wolf., ubi rem, ab Anna l. 5, 5, p. 248 traditam, refert, huius narrationem non ipse compendi fecit, sed qualis in Epitome legitur, ad verbum exscripsit: *οὗτος τῶν ἐπ' ἀνδρείᾳ βεβοημένων· τὸν ἀδελφὸν ἀδριανὸν εἰς βασιλέα μετασχηματίσας. ᾧ στράτευμα δοὺς ἐναντίον τοῦ στρατεύματος ῥομπέρτου στῆναι διακελεύεται. εἰ δ' ἐκεῖνος ὁρμήσει μαχέσασθαι, στρέψαι τὰ νῶτα καὶ αὐτίκα φυγεῖν. ταῦτα μὲν οὖν τῷ ἐσχηματισμένῳ βασιλεῖ ἐνετείλατο. ἐκεῖνος δὲ μετὰ τῆς λοιπῆς στρατιᾶς δι' ὁδῶν ἀδήλων περιοδεύσας καὶ τῷ τῶν φράγγων ἐμβαλὼν χάρακι τάς τε σκηνὰς αὐτῶν καὶ τοὺς* (leg. *τὰ*) *ἐν αὐταῖς ἐληίσατο καὶ φόνον πολὺν ἐποιήσατο. τοῦ βαϊμούνδου δὲ κατὰ τοῦ ἐσχηματισμένου βασιλέως ὁρμήσαντος, κἀκεῖνος καὶ ἡ σὺν αὐτῷ στρατιὰ τὰ χαλινὰ χαλάσαντες ἔφυγον. ὁ δὲ βάρβαρος ἐγαυρία μᾶλλον καὶ ἐπῆρτο ὡς ἀπροσμάχητος. ἐν τούτῳ δ' ἀγγέλλεται αὐτῷ τοῦ χάρακος ἡ ἐκπόρθησις καὶ ἡ φθορὰ τῶν ἐκεῖ· καὶ εὐθὺς παρεῖτο . . . . . ἀκούσας δὲ τὰ παρὰ τοῦ βρυεννίου μηνυθέντα,* quae ad verbum descripsit Zonaras l. c. [vol. 4, p. 238, 17 seqq. huius ed. Nam apud Annam diversissima leguntur.] . . .“ Quibus addit: „Epitome illa egregium ad textus emendationem adminiculum censeri debet: cuius

accurato usu didici nullum facile codicem esse cui Anna tantum debeat quantum huic Epitomae; quippe quae sola non modo lectionis veritatem saepissime tueatur, verum etiam plura, quae mutila leguntur in reliquis libris, sana et integra exhibeat."

Praeter Glycam qui Zonaram memorarit unum invenio Methodium in Maii Nova Coll. Vat. vol. 8, p. 247: *Τούτου (Μαξιμιανοῦ) τελευτήσαντος ὁ ἱερὸς ἐκ Κυζίκου μετατίθεται Πρόκλος εἰς Κωνσταντινούπολιν, εἰδήσει καὶ συναινέσει τοῦ τηνικαῦτα Ῥώμης ἀρχιερέως, ὡς ὁ Ζωναρᾶς ἱστορεῖ ἐν τῷ χρονικῷ αὐτοῦ* (W. III, 35, 42), ut Zonarae epitomen semper dicit etiam Glycas, cuius locos indicat ed. Bonn.

Quae Ducangius vol. 2, p. 320—362 posuerat argumenta et inscripserat „συνόψεις, quae in aliquot codd. mss. ac in editione Wolfiana marginibus adscribuntur, de quibus agitur in praefatione (vol. 1, p. XIX, XX huius ed.)", ea ab Wolfio maximam partem ducta ex codice Monacensi n. 324, de quo dixi ibid. p. III, ex eodem ego multo auctiora et emendatiora exhibui huius voluminis p. 264—382. Paucissima, quae Ducangius addiderat, uncis inclusi: quae si ex libris sunt ducta, mirum est non multo plura ex iisdem Wolfianae vitia ab eo esse emendata, sed novis multis cumulata, quae nusquam fere notavi, ut Wolfianae leviora multa omisi.

Adhibito autem hoc codice ad argumenta illa, hunc librum, quem partim excerpta ex eo apud Wolfium partim exhibita a Pindero collatio ad prooemium et libros VII—XII, prodere viderentur vix referre ad totam Zonarae epitomen comparari, in partibus nondum collatis non solum plurima confirmare deprehendi quae ex uno Parisino illo, de quo dixi praef. vol. 1, p. III, IV, essent prolata, sed etiam multa habere peculiaria et, ut omnes Zonarae libri varios singuli experti sunt correctores, qui in posteriori maxime operis parte incredibili sunt licentia grassati, diversam et ipsum ab reliquis recensionem exhibere. Quamobrem dignum iudicavi cuius integri ede-

rem collationem cum editione Ducangii institutam, cui in universum est similior, quum Wolfius, quem fere expressit Ducangius, eundem plerumque esset sequutus, sed ut partim multa eius bona et iam Parisini illius consensu confirmata sperneret partim peculiaria ei correctorum commenta, quale v. c. notavi vol. 1, p. 16, 8, ubi deceptus ab hoc libro pro eo quod est in ceteris omnibus *Γηὼν δὲ καλεῖται ὁ δεύτερος· σημαίνει δὲ ἡ κλῆσις τὸν ἀπὸ τῆς ἀνατολῆς ἐκδιδόμενον, ὃν Νεῖλον Ἰώσηπος λέγει προσαγορεύειν τοὺς Ἕλληνας. ὁ δ' ἐπὶ τούτῳ Τίγρις ἐστίν, ὃν καὶ Διγλὰθ καλεῖσθαί φησιν ὁ αὐτός, καὶ τὸ μετὰ στενότητος ὀξὺ ἐμφαίνεσθαι τῷ ὀνόματι. ὁ δὲ λοιπὸς Εὐφράτης ἐστὶν ἤτοι φορά, ἢ ἄνθος ἢ σκεδασμός*, haec ex eo recepit: *διιὼν χώραν καὶ πᾶσαν τὴν γῆν κυκλῶν Εὐιλάν. τῷ δὲ δευτέρῳ ποταμῷ Γεὼν τοὔνομα· δηλοῖ δὲ τοῦτο πολύ. Νεῖλος δ' οὗτος τοῖς Ἕλλησι κέκληται. οὗτος δ' ἐστὶν ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίαν. ὁ δέ γε τρίτος Τίγρης ἐπονομάζεται, τουτέστιν ἠχῶν. ὁ δὲ λοιπὸς Εὐφράτης ἐστίν, ἤτοι φορὰ ἤγουν κίνησις*, aut appendices, qualem ib. p. 11 abieci, reciperet.

Huius igitur libri, pariter atque Parisini, de quo dixi praef. vol. 1, p. III, collationes cum Ducangii annotationibus selectis et contractis proximum continebit volumen.

1

Ὁ μὲν οὖν Θεόφιλος ἐπὶ τούτοις ἀπεβίω, ἡ δὲ PII152 D
τῆς βασιλείας ἀρχὴ πρὸς τὸν ἐκείνου μετεβιβάσθη WIII123
παῖδα τὸν Μιχαήλ, ἔτι παιδίον τυγχάνοντα, ᾧ καὶ ἐπιτρόπους ὁ πατὴρ καταλέλοιπε τὸν μάγιστρον Μανουὴλ καὶ τὸν πατρίκιον Θεόκτιστον. τὴν δὲ τῶν πραγμάτων διοίκησιν ἡ βασιλὶς Θεοδώρα μετεχειρίζετο, καὶ πρῶτον αὐτῇ γέγονε σπούδασμα ἡ τοῦ PII153
διωγμοῦ τῶν ὀρθοδόξων διὰ τὰ σεπτὰ ἐκτυπώματα λώφησις, καὶ τοῦ πατρικίου Θεοκτίστου συνευδοκοῦντος. ὁ γὰρ Μανουὴλ οὐκ ἦν τῇ τῆς αἱρέσεως καθαιρέσει συγκάταινος· διὸ καὶ ἀνεβάλλετο ἡ πρᾶξις. ἀλλὰ γὰρ θραύει νόσῳ τοῦτον ἡ πρόνοια, καὶ ἡ νόσος ἦν κραταιὰ καὶ ἀπέγνωστο αὐτῷ ἡ ζωή. μοναχῶν δέ τινων εἰς ἐπίσκεψιν ἀφικομένων αὐτοῦ καὶ ὅπως ἔχει πυνθανομένων ἐκεῖνος λεπτῇ καὶ ἀδρανεῖ τῇ φωνῇ ὅσον ἤδη ἐκλείπειν ἀνταπεκρίνατο. οἱ δὲ "εἰ σύνθοιο" ἔφησαν "τῇ τῶν εἰκόνων συνευδοκῆσαι τιμῇ καὶ τὴν βασίλισσαν εἰς τοῦτο παρακροτῆσαι, οὐκ εἰς μακρὰν ἔσται σοι καὶ ῥῶσις σώματος καὶ σω- B
τηρία ψυχῆς. καὶ ὁ μὲν ἐπηγγείλατο, καὶ ἡ νόσος ἠσθένει καὶ ὁ Μανουὴλ ἀνερρώννυτο. ἤδη δὲ τὴν ὑγίειαν ἀπολαβὼν πρόσεισι τῇ βασιλίσσῃ, καὶ περὶ τῶν σεβαστῶν εἰκόνων ὡμίλει καὶ τὴν αὐτῶν κατήπειγεν ἀναστήλωσιν, ταῦτα καὶ τῆς μητρὸς αὐτῆς καὶ τῶν συγγόνων πρεσβευόντων τῶν πατρικίων. ἡ δὲ ξυρὸς ἦν εἰς ἀκόνην. καὶ πρότερον μὲν τοὺς

ἐν ὑπερορίαις παραπεμφθέντας παρὰ τοῦ Θεοφίλου
καὶ τοὺς καθειργμένους καὶ τοὺς ἄλλαις κακώσεσι
προσπαλαίοντας πάντας ἀνῆκεν. εἶτα καὶ ζήτησιν
C γενέσθαι προσέταξε περὶ τῆς αἱρέσεως, καὶ γενομέ-
νης ἡ τῶν ὀρθοδόξων ὑπερέσχε πληθύς. πρὸ τῆς
ζητήσεως δὲ τὸν ψευδώνυμον πατριάρχην τὸν γόητα
Ἰωάννην τοῦ ἀρχιερατικοῦ κατασπᾷ θρόνου, ἀθέ-
σμως ἐπιβεβηκότα τούτου ἐπὶ ἐνιαυτοὺς ἕξ, ἀντεισ-
άγει δὲ τὸν ἱερὸν καὶ θεῖον Μεθόδιον. καὶ αὐτοῦ
προεστῶτος τοῦ τῶν ὀρθοδόξων πληρώματος ἡ ζή-
τησις γέγονε καὶ ἡ τῶν ἁγίων ἐκτυπωμάτων εἰς
τοὐμφανὲς προσκύνησίς τε καὶ ἀναστήλωσις. ὅτε
φασὶ καὶ τὴν βασίλισσαν θερμότατα δεηθῆναι τοῦ τε
πατριάρχου καὶ τῶν ἄλλων ἀρχιερέων καὶ μοναχῶν
κοινὴν προσενεγκεῖν δέησιν τῷ θεῷ ὥστε σωτηρίας
D τυχεῖν τὸν βασιλέα καὶ ξυνευνέτην αὐτῆς· καὶ μέν-
W III 124 τοι καὶ θερμότατα δεηθῆναι αὐτοὺς τοῦ θεοῦ, καὶ
τὸν μὴ παριδεῖν τὴν αἴτησιν τῶν θεραπόντων αὐ-
τοῦ, ἀλλ' ἀξιῶσαι συγγνώμης τὸν βασιλέα Θεόφιλον.
ᾄδεται ταῦτα καὶ τοῖς ἀφορῶσι πρὸς τὸ φιλάνθρω-
πον τοῦ θεοῦ καὶ δέχεται καὶ πιστεύεται. ἀπιστήσει
γὰρ οὐδεὶς ἢ ὅστις οὐ μέγα οἴεται δύνασθαι τὰς τῶν
ἁγίων ἐντεύξεις τὰς πρὸς θεόν, οὐδ' ἀντιμετρεῖν
οἶδε τὴν τοῦ θεοῦ ἀγαθότητα πρὸς τὰ ἀνθρώπινα
ἀγνοήματα. ἡ μὲν οὖν τῶν ἁγίων εἰκόνων οὕτω
γέγονεν ἀναστήλωσις. ὁ δὲ καθαιρεθεὶς πατριάρχης
Ἰωάννης ἢ Ἰάννης, ἐν μονῇ τινι περιορισθεὶς καὶ εὑ-
P II 154 ρηκὼς ἐκεῖ εἰκόνα τοῦ σωτῆρος Χριστοῦ καὶ τῆς
αὐτὸν ἀσπόρως τεκούσης, τὰ ὄμματα τῶν σεβασμίων
ἐκτυπωμάτων ἐξώρυξεν. ὃ μαθοῦσα ἡ βασιλίς, καὶ
ζῆλον θεῖον ζηλώσασα, τοὺς τοῦ ἀσεβοῦς ἐκείνου
ἐκκοπῆναι προσέταξεν ὀφθαλμούς· ἀλλ' οὐκ εἰς

ἔργον ἐξέβη τὸ πρόσταγμα, τῇ βασιλίδι τὴν δικαίαν ὀργὴν καταπραϋνάντων τινῶν. πέμψασα δὲ σκυτάλῃ τοῦτον ᾐκίσατο, τῶν αἰκισμῶν παραταθέντων μέχρις ἑκατοντάδος διπλῆς. ἀλλὰ καὶ οὕτως ἔχων ὁ γόης καὶ οἱ ὁμοδοξοῦντες αὐτῷ καὶ τῇ αὐτῇ καθαιρέσει ὑποβληθέντες ἠρεμεῖν οὐκ ἠνείχοντο. συσκευάζουσι δὲ κατὰ τοῦ ἱεροῦ Μεθοδίου σκαιώρημα, τῆς αὐτῶν ἀπονοίας ἢ κακονοίας μᾶλλον ἐπάξιον. γύναιον γάρ B
τι αἰσχρὸν χρυσίου δόσει πολλοῦ ὑποφθείραντες κατηγορῆσαι πεπείκασι τοῦ ἀοιδίμου ἐκείνου ἀνδρὸς ὡς συμφθαρέντος αὐτῷ. καὶ τῆς κατηγορίας οἱ προύχοντες τῆς συγκλήτου παρῆσαν ἐξετασταί. καὶ παρῆκτο τὸ γύναιον, λέγον ὅσα παρὰ τῶν ἀσεβῶν ἐκείνων συκοφαντῶν προκατήχητο καὶ εἰς πρόσωπον ἐλέγχον δῆθεν τὸν ἅγιον. ὁ δὲ τέως μὲν ἡσυχίαν ἦγεν· ὡς δὲ σκυθρωπάζον ἑώρα τῆς ἐκκλησίας τὸ πλήρωμα, καὶ πρὸ τῶν ἄλλων τὸν μάγιστρον Μανουήλ, ἀνίσταται μέν, αἴρει δ' ἐπ' ὄψει πάντων ταῖς χερσὶ τὸ κράσπεδον τῆς περιβολῆς καὶ ἀπογυμνοῖ τὴν αἰδῶ· ἡ δὲ ἦν κατεψυγμένη πάντῃ καὶ μαρασμὸν ἀπό τινος συμβάματος ὑπομείνασα, ὡς δῆλον C
εἶναι μὴ δύνασθαι ταύτην πρὸς ἀφροδίσια ἐνεργεῖν. τοῦτο τοῖς μὲν ὀρθόφροσι χαρμονῆς καὶ θάμβους ἐγένετο αἴτιον, τοῖς δὲ συκοφάνταις αἰσχύνης καὶ ἀθυμίας πολλῆς. ὡς δ' ἠρωτᾶτο ὁ ἅγιος ὅθεν ὁ τῶν αἰδοίων αὐτῷ συμβέβηκε μαρασμός, ὁ αἰδοῖος ὄντως ἐκεῖνος "ἐστάλην" εἶπε "ποτὲ κατά τινα χρείαν εἰς Ῥώμην, κἀν ταύτῃ διάγοντι πύρωσίν μοι τῆς σαρκὸς ὁ δαίμων ἐπήνεγκε, καὶ ἦν τὸ πάθος σφοδρότατον καὶ ἡ τοῦ ἔρωτος οὐκ ἔληγε φλεγμονή, ἀλλ' ὁσημέραι ἀκμαιότερον ἐξεκάετο. δείσας οὖν περὶ τῷ σώφρονι λογισμῷ, μήποτε τῇ σαρκὸς ἀνάγκῃ ὑποσυρῇ,

D πρόσειμι τῇ κορυφαίᾳ τῶν ἀποστόλων δυάδι Πέτρῳ
καὶ Παύλῳ, καὶ τούτοις ἐδεόμην ἀμῦναί μοι κινδυ-
νεύοντι. ὑπνώττων τοίνυν νυκτὸς ὁρῶ τὼ ἄνδρε
μοι ἐφεστῶτε, καὶ ὁ Πέτρος ἔδοξε τοῖς δακτύλοις
ἅψασθαι τῆς αἰδοῦς καὶ λέγειν μοι μὴ πτοεῖσθαι,
πῦρ δέ μοι ἐδόκει τὰ παιδογόνα μόρια βόσκεσθαι,
ὡς ἐκ τῆς ἀλγηδόνος καὶ τὸν ὕπνον ἀνεῖναί με.
ἔκτοτε οὖν μοι τὰ μόρια ταῦτα νενέκρωται καὶ πύ-
ρωσις οὐκέτι μοι παρηνώχλησε. ταῦτα ὁ μάγιστρος
Μανουὴλ καὶ θεασάμενος καὶ πυθόμενος, αὐτίκα
W III 125 τὴν γυναῖκα παραστησάμενος ἠρώτα ὅθεν εἰς τὴν
κατὰ τοῦ ἁγίου συκοφαντίαν ὥρμητο, καὶ ἠπείλει,
εἰ μὴ πᾶσι θεῖτο τὴν ἀλήθειαν ἔκδηλον, αὐτίκα βα-
P II 155 σάνοις αὐτὴν παραδοῦναι, δι' ὧν ἂν ἐκβιασθείη ἐκ-
καλύψαι λαμπρῶς τὸ σκαιώρημα. ἡ δὲ οὐδὲν ἀπε-
κρύψατο, ἀλλὰ καὶ τοὺς τοῦ δράματος ἀπήγγειλε
πρωτουργοὺς καὶ τὴν ἑαυτῆς ἀπάτην καὶ τοῦ χρυσίου
τοῦ μὲν τὴν δόσιν, τοῦ δὲ τὴν ὑπόσχεσιν. ἔμελλον
οὖν οἱ κακοῦργοι ταῖς τῶν συκοφαντῶν ὑποβληθῆ-
ναι ποιναῖς, ἀλλ' ὁ μέγας Μεθόδιος αὐτοὺς τῆς τι-
μωρίας ἐρρύσατο· καὶ ταῦτα μὲν οὕτω γέγονεν.

2 Ὁ δὲ τῶν Βουλγάρων ἄρχων γυναικὶ τὴν τῶν
Ῥωμαίων βασιλείαν καὶ παιδὶ νεαρῷ κυβερνωμέ-
νην μαθών, στέλλει τινὰς τῶν αὐτοῦ ἀπειλῶν ἀφί-
στασθαι τῶν σπονδῶν καὶ ἆραι ὅπλα κατὰ τῆς τῶν
Ῥωμαίων ἀρχῆς. πρὸς ταῦτα τοίνυν δηλοῖ αὐτῷ ἡ
B βασίλισσα ὡς "ἀντιτάξομαί σοι πάντως κἀγώ, καὶ εἰ
μὲν θεοῦ διδόντος ὑπερέξω, ἔσῃ νικηθεὶς ὑπὸ γυ-
ναικός, καὶ ὅσον σοι τὸ τῆς αἰσχύνης ὑπόγυον λόγι-
σαι· εἰ δὲ νικήσεις ἴσως αὐτός, οὐκ ἔσται σοι σεμνὸν
τὸ εὐτύχημα γυναῖκα νικήσαντι." ὡς οὖν ταῦτα τῷ
βαρβάρῳ ἠγγέλθησαν, ἀνέστειλαν αὐτῷ τὴν ὁρμήν,

καί οἱ συμφέρον ἔκρινεν ἀνανεώσασθαι τὰς σπονδάς, καὶ αὗται ἀνεκαινίσθησαν. ἀδελφὴ δὲ τοῦ ἄρχοντος Βουλγαρίας αἰχμαλωτισθεῖσά ποτε, καὶ ἐν τοῖς βασιλείοις διάγουσα, τῷ θείῳ τε ἐτελέσθη βαπτίσματι καὶ γραμμάτων ἐν μυήσει ἐγένετο. ταύτην ὁ ἀδελφὸς ἀναδοθῆναί οἱ ἠξίωσε, καὶ ἡ μὲν ἐδόθη αὐτῷ· C ὁ δ' ἀντέδωκεν ἄνδρα τῶν λογίμων Θεόδωρον τὸν Κουφαρᾶν. ἡ δὲ τοῦ τῶν Βουλγάρων ἄρχοντος ἀδελφὴ ἀφικομένη πρὸς τὸν ὁμαίμονα ἐνῆγεν αὐτὸν εἰς τὴν τῶν χριστιανῶν θρησκείαν διὰ παντὸς αὐτῷ περὶ αὐτῆς διαλεγομένη καὶ τὰ χριστιανῶν μυστήρια ἐκθειάζουσα. ὁ δὲ ταῦτα καὶ παρὰ τοῦ Κουφαρᾶ προκατήχητο, ἀλλ' οὔπω ἐπέπειστο τῶν πατρίων ἀποστῆναι ἐθῶν. λιμὸς δὲ τοῖς Βουλγάροις συμβὰς καὶ αὐτὸν καὶ τὸ ἔθνος εἰς θεοσέβειαν μετερρύθμισεν. ὁ μὲν γὰρ τὸ ἔθνος ἅπαν ἐπίεζε, καὶ οὐκ ἦν ἀποφυγὴ τοῦ κακοῦ, φθορὰ δὲ τοῦ ἔθνους ἐγίνετο, καὶ ὁ σφῶν ἀρχηγὸς ἦν διὰ τοῦτο περιαλγής, καὶ ἀπο- D ρήσας εἰς τὸν παρὰ τῆς ἀδελφῆς αὐτῷ καταγγελλόμενον καταφεύγει θεόν, καὶ τοῦτον τοῦ λιμοῦ λυτῆρα καὶ τῆς τοῦ ἔθνους φθορᾶς ἐπεκέκλητο. ὡς δ' ἐνεργὴς ἦν ἡ ἐπίκλησις καὶ τῶν κακῶν ἀπηλλάγησαν, ἔγνω τοῦ ἐπικληθέντος τὴν δύναμιν, καὶ ἀξιοῖ σταλῆναι αὐτῷ τινα τὸν τὸ μυστήριον αὐτὸν μυήσοντα τῶν χριστιανῶν καὶ τελέσοντα τῷ θείῳ βαπτίσματι. καὶ ἀπεστάλη μὲν ἀρχιερεὺς πρὸς αὐτόν· ὁ δὲ καὶ ἐμυήθη καὶ ἐβαπτίσθη. οἱ Βούλγαροι δὲ ὡς τῆς πατρίου δόξης ἀποστάντος κατεξανίστανται τοῦ σφῶν ἀρχηγοῦ καὶ ἐζήτουν αὐτὸν ἀνελεῖν. ὁ δὲ τῷ τοῦ σταυροῦ σημείῳ θαρρήσας προπορευομένῳ αὐτοῦ νικᾷ τοὺς ἀντιστάντας αὐτῷ, καὶ οὕτω πάντες εἵλοντο τὰ τῶν χριστιανῶν. εἶτα διεπρεσβεύσατο ὁ PII156

τούτων ἐξάρχων πρὸς τὴν βασίλισσαν, αἰτῶν γῆς αὐτῷ παραχωρηθῆναι Ῥωμαΐκῆς, στενοχωρεῖσθαι γὰρ τὸ ἔθνος αὐτοῦ, καὶ ἀϊδίους σπονδὰς πρὸς Ῥωμαίους καὶ ὁμαιχμίαν ἐπαγγελλόμενος, καὶ ἡ βασιλὶς τὴν αἴτησιν ἐξεπλήρωσε, καί οἱ τῆς ἀπὸ τῆς λεγομένης Σιδηρᾶς παρεχώρησε χώρας, ἣ τὰ Ῥωμαίων καὶ Βουλγάρων διώριζε πρίν, μέχρι τῆς Δεβελτοῦ· W III 126 *ἣν λαχόντες οἱ Βούλγαροι κεκλήκασι Ζαγορᾶν. κἀντεῦθεν εἰρήνη γέγονε περὶ τὰ ἑσπέρια. κατὰ δὲ τὴν ἑῴαν τὸ τῶν Μανιχαίων γένος ἦν παμπληθές, οἳ καὶ Παυλικιανοὶ ἀγροικότερον πρὸς τοῦ δημώδους* B *ὄχλου καλοῦνται, ἐκ Παύλου καὶ Ἰωάννου τῆς κλήσεως συγκειμένης αὐτοῖς· τὼ δ᾽ ἄνδρε τούτω παρὰ Μανιχαίοις ἐγενέσθην ὀνομαστώ, εἰ καὶ μὴ ἤστην αἱρεσιάρχα καὶ τῆς κακοδοξίας γεννήτορε, ζηλωτὰ δὲ ταύτης καὶ σπουδαστὰ διαφερόντως καὶ κήρυκε. καὶ τούτους τοίνυν ἡ βασιλὶς εἰς νοῦν ἐβάλετο μεταγαγεῖν εἰς ὀρθοδοξίαν ἐκ τῆς αἱρέσεως, καὶ στέλλει τοὺς τοῦτο σπεύσοντας ἄνδρας τῶν ἐπιφανεστέρων. οἱ δὲ ἀδεξίως τὸ πρᾶγμα καὶ ἀφυῶς μεταχειρισάμενοι οὐ μόνον ἀνήνυτον ἔθεντο τὴν σπουδήν, ἀλλὰ καὶ εἰς ἀποστασίαν ὁρμῆσαι τὸ γένος ὅλον εἰς μυριάδας πολλὰς ἀριθμούμενον ἐβιάσαντο. ὃ καὶ τοῖς* C *ἐξ Ἰσμαὴλ συμμιγνύμενον κατὰ Ῥωμαίων σὺν αὐτοῖς ἐστρατεύετο, καὶ πολλῶν γέγονεν αὐτοῖς αἴτιον συμφορῶν. ὁ δέ γε βασιλεὺς Μιχαὴλ τὸν μείρακα παρελάσας καὶ νεανίσκοις ἄρτι καταλεγόμενος ἤσχαλλε παρ᾽ ἄλλοις τὴν τῆς βασιλείας βλέπων διοίκησιν, ἠρέθιστο δὲ καὶ πρὸς τοῦ πρὸς μητρὸς θείου τοῦ Βάρδα τῆς αὐταρχίας πρὸς ἔρωτα· εἷς δ᾽ ἦν καὶ οὗτος τῶν ἐπιτρόπων τοῦ Μιχαήλ. διαφορᾶς δέ ποτε τῷ μαγίστρῳ Μανουὴλ γενομένης πρὸς τὸν*

λογοθέτην τοῦ δρόμου Θεόκτιστον, καὶ ἄμφω δὲ συνεπιτρόπω τοῦ βασιλέως ἐτυγχανέτην, ὁ Μανουὴλ τῶν ἀνακτόρων ὑποχωρεῖ, ἦν γὰρ ἐκεῖ διαιτώμενος, D καὶ εἰς τὸν οἰκεῖον οἶκον μεταχωρεῖ, κἀκεῖθεν εἰς τὰ βασίλεια ἀπιὼν τῶν διοικήσεων εἴχετο. τοῦτο τῷ Βάρδᾳ θυμηρέστατον ἔδοξεν· ἀποσκευάσασθαι γοῦν καὶ τὸν Θεόκτιστον διὰ σπουδῆς αὐτῷ ἦν· βασιλειῶν γὰρ ἐδεδοίκει τοῦτον ὥς οἱ πρὸς τοὔργον ἀντιστησόμενον. τῷ βασιλεῖ τοίνυν παιδαγωγὸς ἦν, ἀνδράριόν τι φαῦλον καὶ πονηρόν, ὃν δι' ἐφέσεως εἶχεν ὁ βασιλεὺς ἀξιώματι τῶν λαμπροτέρων τιμῆσαί τινι, καὶ ἐποιεῖτο περὶ τούτου πρὸς τὴν μητέρα ἀξίωσιν. ὁ δὲ Θεόκτιστος μὴ δεῖν ἔλεγε μείζονι τὸν παιδαγωγὸν τῆς ἑαυτοῦ καταστάσεως τιμηθῆναι τιμῇ, ἵνα μὴ ἀτιμοῖντο τὰ ἀξιώματα. ἐντεῦθεν δι' ἔχθρας ἦν τῷ παιδαγωγῷ ὁ Θεόκτιστος. τοῦτο τοίνυν ὁ Βάρδας τῆς οἰκείας σπουδῆς προυστήσατο PII157 σύστασιν, καὶ διὰ τοῦ παιδαγωγοῦ ποικίλας διαβολὰς ἐνήχει τοῖς τοῦ βασιλέως ὠσί, καὶ τὴν ἐλαφρίαν αὐτοῦ κατὰ τοῦ Θεοκτίστου ὑπέκνιζε, καὶ τέλος ἐκ μέσου αὐτὸν ποιήσασθαι ὑποτίθησι. τοῦτο δὲ μὴ ἂν ἄλλως γενήσεσθαι ἀνυστόν, εἰ μὴ ἀναιρεθείη ὁ ἄνθρωπος· ζῶντος γὰρ ἀνθέξεσθαί τε αὐτοῦ τὴν βασιλίδα καὶ περιέξεσθαι. ὡς γοῦν ὁ τοῦ ἀνδρὸς κεκύρωτο θάνατος, ἐπιτετήρητο ἐκ τῶν τῆς βασιλίδος ἐξιὼν θαλάμων· ἦν γὰρ ἀναφέρων αὐτῇ περὶ ἀναφορῶν τε καὶ διοικήσεων· κἀκεῖθεν ἐξιόντι καθιᾶσιν αὐτῷ τὸν σφαγέα. ὁ δὲ γυμνὸν ἰδὼν τὸ ξίφος ἠρμένον καθ' ἑαυτοῦ, σκάμνον εἰσέδυ, καὶ ὁ σφαγεὺς κατὰ τῆς αὐτοῦ γαστρὸς τὸ ξίφος ὠθεῖ καὶ τοῦ B Βάρδα ξίφος ἐσπασμένου καὶ ἀνασείοντος, καὶ ἀπειλοῦντος πλήξειν αὐτῷ τὸν ἀμυνοῦντα τῷ θνήξοντι.

ὁ μὲν οὖν Θεόκτιστος ἀνῄρητο ὥσπερ εἴρηται. ἡ δέ γε βασιλὶς ὡς ἔγνω τὸ γεγονός, ἐξέθορε τοῦ θαλάμου γοωμένη καὶ τῷ υἱῷ λοιδορουμένη καὶ τῷ ὁμαίμονι, ἐπαρωμένη τε καὶ ἀμφοῖν τοιούτῳ τέλει τὸν W III 127 βίον ὑπεξελθεῖν. ὁ δὲ Βάρδας ἐπισυνάπτων κακὸν τῷ κακῷ καὶ τὰ πρὸς τὴν οἰκείαν μελέτην οἰκονομούμενος, καὶ αὐτὴν τὴν βασιλίδα Θεοδώραν συνεβούλευσε τῶν ἀνακτόρων κατενεγκεῖν. ἡ δὲ συνεῖσα τὸ βουλευόμενον, ἀντιστῆναι οὐχ ᾑρετίσατο, ἵναμὴ σφαγαὶ ἀνθρώπων συμβῶσι. μεταπεμψαμένη δέ γε C τοὺς τῆς βουλῆς, "αὐτὴ μέν" ἔφη "τῶν βασιλείων ἐξίσταμαι· ἵνα δὲ μὴ ἔχῃ λέγειν ὁ βασιλεὺς ὡς κενὰ θησαυρῶν τὰ ταμιεῖα εὕρηκε τὰ βασίλεια, διὰ τοῦτο ὑμῖν τὰ τεθησαυρισμένα δηλῶ·" καὶ αὐτίκα τοὺς ταμίας εἰπεῖν ἐκέλευε τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου τὸν ἀριθμόν. οἱ δὲ χίλια μὲν καὶ ἐνενήκοντα χρυσίου ἔχειν κεντηνάρια κατετίθεντο, ἀργύρου δὲ ὡσεὶ τρισχίλια κεντηνάρια. ἡ δὲ βασιλὶς "πρὸς τούτοις" ἔφη "καὶ ἄλλος πλοῦτος πολὺς καὶ παντοδαπὸς τεθησαύρισται·" καὶ ταῦτα εἰποῦσα τῶν ἀνακτόρων ἀπῆλθεν.

3 Ὁ δέ γε Μιχαὴλ τῆς αὐταρχίας ἐγκρατὴς γεγο- D νὼς ταχὺ τὸν τοσοῦτον διεσκόρπισε πλοῦτον, μίμοις καὶ κόλαξι καὶ ἡνιόχοις τοῦτον καταπροέμενος καὶ ὅλαις ἁμάξαις, τὸ τοῦ λόγου, αὐτὸν ἐκκενῶν. ὃς ἐπεὶ τὰ ταμιεῖα κεκένωτο, ὁ δὲ καιρὸς ἐφίστατο τῆς τοῖς ἀξιώμασιν ἀνηκούσης διανομῆς, καὶ οὐκ εἶχεν ὅθεν ταύτην ποιήσεται, τὴν πλάτανον τὴν χρυσῆν καὶ τοὺς διττοὺς λέοντας καὶ τοὺς τοσούτους γρῦπας καὶ τὰ ὄργανα, ἐκ χρυσοῦ ἅπαντα εἰργασμένα, εἰς κόσμον ὄντα τῆς βασιλείας, ἔκπληξιν δὲ ἐμποιοῦντα τοῖς ἐξ ἐθνῶν, χωνεύσας, δέδωκεν εἰς τὸ κοπῆναι

νομίσματα δι' αὐτῶν. ἀλλὰ μέντοι καὶ ἐπὶ βασιλικαῖς στολαῖς τοῦτο ἐποίησεν, ὧν τινα ἐκείνου φθαρέντος ἔτι περισωζόμενα ὁ μετ' αὐτὸν βασιλεύσας P II 158 *Βασίλειος ἀνεκομίσατο, τρία μόνα κεντηνάρια εὑρηκὼς ἐκ τῆς ἀπηριθμημένης ποσότητος. τὴν ἑαυτοῦ δὲ μητέρα ὁ Μιχαὴλ τῶν βασιλείων ὑποχωρήσασαν οὐκ εἴασεν ἠρεμεῖν, ἀλλ' ὑποθήκαις τοῦ Βάρδα πέμψας ἀποκείρει καὶ αὐτὴν καὶ τὰς ἀδελφὰς καὶ ἐν τῷ οἴκῳ τοῦ Καριανοῦ περιορίζει καὶ ὅσα προσῆν ἀφαιρεῖται. τούτοις ἡ Θεοδώρα πληγεῖσα τὴν ψυχὴν μεταχωρεῖ πρὸς τὰς ἐκεῖθεν μονάς, ὀλίγον τῇ συμφορᾷ ἐπιζήσασα. αἱ δὲ θυγατέρες αὐτῆς καὶ τοῦ βασιλέως ὁμαίμονες ἤντλουν τὰ αὐταῖς ἐπενηνεγμένα κακά, ἃς ὁ Μακεδὼν μετὰ ταῦτα Βασίλειος τῆς βασιλείας ἐπιλαβόμενος πρὸς τὴν τῆς πρὸς μητρὸς αὐταῖς* B *μάμμης μονήν, ἣ Γαστρία καλεῖται, ἀπήγαγε. τῆς δὲ τοῦ βασιλέως μητρός, ὡς εἴρηται, τῶν ἀνακτόρων ἐκστάσης, ἡ πᾶσα τῆς βασιλείας διοίκησις ὑπὸ τὸν Βάρδαν ἐγένετο, τιμηθέντα κουροπαλάτην πρὸς τοῦ ἀνεψιοῦ. εἶτα ἐκστρατεύει ὁ Μιχαὴλ κατὰ τῶν Ἀγαρηνῶν, ἄρτι πρώτως ὑπηνήτης γινόμενος, καὶ πόλιν αὐτῶν τὰ Σαμόσατα, αὕτη δὲ τῶν παρευφρατιδίων ἐστί, πολιορκεῖν ἐπεχείρησεν. οἱ δ' Ἰσμαηλῖται τῆς πόλεως τὰς πύλας τοῖς πολιορκοῦσιν ἐπιζυγώσαντες ἐντὸς ἔμενον, δόκησιν διδόντες αὐτοῖς ὡς δειλαινόμενοι ἔνδον τοῦ περιβόλου συνέκλεισαν ἑαυτούς. τοῦτο τοὺς Ῥωμαίους εἰς θράσος ἤνεγκε, καὶ* C *ἀπερισκέπτως ἐσκήνωντο καὶ ἀφυλάκτως ἐσκίδναντο. ἐπὶ τρισὶ δ' ἡμέραις ὑποκριθέντες δειλίαν οἱ ἐκ τῆς Ἄγαρ ἀθρόον τὰς πύλας ἀναπετάσαντες μετὰ ῥύμης σφοδρᾶς καὶ ἀλαλαγμοῦ τῷ τῶν Ῥωμαίων ἐπίασι χάρακι, καὶ οὐδεὶς ὑπέστη τὴν τούτων ὁρμήν, πρὸς*

δρασμὸν δ' οἱ πάντες ἀπεῖδον, καὶ καταλαμβανόμε-
W III 128 *νοι οἱ μὲν ἀνῃροῦντο, οἱ δ' ἐζωγροῦντο. ὅτε καὶ οἱ*
Μανιχαῖοι τοῖς Ἰσμαηλίταις συμμαχοῦντες πολλοὺς
τῶν ἐπιφανῶν ἐζώγρησαν στρατηγῶν, καὶ χρημάτων
αὐτοὺς μεγάλων ἀπέδοντο. τότε τοίνυν μικροῦ καὶ
ὁ βασιλεὺς ἂν ἐλήφθη αὐτός, εἰ μὴ τῇ ταχυτῆτι
D *τοῦ ἵππου τοὺς πολεμίους ὑπεκδραμὼν διασέσωστο.*
ἐλήφθη δὲ τὸ στρατόπεδον καὶ ἡ βασιλικὴ σκηνὴ καὶ
ἡ πρὸς ὑπηρεσίαν τοῦ βασιλέως ἀποσκευὴ καὶ τἄλλα
πάντα διήρπαστο. τότε μὲν οὖν ὑπέστρεψεν ὁ Μι-
χαήλ. αὖθις δὲ τοὺς Ἀγαρηνοὺς ἐπιόντας ταῖς τῶν
Ῥωμαίων χώραις μαθὼν ἔξεισι κατ' αὐτῶν μετὰ βα-
ρυτέρας δυνάμεως. οἳ διὰ δυσόδων τόπων, ἐπιτό-
μων δέ, διελθόντες ἀπροσδόκητοι τῷ Ῥωμαίων ἐπῆλ-
θον στρατῷ, καὶ τρέπονται τοῦτον. ἥλω δ' ἂν καὶ
ὁ βασιλεύς, εἰ μὴ ὁ μάγιστρος Μανουὴλ τῶν σχολῶν
τυγχάνων δομέστικος αὐτὸν διεσώσατο. οἱ δ' ἐναν-
τίοι κακοῦντες τὰ Ῥωμαίων οὐκ ἔληγον. στέλλεται
γοῦν κατ' αὐτῶν ὁ τοῦ βασιλέως μητράδελφος ὁ
Πετρωνᾶς μετὰ Ῥωμαϊκῶν δυνάμεων αὐτοῖς ἀντι-
P II 159 *τάξασθαι. ὁ δὲ οὐκ ἐθάρρει συμβολήν, ἀλλ' ἐδειλία*
τὸν πόλεμον. μαθὼν οὖν ἐν ὄρει τινὶ μοναχὸν
ἀσκούμενον τὴν ἀρετὴν διαβόητον καὶ προορῶντα τὰ
μέλλοντα, ἄπεισι πρὸς αὐτὸν καὶ ἐρωτᾷ εἰ τῷ πο-
λέμῳ ἐπιχειρήσειε· καὶ ὃς ἐπιτρέπει καὶ νίκην αὐτῷ
ἐπαγγέλλεται. ἀπῆλθε τοίνυν ὁ Πετρωνᾶς καὶ τοῖς
ἐναντίοις προσέβαλε, καὶ ἡττᾶται μὲν ἡ τῶν Ἀγα-
ρηνῶν στρατιά, πίπτει δὲ ὁ ταύτης κατάρχων Ἄμερ.
ὁ δὲ τούτου υἱὸς ἐκ τοῦ πολέμου ἀπών, εἰς γὰρ
λείαν ἐτύγχανεν ἀποδεδημηκώς, τὴν ἧτταν καὶ τὴν
φθορὰν μαθὼν τοῦ πατρὸς ἀπεδίδρασκεν, ἀλλὰ καὶ
οὗτος ἐν τῷ δρασμῷ συλληφθεὶς παρεδόθη τῷ στρα-

τηγῷ. λέγεται δὲ πρὸ τοῦ πολέμου τούτου ὁ Ἄμερ τῶν αἰχμαλώτων πυθέσθαι τινὸς ὅπως ὁ τόπος ἐν B ᾧ ἐστιν ἡμῖν ἡ παρεμβολὴ καλοῖτο καὶ ὅπως ὁ παραρρέων λέγεται ποταμὸς καὶ τίνος ἡ ὅλη ἐκείνη χώρα ἔτυχε κλήσεως. ὡς δὲ τὴν μὲν χώραν Λαλακάωνα εἶπεν ἐκεῖνος κεκλῆσθαι, Πτώσαντα δὲ τὸν τόπον τοῦ χάρακος καὶ Γύρην τὸν ποταμόν, ἐκεῖνος ἐκ τῶν ὀνομάτων τούτων οἰωνισάμενος ἔφη τὰς κλήσεις ταύτας οὐκ αἴσιον αὐτῷ τὸ τοῦ πολέμου τέλος παραδηλοῦν. λαοῦ μὲν γὰρ κάκωσιν ἐκάλει τὸν Λαλακάωνα, πτῶσιν δὲ σημαίνειν τὸν Πτώσαντα, γυρωθῆναι δὲ μέλλειν ὑπὸ τῶν ἐναντίων αὐτοὺς ἐκ τῆς τοῦ ποταμοῦ κλήσεως ἐμαντεύετο. τὰ μὲν οὖν τῆς νίκης οὕτως εἶχον τῷ Πετρωνᾷ· ὁ δὲ τροπαιοφόρος ἐπανῆκεν εἰς τὸ Βυζάντιον, καὶ ὑπεδέχθη μετὰ C τιμῆς, καὶ τῶν σχολῶν προεβλήθη δομέστικος. ἤδη γὰρ ὁ μάγιστρος Μανουὴλ ἀπεβίω. μετὰ βραχὺ δὲ καὶ αὐτὸς ἀπέτισε τὸ χρεών.

Τούτους δὲ πάντας ὁ Βάρδας ἀποσεισάμενος 4 τὴν μὲν τῶν πραγμάτων διοίκησιν, ὡς ἠβούλετο, διετίθετο. ὁ γὰρ Μιχαὴλ οὐδενὸς ἐπεστρέφετο, μόνοις δὲ θεάτροις καὶ ἱππηλασίαις ἐσχόλαζεν, οὐκ ἄλλων ἡνιοχούντων, αὐτοῦ δ' ἐκείνου τοῦ αὐτοκράτορος καὶ ἁρματηλατοῦντος τοῦ Αὐγούστου, καὶ ἀγωνιζομένου τοῦ βασιλέως καὶ ἀντὶ τῆς βασιλείου στολῆς ἐνδεδυκότος ἡνιόχου στολήν. οὐ τοῦτο δὲ μόνον ἦν τὸ δεινόν, ἀλλ' ὅτι καὶ τοὺς ἐν ἀξιώμασι καὶ τιμαῖς ὑπερέχοντας τοὺς μὲν αὐτῷ συναγωνίζεσθαι, D τοὺς δ' ἀνταγωνίζεσθαι ἐν ταῖς τῶν ἵππων ἁμίλλαις καὶ ἁρματηλατεῖν κατηνάγκαζε. ποτὲ τοίνυν αὐτὸς μὲν ἠμφίεστο τὸ χρῶμα τὸ βένετον, ὁ δὲ τοῦ δρόμου λογοθέτης τὸ πράσινον, καὶ ἕτεροι τῶν

ἐπιφανεστέρων τὰ ἕτερα· καὶ ἤδη τῶν ἁρμάτων ἐπέβησαν. ἐν τούτῳ δὲ γράμματα τῷ πρωτονοταρίῳ W III 129 τοῦ δρόμου παρά του πεφθακότος ἄρτι ἐνεχειρίσθησαν, ὡς ἐν τοῖς Μελαγγείοις ἐστρατοπεδεύσαντο οἱ Σαρακηνοὶ διαγγέλλοντα· ταῦτα δ' εἰσὶν ἃ νῦν ἀγροικότερον καλεῖται Μαλάγινα. ὁ γοῦν πρωτονοτάριος σκυθρωπάσας ἐπὶ τῇ ἀγγελίᾳ προσῆλθε τῷ βασιλεῖ, καὶ ταῦτα ἐδίδασκε καὶ ὑπεδείκνυ τὰ γράμ-P II 160ματα. ὁ δὲ ὀργίλον τι καὶ μανικὸν αὐτῷ ἐνιδὼν "ἐν τοιούτῳ μοι" ἔφη "ἀγῶνι ὄντι καὶ τὸν μέσον εὐώνυμον καταστήσασθαι σπεύδοντι αὐτός, μάταιε, περὶ Σαρακηνῶν ἐπιδρομῆς διαλέγῃ μοι;" τοιοῦτος ὁ θαυμάσιος ἐκεῖνος ἦν βασιλεὺς καὶ οὕτω περὶ τῶν κοινῶν πραγμάτων καὶ τῆς βασιλείας ἐφρόντιζεν. ἐκείνου δὲ τοῦτον διακειμένου τὸν τρόπον, ὁ Βάρδας ἔστρεφε τὰ πάντα καὶ ἦγεν ὅπῃ ἦν αὐτῷ πρὸς βουλῆς, καὶ εἰς τὴν τοῦ Καίσαρος ἀναβεβήκει τιμὴν καὶ ἑαυτῷ τὴν βασιλείαν ἐμνᾶτο, καὶ εὐκαιρίαν ἐζήτει, ἵν' αὐτῆς ἐπιτεύξοιτο. οὐδὲν δέ οἱ εἴργαστο ἀγαθὸν ἢ τὸ τῶν λόγων φροντίδα θέσθαι πολλήν. ἠμέλητο γὰρ τὰ τῆς φιλοσοφίας καὶ ἀπέσβη σχεδὸν εἰς τὸ παντελές, ὡς μηδ' ἔναυσμά τι περιλειφθῆναι αὐτῆς. τοῦτο δὲ ἡ τῶν κρατούντων εἴργαστο ἀλογία. ὁ δὲ καὶ διατριβὰς ἑκάστῃ ἀφώρισε τῶν ἐπιστημῶν καὶ διδασκάλους προυστήσατο καὶ σιτήσεις B δημοσίας τούτων ἑκάστῳ ἀπένειμεν· ἐπὶ πᾶσι δὲ διδάσκαλον ἐγκατέστησε τὸν φιλόσοφον Λέοντα, οὗ κλέος ἐπὶ σοφίᾳ πολύ, ὃς καὶ τῷ βασιλεῖ Θεοφίλῳ γέγονεν ἔντιμος ἐκ τρόπου τοιοῦδε. πολλῶν αὐτῷ φοιτητῶν ὄντων, ἕνα συνέβη τούτων τοῖς Σαρακηνοῖς γενέσθαι ἁλώσιμον, ᾧ τὰ τῆς γεωμετρίας μεμύητο ἀκριβῶς, καὶ οὗτος τῶν παρὰ τοῖς βαρβάροις

ἐπισήμων τινὶ δουλεύειν ἀπονενέμητο. ἦν δ' ὁ τότε C τῶν ἐκ τῆς Ἄγαρ προεστηκὼς φιλολογῶν καὶ φιλοσόφων θεωρημάτων ἐπιμελῶς ἀκροώμενος, πλέον δὲ τῶν ἄλλων ταῖς γεωμετρικαῖς μεθόδοις προσκείμενος. ἐφοίτα δὲ καὶ ὁ τοῦ αἰχμαλώτου δεσπότης παρὰ τὸ ἀκροατήριον, καί ποτε αὐτῷ καὶ ὁ αἰχμάλωτος εἵπετο, καὶ τῶν διδασκόντων ἀκούσας καὶ σχήματα τούτους ἰδὼν διαχαράττοντας γεωμετρικὰ ἀρχήν τε τὸ τρίγωνον παντὸς εἶναι διδάσκοντας σχήματος, ὥστ' ἐξ αὐτοῦ ἅπαν σχῆμα συνίστασθαι καὶ εἰς αὐτὸ ἀναλύεσθαι, καὶ ὡς πάντων ὁ κύκλος τῶν ἰσοπεριμέτρων αὐτῷ καὶ ἰσοπλεύρων ἐστὶ πολυχωρητότερος, καὶ ἄλλα τοιαῦτα, ἤρετο τὸν ἑαυτοῦ κύριον ὁ αἰχμάλωτος εἰ D πύθοιτο τῶν διδασκάλων περὶ ὧν διδάσκουσι· καὶ ὃς ἐπέτρεψεν. ὁ δὲ τοὺς λόγους τῶν διδασκομένων ἐξήτει σαφηνίσαι αὐτούς. οἱ δ' ἠπόρουν πρὸς τοῦτο, καὶ ὁ ἀρχηγὸς τῶν Ἀγαρηνῶν προσκαλεσάμενος τὸν αἰχμάλωτον, "σὺ δ'" ἔφη "δύναιο ἂν ἀποδοῦναι τοὺς λόγους τούτους;" κἀκεῖνος κατέθετο. "οὐκοῦν λέξον" εἶπε. καὶ ἀρξάμενος ὁ αἰχμάλωτος ἐσαφήνιζεν ἕκαστον καὶ λόγους ἀπεδίδου καὶ τὰς αἰτίας κατέλεγε. καὶ οἱ ἀκούοντες ἐν συνέσει τῶν λεγομένων ἐγίνοντο καὶ ὀξύτερον ἐπέβαλλον τοῖς θεωρήμασι, καὶ σφίσιν ηὐρύνετο ἡ διάνοια καὶ τὸν ἄνδρα ἐθαύμαζον ἤροντό τε εἰ καὶ ἄλλους ἔχει τοιούτους P II 161 ἡ Κωνσταντίνου. ὁ δὲ "πολλούς" ἔφη "κρείττους ἐμοῦ κέκτηται, ἕνα δὲ τῶν ἁπάντων διδάσκαλον, ἄνδρα ἐν τοῖς τῆς φιλοσοφίας λόγοις παντὶ ἀπαράμιλλον." ἔρωτι τοίνυν ἀκούσας ταῦτα ὁ τῶν Ἀγαρηνῶν ἀρχηγὸς ἑάλω τοῦ διδασκάλου ἐκείνου, καὶ ἤθελεν ἐλθεῖν εἰς θέαν τούτου καὶ εἰς ἀκρόασιν, καὶ ἐγχαράξας ἐπιστολὴν πρὸς τὸν ἄνδρα παρακαλοῦσαν W III 130

ἀφικέσθαι καὶ μεταδοῦναι αὐτῷ τῆς σοφίας αὐτοῦ, διὰ τοῦ αἰχμαλώτου στέλλει αὐτήν, φιλοτίμως τοῦτον δεξιωσάμενος. ὡς δέ οἱ ἐκεκόμιστο ἡ γραφή, δείσας μὴ αἰτιαθείη ὡς γράμμα δεξάμενος ἐξ ἐχθρῶν, τῷ λογοθέτῃ τοῦ δρόμου ἐγχειρίζει τὸ ἐπιστόλιον
B καὶ παρίστησι τὸν αἰχμάλωτον, κἀκεῖνος τὴν ὑπόθεσιν διηγήσατο. ἐντεῦθεν γνώριμος ὁ φιλόσοφος Λέων τῷ Θεοφίλῳ ἐγένετο καὶ εὐεργετεῖται καὶ δημοσίᾳ διδάσκειν προτρέπεται, εἶτα καὶ ἀρχιερεὺς χειροτονεῖται Θεσσαλονίκης. θανόντος μέντοι τοῦ Θεοφίλου, καὶ τῶν εἰκονομάχων ἀρχιερέων καθαιρέσει ὑποβληθέντων, καὶ ὁ Λέων οὑτωσὶ συγκαθῄρητο, ὅτι μὴ τιμὴν ταῖς θείαις εἰκόσιν ἀπένεμε. τοῦτον οὖν ὁ Βάρδας σχολάζοντα εὑρηκὼς τῶν λοιπῶν διδασκάλων ἐπέκεινα ἔταξε, καὶ οὕτως ἀναθηλῆσαι τοὺς λόγους ἐποίησε, καὶ εἰς ἐπίδοσιν προήνεγκεν οὐ διὰ μακροῦ. καὶ τοὺς νόμους δὲ τοὺς πο-
C λιτικοὺς ἀνηβῆσαι πεποίηκε, φοιτῶν αὐτὸς εἰς τὰ δικαστήρια, ἤδη καὶ τῆς τούτων γνώσεως σχεδὸν ἐκλελοιπυίας παντάπασιν. ἡ μὲν οὖν περὶ τὰς ἐπιστήμας καὶ τὰ μαθήματα τοῦ Βάρδα σπουδὴ ἀξιέπαινος, τὰ δ᾽ ἄλλα καὶ λίαν ψεκτὰ καὶ κατάπτυστα. τοῦ γὰρ ἱεροῦ Μεθοδίου ἔτη τὴν ἐκκλησίαν ἰθύναντος τέσσαρα καὶ πρὸς τὰς ἀϊδίους μεταστάντος μονάς, ὁ μοναχὸς Ἰγνάτιος τῆς ἐκκλησίας προέστη, ὃς θυγατριδῆς μὲν ἦν Νικηφόρου τοῦ βασιλέως τοῦ ἀπὸ γενικῶν, υἱὸς δὲ Μιχαὴλ βασιλέως τοῦ Ῥαγγαβέ, καὶ μετὰ τὴν ἐκ τῆς βασιλείας ἀπόπτωσιν τοῦ πατρὸς αὐτοῦ, παρὰ τοῦ Λέοντος ἐκτομίας γενόμενος, ἐκείρατό τε τὴν τρίχα καὶ ἐπὶ μακρὸν ἀσκητικοῖς ἱδρῶσι τὸ σαρκίον ἐδάμασεν, ὃν ἡ βασιλὶς Θεοδώρα τὰ τῆς
D βασιλείας ἰθύνουσα εἰς τὸν ἀρχιερατικὸν τῆς Κων-

σταντινουπόλεως ἀνήγαγε θρόνον. οὗτος τοίνυν ὁ θεῖος τὸν Καίσαρα Βάρδαν, τὴν γαμετὴν ἀναιτίως ἀποπεμψάμενον, συμφθείρεσθαι δὲ λεγόμενον τῇ νύμφῃ τῇ ἑαυτοῦ, τῶν ἱερῶν ἐπιβῆναι περιβόλων ἐκώλυεν. ὁ δὲ διὰ τοῦτο τῆς ἐκκλησίας μεθίστησι τὸν ἀρχιερέα, καὶ πολλὰ κακώσας τέλος ἐγκλείει τάφῳ. εἶτ᾽ ἐκεῖθεν ἐξενεγκὼν εἰς Μιτυλήνην τὴν νῆσον ὑπερορίζει. καὶ οὐ τοῦτον μόνον οὕτω διέθετο, ἀλλὰ καὶ πλείους ἄλλους τῶν ἀρχιερέων, ὅσοι τῷ Ἰγνατίῳ γεγόνασι σύμψηφοι αὐτὸν ἀφορίσαντι· προχειρίζεται δὲ πατριάρχην τὸν Φώτιον, ἄνδρα τῶν ἐπισήμων πρωτοασηκρῆτις τότε τυγχάνοντα καὶ ἐν λόγοις ὀνομαστότατον. ὡς δ᾽ ἔτυχε P II 162 παρεῖναι καὶ τοποτηρητὰς τοῦ πάπα Ῥώμης κατὰ τῶν εἰκονομάχων σταλέντας, κἀκείνους ὁ Βάρδας πείθει τῆς ἑαυτοῦ γενέσθαι γνώμης. ἐν γοῦν τῷ τῶν ἁγίων ἀποστόλων ναῷ ἀθροισθέντες ἄγουσι καὶ τὸν ἱερώτατον Ἰγνάτιον ἐκ τῆς ὑπερορίας, καὶ ποιοῦνται τοῦτον ὑπὸ καθαίρεσιν. καὶ ταῦτα μὲν ὧδέ πῃ συμβέβηκε.

Τὸ δ᾽ ἔθνος τῶν Ῥὼς Σκυθικὸν ὂν τῶν περὶ 5 τὸν Ταῦρον ἐθνῶν στόλῳ τὰ τοῦ Εὐξείνου πόντου κατέτρεχε καὶ αὐτῇ τῇ Βυζαντίδι ἐπιέναι διεμελέτα. ἀλλ᾽ οὐκ εἰς ἔργον ἤχθη σφίσι τὸ βούλευμα, κωλυσάσης τοῦτο τῆς προνοίας τῆς ἄνωθεν, ἣ καὶ ἄκοντας αὐτοὺς ἀπράκτους, μᾶλλον δὲ καὶ θείου πειραθέντας μηνίματος, ἀπελθεῖν ᾠκονόμησεν. ἀλλὰ καὶ B οἱ ἐκ Κρήτης Ἀγαρηνοὶ τὰς Κυκλάδας νήσους καὶ τὰ παράλια ἐληίζοντο. καὶ κλόνοι δὲ σφοδρότατοι τῆς γῆς συμβεβήκασιν, ὧν ὁ φρικωδέστατος κατὰ τὴν ἡμέραν τῆς τοῦ σωτῆρος ἡμῶν τὴν γῆν συνέσεισεν ἀναλήψεως. τούτων δ᾽ οὐδὲν τῶν ἱππηλάτων

*ἀγώνων ἀπήγαγε τὸν Μιχαὴλ καὶ τῆς περὶ τούτους
σπουδῆς, ἐν τῇ κατὰ τὸ Στενὸν τοποθεσίᾳ τῇ τοῦ
WIII 131 ἁγίου Μάμαντος καλουμένῃ αὐτοῦ ἐκείνου αὐτουρ-
γοῦντος τὰ ἱππηλάσια. ὅθεν καὶ τοὺς φρυκτοὺς
ἔπαυσεν, οὓς οἱ πάλαι βασιλεῖς ἐπενόησαν, ἵνα μὴ
ἀθρόον οἱ ἐκ τῆς Ἄγαρ ταῖς χώραις τῶν Ῥωμαίων
C εἰσβάλλοντες ληίζωνται τὰ ἐν ποσὶ καὶ τοὺς ἀνθρώ-
πους αἰχμαλωτίζωσι. διὰ ταῦτα ἐν τῇ Ταρσῷ ἐπὶ
λόφου μετεώρου τινὸς ἐδομήσαντο φρούριον, Λοῦ-
λον κεκλημένον, καὶ οἱ ἐν τούτῳ πυρσὸν ἀνῆπτον,
ἡνίκα ἔγνων ἐπιδρομὴν Ἰσμαηλιτῶν, ὃν ὁρῶντες οἱ
ἐν τῷ Ἀργαίῳ βουνῷ ἄλλον ἐποίουν πυρσόν, καὶ οἱ
κατὰ τὸν Ἴσαμον ἕτερον, τοῖς δὲ κατὰ τὸν Αἰγιαλὸν
ἰδοῦσι τοῦτον ἤρετο ἄλλος, καὶ τοῖς κατὰ τὸν Μί-
μαντα ἕτερος, καὶ οἱ κατὰ τὸν Κύριζον αὖθις ἐφρυ-
κτώρουν, καὶ οἱ κατὰ τὸν Μώκιλον ὁμοίως ἐπύρ-
σευον, καὶ ἐπὶ πᾶσιν ἐν τῷ τοῦ ἁγίου Αὐξεντίου
βουνῷ πυρσὸς ἤρετο. οὓς ὁρῶντες οἱ ἐν ταῖς χώ-
ραις διὰ βραχέος εἰς ὀχυρώματα συνέκλειον ἑαυτοὺς
D καὶ τὰς τῶν βαρβάρων λεηλασίας ἐξέκλινον. ἐκ δὲ
τοῦ βουνοῦ τοῦ ἁγίου Αὐξεντίου τῷ βασιλεύοντι
τῆς τῶν δυσμενῶν ἐπιδρομῆς ἐδίδοτο γνῶσις. ἵνα
τοίνυν μὴ ἀνακόπτοιτο τῶν ἱππηλάτων ἀγώνων, ἐν
καιρῷ τούτων πολλάκις τῶν πυρσῶν αἰρομένων,
τῶν τῇ βασιλίδι γειτονούντων πυρσῶν σχολὴν κατε-
ψηφίσατο. κατεγίνωσκε δὲ καὶ τῶν πρότερον βασι-
λευσάντων, ὅτι μὴ λιτότητι ἔχαιρον, σοβαρότητος δ'
ἀντεποιοῦντο καὶ ὄγκου βασιλικοῦ. ὅθεν αὐτὸς με-
τριότητα δοκῶν μετιέναι, συνήντησέ ποτε γυναικὶ
ἄρτι λουσαμένῃ καὶ οἴκαδε ὑπονοστούσῃ, καὶ τοῦ
ἵππου ἀποβὰς ἀπῄει μετὰ τῆς γυναικὸς σὺν ὀλίγοις
τισὶ νεανίαις, οἳ τῶν ἀπορρήτων συμμετεῖχον αὐτῷ,*

καὶ ἐν τῇ οἰκίᾳ αὐτῆς γεγονὼς καὶ συμμετασχὼν PII163
τραπέζης αὐτῇ πεζοπορῶν ἀπῄει πρὸς τὰ ἀνάκτορα.
καὶ ὁ μὲν ἐν τοῖς τοιούτοις ὡς μέγα τι κατορθῶν
ἐβρενθύετο, τοῖς δ' ἄλλοις ἀνοηταίνειν ἐκρίνετο καὶ
μῖσος ὑπέτρεφον κατ' αὐτοῦ. οὐχ ἥκιστα δὲ μισητὸς
ἐδόκει διὰ τοὺς παρατρεφομένους αὐτῷ ἐναγεῖς νεα-
νίας, οἳ πρὸς ἅπαν κακὸν αὐτὸν ὑπεξέκαιον, οἳ καὶ
ἀρχιερεῖς ἔπλαττον ἑαυτοὺς καὶ τὴν ἀναίμακτον ἱε-
ρουργίαν τελεῖν ὑπεκρίνοντο, καὶ αὐτὸν τὸν Μιχαὴλ
συνιερουργοῦντα δῆθεν ἔχοντες ἑαυτοῖς, παίζοντες
ἐν οὐ παικτοῖς, ἢ ὄξος τε μιγνύντες καὶ σίνηπι καὶ
σκεύεσι χρυσέοις καὶ λιθοκολλήτοις παρ' αὐτοῦ χο-
ρηγουμένοις τὸ κρᾶμα ἐγχέοντες μετεδίδουν τούτου
τοῖς συμμύσταις αὐτῶν καὶ συμπαίστορσιν. ἀλλὰ
πάντα καταλέγειν τὰ τοῦ τοιούτου χοροῦ, οἷς συν- B
θιασώτης καὶ αὐτὸς ὁ βασιλεὺς ἐτύγχανεν ὤν, πολ-
λῆς ἂν εἴη λέσχης καὶ ἀηδίας οὐχ ἥκιστα. ἥκει δ'
ὁ λόγος τὴν τοῦ Βάρδα διηγησόμενος ἀποβίωσιν καὶ
τὴν τοῦ κρατοῦντος αὐτοῦ καὶ πρὸ τούτων τὴν τοῦ
Βασιλείου τοῦ Μακεδόνος οἰκείωσιν πρὸς τὸν Μι-
χαήλ, ὃς ἐκ Μακεδονίας μὲν ἦν, ἔφυ δὲ πατέρων 6
ἀσήμων καὶ ἀφανῶν, εἰ καί τις τῶν τὰ περὶ αὐτοῦ
ἐξιστορησάντων ἐκ τοῦ τῶν Ἀρσακιδῶν αὐτὸν γέ-
νους κατάγεσθαι τερατεύεται. τοῦ Κρούμου δέ, τῶν
Βουλγάρων δ' ἦν οὗτος ἀρχηγός, τὴν Ἀδριανούπο-
λιν κατασχόντος, καὶ οἱ τούτου γεννήτορες αἰχμά-
λωτοι γεγονότες εἰς τὴν ἐκείνων χώραν μετήχθησαν,
ἀρτιγενὲς τοῦτον καὶ ὑπομάζιον φέροντες. τοῦ Κρού- C
μου δὲ ἀποβεβιωκότος ἤδη ἕτερος τῆς ἀρχῆς τῶν
Βουλγάρων ἐπείληπτο, ὃς πολλάκις ἐν πολέμοις τοῖς
πρὸς Ῥωμαίους θραυσθεὶς σπονδὰς πρὸς τὸν τότε
κρατοῦντα Ῥωμαίων πεποίητο, καὶ τοὺς αἰχμαλώ-

τους ἐλευθερῶσαι συνέθετο, καὶ μέντοι καὶ κατὰ τὰς συνθήκας πεποίηκεν. ἐφήβου δ' ἦν ἡλικίας τότε ἀψάμενος ὁ Βασίλειος. νηπιόθεν μέντοι πολλὰ σημεῖα γενέσθαι φασὶ τὴν βασιλείαν αὐτῷ προσημαίνοντα, ὧν ἓν ἦν καὶ τὸ ῥηθησόμενον. νήπιος μὲν ἦν ὁ Βασίλειος, οἱ δὲ τούτου γονεῖς περὶ θέρος ἠσχόληντο καὶ τὸ νήπιον ὑπνῶττον ὑπὸ τὸν ἥλιον ἔκειτο· W III 132 ἀετὸς δὲ πετόμενος πρόσγειος ἡπλωμέναις ταῖς πτέ-D ρυξι τῷ βρέφει σκιὰν ἐσχεδίαζεν. ἡ δὲ μήτηρ ὡς εἶδε τὸν ἀετὸν τῷ παιδὶ προσεγγίζοντα, ἦρέ τε τὴν φωνὴν καὶ προσέδραμε τῷ υἱῷ καὶ λίθοις τὸν ἀετὸν ἀπεδίωκε. τῆς δὲ πρὸς τὸ ἔργον χωρησάσης αὖθις ὁ ἀετὸς προσῄει τῷ βρέφει κοιμωμένῳ, ἐπιτελῶν τὸ λειτούργημα. καὶ ἡ μήτηρ πάλιν τε τεθορύβητο καὶ αὐτὸν ἀπεδίωκεν. ὡς δὲ πολλάκις τοῦτο ἐγένετο, εἰς συναίσθησιν ἧκε καὶ χρηστὸν ὑπείληφε τὸ πρᾶγμα οἰώνισμα. ἤδη δὲ αὐτοῦ ὑπερβεβηκότος τὸν μείρακα, ὁ πατὴρ μὲν κατέλυσε τὴν ζωήν, ἡ δὲ μήτηρ αὐτοῦ πρὸς τῇ πενίᾳ καὶ τοῖς τῆς χηρείας κακοῖς ἐπιέζετο. ὁ δὲ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων μὴ εὐπορῶν, ἔγνω μισθῷ πρὸς ὑπηρεσίαν ἑαυτὸν ἐκδοῦναί τινι· καὶ ἄρας ἔρχεται πρὸς τὴν μεγαλόπολιν. ὀψίας δὲ τὴν τῆς πόλεως εἰσελθὼν πύλην, ἣ καλεῖ-P II 164 ται Χρυσεία, παρὰ τῷ ναῷ τοῦ ἁγίου Διομήδους κατέλυσεν οὔπω μονῇ τότε τυγχάνοντι· καὶ πεσὼν ἔξω τοῦ τεμένους κατέδαρθε. νυκτὸς δὲ τῷ τοῦ ναοῦ νεωκόρῳ ὄναρ ὁ μάρτυς ἐφίσταται, καὶ τὸν βασιλέα ἐντὸς εἰσαγαγεῖν ἐγκελεύεται. ὁ δὲ ἐξελθὼν καὶ τὸν Βασίλειον εὑρὼν ἐπὶ ψιλοῦ τοῦ ἐδάφους ὑπνώττοντα, φάντασμα εἶναι τὸν ὄνειρον ὑπείληφε μάταιον. ὡς δὲ καὶ αὖθις τὸ αὐτὸ ἐδόκει ὁ ἅγιος ἐγκελεύεσθαι, ὁ δὲ καὶ πάλιν ἐξελθὼν οὐχ ἕτερον

εὗρεν ἢ τὸν Βασίλειον, ὑπέστρεψεν ὑπειληφὼς τὰ αὐτά. ἐκ τρίτου τοίνυν ὁ μάρτυς τῷ νεωκόρῳ ἐφίσταται καὶ προτρέπεται αὐτὸν εἰσαγαγεῖν τὸν ἐκτὸς κατακείμενον· "οὗτος γάρ ἐστιν" ἔφη "ὁ βασιλεύς." ἐξελθὼν οὖν ὁ νεωκόρος ἀνίστησι τὸν Βασίλειον, καὶ ξενίζει τοῦτον παρὰ τῇ κατοικίᾳ αὐτοῦ, καὶ με- B *ταδίδωσιν ὧν εὐπόρει. ἦν δὲ τῷ νεωκόρῳ ὁμαίμων τὴν ἰατρικὴν μετιὼν καὶ τῷ Θεοφιλίτζῃ ὑπηρετῶν. ὁ δὲ Θεοφιλίτζης οὗτος τῷ Καίσαρι Βάρδᾳ καὶ τῷ βασιλεῖ Μιχαὴλ κατὰ γένος ᾠκείωτο, διὰ τὸ τῆς ἡλικίας βράχιστον ὑποκοριζόμενος καὶ Θεοφιλίτζης καλούμενος. τούτῳ τοίνυν τῷ ἀδελφῷ ὁ νεωκόρος τὸ ἀπόρρητον ἐκκαλύψας ἐνύπνιον ἠξίωσε συστῆσαι τοῦτόν τινι τῶν ἀρχόντων εἰς ὑπηρέτησιν. ὁ δὲ τῷ οἰκείῳ κυρίῳ τοῦτον συνίστησι. πρότερον δὲ τὸ περὶ τῆς βασιλείας δι' ὀνειράτων χρησμῴδημα τῷ Βασιλείῳ ἀνεκάλυψαν ἄμφω τὼ ἀδελφὼ καὶ μεμνῆσθαι σφῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ ὅρκοις αὐτὸν προκατέ-* C *λαβον. ἡσθεὶς οὖν ὁ Θεοφιλίτζης ἐπὶ τῷ Βασιλείῳ, ἦν γὰρ εὐειδής τε καὶ εὐμήκης καὶ τὴν χεῖρα γενναῖος καὶ περιδέξιος, βαθεῖάν τε τρέφων κόμην καὶ ταύτην οὔλην, τοῖς οἰκείοις ἱπποκόμοις τοῦτον ἐπέστησε· πρωτοστράτορα τοῦτον οἶδεν ὀνομάζειν ἡ διάλεκτος ἡ κοινή. ἐζητήθη δὲ καὶ τῷ βασιλεῖ γενναῖός τις ἱπποκόμος καὶ περὶ τὴν ὑπηρεσίαν ταύτην εὐφυῶς διακείμενος. κεκόμιστο γάρ ποθεν ἵππος τῷ βασιλεῖ Μιχαήλ, εἰς πᾶσαν μὲν ἀρετὴν ἵππῳ πρέπουσαν ἐπιτήδειος, σκληραύχην δὲ καὶ μὴ ῥᾳδίως ἀναβαινόμενος. τούτου εἰς θέαν ἥκων ὁ βασιλεὺς ἀναβῆναί τινι τοῦτον ἐπέτρεπεν. πλειόνων δ' ἐπικεχειρηκότων, ἐκεῖνος ἐθρασύνετό τε καὶ ἐγαυρία* D *καὶ τὸν ἀναβαίνοντα ἀπεσείετο. ἐχαλέπηνεν ἐπὶ*

τούτοις ὁ βασιλεὺς καὶ ὅτι μὴ ἔχοι ἱπποκόμον περιδέξιον ἤσχαλλε. παρὼν δὲ ὁ Θεοφιλίτζης ἔχειν εἶπεν αὐτὸς τοιοῦτον, καί "εἰ βούλει" φησί, "βασιλεῦ, παρίτω." καὶ ὃς ἐπέτρεψε, καὶ ὁ Βασίλειος μετεκέκλητο καὶ τοῦ χαλινοῦ τοῦ ἵππου λαβόμενος καὶ περιποππύσας καὶ καταψήσας αὐτὸν κούφως τε μετεωρίσας ἑαυτὸν ἐπιβέβηκε καὶ περικαλπάσας μικρόν, εἶτα καὶ ὅλον αὐτῷ τὸν ῥυτῆρα ἐνδέδωκέ τε καὶ ἐξιππάσατο. ἥσθη τούτοις ὁ βασιλεὺς καὶ τὸν Βασίλειον προσελάβετο καὶ τοῖς βασιλικοῖς ἱπποκόμοις συνέταξε καὶ προϊὼν καὶ πρωτοστράτορα τὸν ἄνδρα ἐτίμησεν· ἡ ἀξία δὲ τῶν ἐπισήμων καὶ τῶν ᾠκειωμένων τῷ βασιλεῖ· καὶ ἐπεδίδου καθ' ἑκάστην ἡ περὶ τὸν Βασίλειον τοῦ βασιλέως διάθεσις, καὶ τοσοῦτον ὡς καὶ εἰς φθόνον κινῆσαι τὸν Καίσαρα.

7
W III 133 Ποτὲ δὲ τῆς τοῦ βασιλέως μητρὸς συνεστιωμένης
P II 165 τῷ βασιλεῖ ὁ πρωτοστράτωρ εἰσεκλήθη Βασίλειος τοῦτο τοῦ βασιλέως κελεύσαντος. καὶ ἡ βασίλισσα συνεχῶς αὐτῷ ἐνητένιζε, καὶ ἑώρα τὸν ἄνδρα περιεργότερον, εἶτα καὶ ἀπεφοίβασε τοῦτον εἶναι τὸν ὀλετῆρα τοῦ γένους αὐτῆς, ἔκ τινων σημείων τοῦτο γνοῦσα, ὡς ἔλεγε, πάλαι αὐτῇ γνωρισθέντων ἐκ τοῦ οἰκείου ἀνδρός. ἀλλὰ τῷ Μιχαὴλ ταῦτα λῆρος ἐδόκει, καὶ οὐδὲν ἀπῆγεν αὐτὸν τῆς εὐνοίας τῆς περὶ τὸν Βασίλειον, ἤδη δὲ καὶ παρακοιμώμενον αὐτὸν προεβάλετο. καὶ τοῦτο δὲ τῆς κατὰ τοῦ Βασιλείου βασκανίας ἐπίδοσις τῷ Καίσαρι γέγονε, καὶ ἐπεβούλευε τῷ ἀνδρὶ καὶ παρ' αὐτοῦ ἀντεπεβουλεύετο. ἐκστρατείας δὲ κατὰ τῶν τὴν Κρήτην ἐχόντων Ἀγα-
B ρηνῶν κηρυχθείσης τῷ Μιχαήλ, ὁ Καῖσαρ πρὸς τὸν τῆς θεοτόκου ναὸν τὸν τῶν Ὁδηγῶν κεκλημένον ἀπῆλθε, τῇ θεομήτορι συνταξόμενος, καὶ ἤδη τῷ

θυσιαστηρίῳ αὐτοῦ προσεγγίσαντος ἐξ οὐδεμιᾶς ἐμφανοῦς αἰτίας ἡ χλαμὺς τῶν ὤμων αὐτοῦ ἐξωλίσθησεν. ὅπερ σημεῖον καὶ τῷ Καίσαρι καὶ τοῖς ἰδοῦσιν ἀπαίσιον ἔδοξε. πολλῶν δὲ τὸν βασιλέα κακιζόντων, ὅτι πᾶσαν ἐνέδωκε τὴν ἐξουσίαν τῷ Καίσαρι, ὥστε ἐκεῖνον ἅττα βούλεται πράττειν καὶ πολλὰ παρὰ τὸ δέον ποιεῖν, τῇ τῶν ὀνειδῶν ἐνδελεχείᾳ ἔδοξέ ποτε μικρὸν ἀνανῆψαι τοῦ βαθυτάτου κάρου ἐκεῖνος ὁ ἀβέλτερος ἄνθρωπος, καί τινα τῶν C ᾠκονομημένων τῷ Καίσαρι καὶ διωρθοῦτο καὶ ἀνεσκεύαζεν· ὃ τῷ Βάρδᾳ οὐκ ἦν ἀνεκτόν, ἀλλ' ἐπὶ τούτῳ καὶ ἐβαρυθύμει. ἐκστρατεύσαντος δὲ τοῦ βασιλέως, ὡς εἴρηται, καὶ ὁ Καῖσαρ ἐκείνῳ συνεξεστράτευσε, καὶ πυκνὰς κατ' αὐτοῦ τῷ Μιχαὴλ ὁ Βασίλειος καὶ οἱ περὶ ἐκεῖνον πεποίηντο τὰς διαβολάς, καὶ κεκύρωτο διὰ ταύτας ἡ κατ' ἐκείνου ἐπιβουλή. πολλὴν δὲ δύναμιν περιβεβλημένου τοῦ Καίσαρος, οἱ τὴν ἐπιβουλὴν ἀρτύοντες ἐδειλαίνοντο. πρωίας δέ ποτε τοῦ Βάρδα ἐκ τῆς οἰκείας σκηνῆς προελθόντος μετὰ λαμπρότητος καὶ δορυφορίας πολλῆς, καὶ τῷ βασιλεῖ D προσελθόντος, συγκαθίσαντός τε καὶ συνομιλοῦντος αὐτῷ, ὁ Βασίλειος ὄπισθεν αὐτοῦ ἑστηκὼς τὴν χεῖρα ἐπέσειεν, ἀπειλῶν ὥσπερ τῷ Καίσαρι. ὁ δὲ κατά τινα χρείαν ἑτέραν ἀθρόον ἐπιστραφεὶς καὶ ἰδὼν τὴν χεῖρα τοῦ Βασιλείου, καὶ συνεὶς τὸ δηλούμενον, τοῖς ποσὶ τοῦ βασιλέως ἐπέρριψεν ἑαυτόν. ὤκνουν δ' οἱ κατ' αὐτοῦ συνομοσάμενοι τὴν ἐγχείρησιν, μέχρις αὐτὸς ὁ Βασίλειος πρῶτος αὐτῷ τὸ ξίφος ἐπήνεγκεν. οὕτω γὰρ καὶ οἱ ἄλλοι ἀναθαρσήσαντες μεληδὸν τὸν Βάρδαν περιστάντες συνέκοψαν, καὶ τῷ μὲν τοιοῦτον τὸ τέλος τῆς βιοτῆς συνεκύρησεν. ὁ δέ γε βασιλεὺς τῆς ἐκστρατείας ἀφέμενος, εἰς τὸ

Βυζάντιον ἐπανέζευξε, καὶ ζεύγνυσι τῷ Βασιλείῳ
Εὐδοκίαν τὴν θυγατέρα τοῦ Ἴγκηρος, ἥτις αὐτῷ τῷ
PII166 κρατοῦντι πρῴην ἐπαλλακεύετο· εἶτα καὶ βασιλέα
τοῦτον ἀνεῖπεν αὐτὸς ἐν τῇ μεγάλῃ παραγενόμενος
ἐκκλησίᾳ καὶ διὰ τοῦ πατριάρχου Φωτίου περιθεὶς
αὐτῷ τὸ διάδημα. τίκτεται δὲ τῷ Βασιλείῳ ἐκ τῆς
Εὐδοκίας παιδίον ἄρρεν ὁ Λέων, ὃ τοῦ Μιχαὴλ
μᾶλλον εἶναι ἐλέγετο, ὡς ἐγκύου τῆς Εὐδοκίας οὔ-
σης ὅτε τῷ Βασιλείῳ συνῴκιστο. ἱππηλασίαις δὲ
καὶ συμποσίοις ἀεὶ σχολάζων ὁ Μιχαὴλ καὶ συνεχῶς
μεθυσκόμενος καὶ τῶν φρενῶν ἐξιστάμενος, ἃς οὐδὲ
νήφων ἔρρωτο, εἰς φόνον ἑαυτοῦ τὸν Βασίλειον ἐξη-
ρέθισεν. ἐκ γὰρ ἵππων ἀγῶνος ἐν τῷ ἁγίῳ Μά-
μαντι τελεσθέντος, ἐν ᾧ αὐτὸς ἡνιόχησε καὶ οἱ
W III 134 μεγιστᾶνες αὐτοῦ καὶ νενίκηκεν, ἐπὶ δεῖπνον
ἀνακλιθέντος συνανεκλίνετο καὶ ὁ Βασίλειος καὶ ἡ
B Εὐδοκία. Βασιλικῖνος δέ τις τῆς βασιλείου τριήρους
πρῴην ἐρέτης ὤν, διὰ δὲ σώματος ὡραιότητα προσ
ληφθεὶς παρὰ τοῦ κρατοῦντος καὶ τούτῳ οἰκειωθείς,
παρεστὼς τότε δειπνοῦντι τῷ βασιλεῖ ἐξεθείαζεν
αὐτόν, ὡς εὐφυῶς ἄγαν καὶ ἐντέχνως ἡνιοχήσαντα.
ὁ δέ, ἤδη γὰρ ἠκρατίσατο καὶ τὸν νοῦν ἐκτεθόλωτο,
ἡσθεὶς τοῖς ἐπαίνοις, ἐδίδου αὐτῷ τὰ φοινικόχροα
πέδιλα καὶ προσέταττεν ὑποδήσασθαι καὶ βασιλέα
ἀνεῖπε. τοῦ δὲ εὐλαβουμένου καὶ πρὸς τὸν Βασί-
λειον ἐνορῶντος, ὁ βασιλεὺς ἐχαλέπαινεν. ὁ δὲ Βα-
σίλειος ἐνένευσεν αὐτῷ πεισθῆναι καὶ ὑποδήσασθαι·
καὶ ὃς λαβὼν ὑπεδήσατο. ὁ δὲ βασιλεὺς τῷ Βασι-
C λείῳ ἔφη χολούμενος "τούτῳ μᾶλλον ἢ σοὶ τὰ τῆς
βασιλείας παράσημα ἐπεοίκασιν. ἢ οὐκ ἔξεστί μοι,
ὡς σὲ βασιλέα πεποίηκα, ποιῆσαι καὶ ἕτερον;" ἐν-
τεῦθεν δεδοικὼς ὁ Βασίλειος καὶ περὶ τῇ βασιλείᾳ

καὶ τῇ ζωῇ δρᾶσαι πρὸ τοῦ παθεῖν ἐμελέτησεν, ἑτέροις τε τὸ μελέτημα κοινωσάμενος, ἐπεὶ αὖθις ἐν δείπνῳ ἀκρατοποσίαις χρησάμενος ὁ Μιχαὴλ ἤδη κεκάρωτο, καὶ τῷ ἑαυτοῦ κοιτῶνι ἐν τοῖς κατὰ τὸν ἅγιον Μάμαντα βασιλείοις χειραγωγούμενος ἀνεκέκλιτο καὶ ὕπνῳ βαθυτάτῳ κατείληπτο, πρῶτον μὲν ἐξιὼν ὁ Βασίλειος τὰ κλεῖθρα τοῦ βασιλικοῦ κοιτῶνος κατέαξεν, ἵνα μὴ κλεῖσαι τὰς θύρας οἱ περὶ τὸν κοιτῶνα στρεφόμενοι δύναιντο, εἶτα καὶ τοὺς συνωμότας παραλαβὼν ἄπεισι. τῶν δὲ προκοιτούντων D
ὀλίγων ὄντων καὶ κωλύειν ἐπιχειρούντων, θόρυβος ἤρθη, καὶ διυπνίσθη ὁ βασιλεύς. εἰσελθόντος δέ τινος τῶν σὺν τῷ Βασιλείῳ καὶ τὸ ξίφος ἠρκότος κατὰ τοῦ Μιχαήλ, ἐκεῖνος τὰς χεῖρας ἦρε, καὶ ἄμφω ταύτας ὁ ξιφηφόρος πλήξας ἀπέκοψε, καὶ ὑπέστρεψε πρὸς τοὺς ἄλλους. ὁ δὲ μὴ φυγεῖν οἷός τε ὢν ἀκροσφαλῶς ἐκ τοῦ οἴνου βαίνων καὶ τῇ μέθῃ συμποδιζόμενος, ἔκειτο δεινῶς ἀπολοφυρόμενος, καί τις ἕτερος τῶν περὶ τὸν Βασίλειον ἔτι ζῶντα τοῦτον ἰδὼν εἰσεπήδησε, καὶ κατὰ τῶν στέρνων αὐτοῦ τὸ ξίφος ὠθήσας ἐπὶ τὴν γαστέρα τοῦτο προήνεγκεν, ὡς ἐκπεσεῖν αὐτῆς καὶ τὰ ἔγκατα.

Τῷ μὲν οὖν Μιχαὴλ οὕτως ἐπιλέλοιπε τὸ βιώ- 8
σιμον ἀξίως τῆς αὐτοῦ βιοτῆς. ὁ δὲ Βασίλειος αὐ- PII167
τίκα εἰς τὰ βασίλεια παρεγένετο, καὶ τούτων γενόμενος ἐγκρατὴς ἔπεμψε τῶν τοῦ κοιτῶνός τινα κηδεῦσαι τὸν Μιχαήλ. ὃς ἀπελθὼν εὗρε τὸν δείλαιον ἵππου ἐγκεκορδυλημένον σαγίσματι, καὶ ἀπαγαγὼν αὐτὸν ἐν τῇ μονῇ τῆς Χρυσοπόλεως ἔθαψεν. ὃς σὺν τῇ μητρὶ μὲν ἐβασίλευσεν ἔτη δέκα καὶ τέσσαρα, ἓν δ' ἐπὶ δέκα ἦρξε μόνος αὐτός. ἤδη δὲ τῆς βασιλείας δραξάμενος ὁ Βασίλειος καὶ παρὰ πάντων αὐτοκρά-

τωρ ἀναρρηθείς, τοὺς βασιλικοὺς παρόντων τῶν τῆς
συγκλήτου λογάδων ἀνέῳξε θησαυρούς, ἐν οἷς οὐ-
δὲν ἕτερον εὕρητο ἢ μόνα χρυσίου κεντηνάρια τρία.
B βουλῆς οὖν προτεθείσης ἐψήφιστο παρὰ πάντων τοὺς
ἐξ οὐδεμιᾶς χρήματα λαβόντας εὐλόγου λαβῆς ἀνα-
διδόναι ταῦτα ἢ τό γε δὴ μετριώτερον τὰ ἡμίση. καὶ
ἀκολούθως τῇ ψήφῳ τὰ ἡμίση ἐπράττετο, καὶ οὐ
μείω τριακοσίων ἐντεῦθεν κεντηναρίων τὸ ταμεῖον
τὸ βασιλικὸν εἰσωδίασεν. εἰς δὲ τὴν μεγάλην ἐκκλη-
σίαν ἐν ἑορτῇ ἀπελθὼν ὁ Βασίλειος καὶ τῆς ἀναι-
μάκτου θυσίας μετασχεῖν βουληθείς, ἐκωλύθη παρὰ
τοῦ πατριάρχου Φωτίου, ἀνδροφόνον ἀποκαλοῦντος
αὐτόν. ὀργισθεὶς οὖν διὰ τοῦτο σύνοδον συνήθροισε
καὶ τὸν Φώτιον τῆς ἐκκλησίας ἐξώθησεν, ὡς τάχα
παρανόμως τοῦ Ἰγνατίου κατασπασθέντος τοῦ θρό-
νου τοῦ ἀρχιερατικοῦ παρὰ Βάρδα τοῦ Καίσαρος,
W III 135 καὶ αὐτοῦ μὴ κανονικῶς ἐκείνου ζῶντος τοῦ θώκου
C τοῦ θείου ἐπιβατεύσαντος, Πάτροκλον τοῦτο πρό-
φασιν προβαλλόμενος. ἀνάγει γοῦν πάλιν εἰς τὴν
τῆς ἀρχιερωσύνης περιωπὴν τὸν θεῖον Ἰγνάτιον.
ἄρτι δὲ τῶν σκήπτρων ἐπειλημμένου αὐτοῦ ἀνταί-
ρουσιν αὐτῷ χεῖρα τῶν πατρικίων τινὲς Γεώργιος καὶ
Συμβάτιος, οἳ καὶ ληφθέντες ταῖς εἰς σῶμα ποιναῖς
ἐκολάσθησαν. ἔστεψε δὲ βασιλεῖς Κωνσταντῖνον καὶ
Λέοντα τοὺς υἱοὺς αὐτοῦ, μετέπειτα δὲ καὶ τὸν τρί-
τον Ἀλέξανδρον. τὸν δὲ τέταρτον Στέφανον πατρι-
άρχην βουλόμενος προχειρίσασθαι, νεώτατον ὄντα
τότε, τῷ κλήρῳ τῆς τοῦ θεοῦ ἐκκλησίας καταριθμεῖ.
τὰς δέ γε θυγατέρας αὐτοῦ τέσσαρας οὔσας τῇ βα-
σιλικῇ μονῇ τῆς ἁγίας Εὐφημίας κατέταξε. κατὰ δὲ
D τῶν ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν ἐκστρατεύσας ἡττήθη,
καὶ πολλοὶ μὲν ἔπεσον, καὶ ἑάλω δ' ἂν καὶ αὐτός, εἰ

μὴ ὁ Ἀβάστακτος Θεοφύλακτος ὁ πατὴρ τοῦ μετὰ ταῦτα βασιλεύσαντος τοῦ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ αὐτὸν διεσώσατο. ἐπανελθὼν δὲ εἰς τὴν μεγαλόπολιν τὸν γαμβρὸν αὐτοῦ Χριστοφόρον κατὰ τῶν Ἀγαρηνῶν εἰς τὴν Κρήτην ἐκπέπομφεν· ὃς συμβαλὼν αὐτοῖς καὶ τρεψάμενος τὸ θράσος σφῶν ἐταπείνωσεν. ἐξεστράτευσε δὲ καὶ κατὰ τῶν ἐν τῇ ἑῴᾳ μοίρᾳ Ἀγαρηνῶν ὁ αὐτοκράτωρ Βασίλειος καὶ κατὰ τῶν Μανιχαίων ὧν ἐξῆρχεν ὁ Χρυσόχειρ καλούμενος, καὶ φρούριά τινα κατασχὼν καὶ λείαν ἐλάσας ἐπεχείρησε μὲν πολιορκῆσαι καὶ τὴν Τεφρικὴν τὴν αὐτῶν μητρόπολιν, γνοὺς δὲ ταύτην καὶ προσεδρείας δεομένην πολλῆς καὶ ἄλλως δυσάλωτον, ἄρας ἐκεῖθεν PII168 *ἀπήει· καὶ τὸν Εὐφράτην εὑρὼν πολὺν ῥέοντα, ζεύξας τοῦτον ναυσὶ διεπέρασε, καὶ πολλὰ τῶν ἐκεῖ ληισάμενος, καὶ φρούρια ἑλὼν ἕτερα, καὶ τοῖς μὲν τῶν βαρβάρων σπεισάμενος, τοὺς δὲ προσκεχωρηκότας αὐτῷ δεξάμενος, εἰς τὴν τῶν πόλεων προκαθημένην ἐπανελήλυθε, καὶ διὰ μέσης θριαμβεύσας τῆς πόλεως εἰς τὰ βασίλεια ἐπανῆκεν. ὁ δὲ τῶν Μανιχαίων προεστηκὼς ὁ Χρυσόχειρ κατὰ τῶν Ῥωμαϊκῶν ἐπήει χωρῶν, καὶ αὐτὰς ἐληίζετο. στέλλει τοίνυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν δομέστικον τῶν σχολῶν. ὅτι δὲ μὴ ἀξιόχρεων ἐπήγετο δύναμιν, κατὰ συστάδην αὐτῷ συμβαλεῖν οὐκ ἔκρινε δεῖν. ὅπῃ δὲ παρείκοι, τοῖς αὐτοῦ συμπλεκόμενος σκιδναμένοις καὶ ποιουμένοις καταδρομὰς ἐκάκου αὐτοὺς καὶ οὐκ* B *ἀδεῶς εἴα ποιεῖσθαι τὰς ἐκδρομὰς καὶ τὰς λεηλασίας. διὸ καὶ ἣν ἤδη ἴσχυσε λαβεῖν λείαν ὁ Χρυσόχειρ ἐπαγόμενος, οἴκαδε ἐπανέστρεφεν. ὁ δὲ δομέστικος τῶν σχολῶν δύο στρατηγοῖς ἐνετείλατο παρέπεσθαί οἱ μετὰ τῶν περὶ αὐτοὺς ταγμάτων καὶ μὴ ἐᾶν τοὺς*

βαρβάρους σκίδνασθαι καὶ λεηλατεῖν. ἑσπέρας δὲ τοῦ μὲν Χρυσόχειρος καὶ τῶν περὶ αὐτὸν αὐλισαμένων ἐν ὑπωρείᾳ, τῶν δὲ Ῥωμαίων τὰ μετέωρα προκατειληφότων, ἔρις ἐνέπεσε περὶ πρωτείων καὶ τοῦ τίνες ἂν εἶεν ἀγαθοὶ μᾶλλον τὴν ἰσχὺν τοῖς ἀμφοῖν τῶν στρατηγῶν στρατιώταις. ὡς δ' ἕκαστοι ἑαυτοὺς κρειττονεύειν τῶν ἄλλων ἐμεγαλαύχουν, εἷς τις λῦσαι τὴν ἔριν σφίσι βουλόμενος "ἵνα τί μάτην" φησί C "συστρατιῶται θρασυνόμεθα, ἐνὸν μὴ λόγοις, ἀλλ' ἔργοις ἄρτι φανῆναι τίνες ἄνδρες εἰσὶν ἀγαθοὶ τῶν πολεμίων παρόντων; ἔδοξεν οὖν ἡ βουλὴ τοῦ ἀνδρὸς ἀγαθὴ καὶ αὐτίκα τοῖς πολεμίοις ἐπέθεντο. οἱ δὲ τῷ αἰφνιδίῳ καταπλαγέντες νῶτα τοῖς βάλλουσιν ἔτρεψαν, καὶ τῆς διώξεως ἐπὶ πολὺ γενομένης κατεστρώθη τὸ μεταξὺ πεδίον νεκροῖς, καὶ αὐτὸς δὲ ὁ Χρυσόχειρ ἔπεσε τότε, καὶ πολλοὶ δ' ἐζωγρήθησαν, καὶ τῷ βασιλεῖ ἐστάλησαν δέσμιοι, καὶ αὐτὴ δ' ἡ κεφαλὴ τοῦ Χρυσόχειρος. Ἰγνατίου δὲ τοῦ πατριάρχου μεταστάντος εἰς τὰς ἐκεῖθεν μονάς, ὃς ἕνδεκα ἔτη τὰ πάντα τοὺς τῆς ἐκκλησίας ἴθυνεν οἴακας, ὁ Φώτιος τὸ δεύτερον παρὰ τοῦ Βασιλείου εἰς τὸν τῆς D ἀρχιερωσύνης θρόνον ἀνάγεται. ἐπιβουλὴ δὲ συ- W III 136 σκευαζομένη κατὰ τοῦ βασιλέως οὐκ ἔλαθεν. ὅθεν ὁ μὲν ἐξάρχων αὐτῆς Ῥωμανὸς ὁ Κουρκούας ἐξεκόπη τὰ ὄμματα, οἱ δὲ τούτῳ συνομοσάμενοι αἰκισθέντες καὶ καρέντες τὴν τρίχωσιν ὑπερορίαν κατεδικάσθησαν.

9 Ἤδη δὲ τοῦ ἔαρος ἀναλάμποντος ἐκστρατεύει κατὰ τῆς Συρίας τὸν ἕνα τῶν υἱῶν τὸν Κωνσταντῖνον ἔχων μεθ' ἑαυτοῦ, καὶ εἷλε τῶν φρουρίων τινά, ἔνιοι δὲ προσεχώρησαν αὐτῷ διὰ τὴν τῶν ἄλλων ἅλωσιν δειλιάσαντες. εἶτα τῇ Γερμανικείᾳ

προσβάλλει, καὶ τὰ προάστεια δηώσας αὐτῆς ἀφίκετο πρὸς πόλιν τὴν Ἄδαταν, καὶ ταύτην ἐπολιόρκει. ὀλιγώρως δὲ πρὸς τὴν πολιορκίαν διακειμένων τῶν πολιτῶν αὐτῆς ἤρετο αὐτοὺς ὁ Βασίλειος ὅτῳ πεποιθότες οὐ προσέρχονταί οἱ, ἤδη τῆς πόλεως ἁλισκο- PII169 μένης. καί τις τῶν χρόνῳ προβεβηκότων φησὶν ἀκριβῶς εἰδέναι ὡς οὐχ ὑπὸ σοῦ πέπρωται τὴν πόλιν ἁλῶναι νυνί, ἀλλ' ὑφ' ἑτέρου τῶν ἐξ ὀσφύος καταγομένων τῆς σῆς Κωνσταντίνου τὴν κλῆσιν. τοῦ δὲ βασιλέως τὸν υἱὸν ἐπιδείξαντος, καί "οὗτος ὁ Κωνσταντῖνός ἐστι" φήσαντος, ὁ γηραιὸς ἐκεῖνος "οὐχ οὗτος" εἶπεν "ὁ Κωνσταντῖνός ἐστιν, ὑφ' οὗ ἡμῶν ἡ πόλις ἁλώσεται, ἕτερος δέ τις τῶν ἀπογόνων τῶν σῶν. μηνίσας οὖν ἐπὶ τοῖς τοῦ πρεσβύτου προμαντεύμασιν ὁ Βασίλειος, κραταιότερον τῇ πολιορκίᾳ ἐπέθετο. ἐπεὶ δὲ οὐδὲν ἤνυε, καὶ ψῦχος δὲ γεγονὸς ἐλύπει σφόδρα τὸ στράτευμα, τὴν πολιορκίαν λιπὼν ἐπανόδου ἐμέμνητο, τοὺς αἰχμαλώτους ἀναιρεθῆναι προστάξας, ἵνα μὴ φυλακῆς δέωνται ἤ τι νεωτερί- B σωσιν ἀδείας λαβόμενοι. οἱ δ' ἐκ Ταρσοῦ καὶ Μελιτηνῆς Ἀγαρηνοὶ τὰς Ῥωμαϊκὰς κατέτρεχον χώρας, οἷς ἀντεπιὼν ὁ στρατηλάτης Ἀνδρέας τὰς ὁρμὰς αὐτῶν ἀνέκοπτεν. ἐπιστείλαντος δὲ αὐτῷ τοῦ ἀμηρᾶ τῆς Ταρσοῦ ὡς "οὐδέν σε ὁ τῆς Μαρίας υἱὸς ὀνήσει κατὰ σοῦ ἐπιόντος μου", ἐκεῖνος τὴν βλάσφημον ἐπιστολὴν εἰκόνος τῆς θεομήτορος ἐξηρτήσατο, "ἀνταπόδος τῷ ἀλαζόνι" λέγων "ὦ δέσποινα, τοῦ φρυάγματος τὰ ἐπίχειρα." καὶ ταῦτα εἰπὼν ἐχώρει κατὰ τοῦ βλασφημήσαντος, καὶ μάχης κροτηθείσης τρέπονται οἱ πολέμιοι, καὶ γίνεται τούτων φόνος πολύς, καὶ αὐτὸς δὲ ὁ ἀμηρᾶς ἀποσφάττεται, μετρίων διαφυγόντων τινῶν. φθονηθεὶς δὲ ὁ στρα- C

τηλάτης διεβέβλητο ὡς δυνάμενος καὶ τὴν Ταρσὸν ἐξελεῖν οὐκ ἠθέλησε. διὸ ἀφαιρεῖται μὲν τὴν ἀρχὴν ὁ βασιλεὺς ἀπ' αὐτοῦ, δίδωσι δὲ ταύτην τῷ Στυππειώτῃ, ἐπαγγελλομένῳ καὶ τὴν Ταρσὸν ἐκπορθῆσαι καὶ ἄλλα πλείω κατωρθωκέναι νεανιευομένῳ· ὃς οὐ μόνον ὧν ηὔχει οὐδὲν κατωρθώκει, ἀλλὰ καὶ δυστυχήματι περιπέπτωκεν ἐξ ἀμελείας καὶ ἀπερισκέπτου σκηνώσεως. γνόντες γὰρ οἱ βάρβαροι τὸ ἐκείνου στρατόπεδον ἀφυλάκτως ἔχον, νυκτὸς αὐτῷ ἐπιτίθενται καὶ ἀναιροῦσι πολλούς, οἱ πλείους δὲ ὑπ' ἀλλήλων συμπατούμενοι διεφθείροντο, καὶ οὕτως ὑπερέσχον οἱ ἐκ τῆς Ἄγαρ. ἀλλὰ D τὰ μὲν ἑῷα τοῦτον ἔσχε τὸν τρόπον, χειρόνως δὲ διέκειντο τὰ ἑσπέρια. ἥ τε γὰρ τοῖς Ῥωμαίων βασιλεῦσιν ὑπήκοος Ἰταλία καὶ τὰ πλεῖστα τῆς Σικελίας ὑπόφορα τοῖς Καρχηδονίοις ἐπὶ τῆς βασιλείας τοῦ Μιχαὴλ γεγόνασιν, ἀλλὰ μὴν καὶ ἄλλα τῶν ἐθνῶν πλείονα. στόλον γὰρ ἐξαρτύσαντες οἱ ἐκ Καρχηδόνος Ἀγαρηνοὶ πολλὰ μὲν εἷλον πολίσματα, τέλος δ' ἐπολιόρκουν καὶ τὸ Ῥαούσιον. στέλλουσιν οὖν οἱ Ῥαούσιοι πρεσβείαν πρὸς τὸν βασιλέα Βασίλειον, ἐπικουρίαν παρ' αὐτοῦ ἐξαιτούμενοι, καὶ ὃς ἑκατὸν αὐτοῖς πολεμιστηρίους νῆας ἐκπέπομφεν, ἃς ἐπιέναι σφίσι μαθόντες οἱ πολιορκοῦντες Ἀγαρηνοὶ λύσαντες τὴν πολιορκίαν τοῦ Ῥαουσίου τῇ Λογγιβαρδίᾳ προσέβαλον, καὶ τὸ ἄστυ τῆς Βάρεως PII170 εἷλον, καὶ τούτῳ κεχρημένοι ὁρμητηρίῳ πάσης τῆς Λογγιβαρδίας ἐκράτησαν. γνόντα δὲ καὶ τὰ λοιπὰ ἔθνη, τὰ παρὰ τῶν Ἀγαρηνῶν τούτων, ὡς εἴρηται, WIII137 πιεζόμενα, τὸ γεγονὸς κατὰ τὸ Ῥαούσιον, καὶ ὅτι τὴν ἐκ βασιλέως συμμαχίαν δείσαντες οἱ πολέμιοι τῆς πολιορκίας ἀπέστησαν, πρεσβεύουσι καὶ αὐτοὶ

συμμαχίαν αἰτοῦντες καὶ ἑαυτοὺς τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑποτιθέμενοι. καὶ ὁ βασιλεὺς τὴν πρεσβείαν προσήκατο καὶ ἐπεκούρησε τοῖς αἰτήσασι διά τε τοῦ προειρημένου στόλου καὶ διὰ τοῦ τῶν Φράγγων ῥηγός. ἐπέστειλε γὰρ ἐκείνῳ συλλαβέσθαι τοῦ κατὰ τῶν Ἀγαρηνῶν πολέμου τῷ τῶν Ῥωμαίων στρατεύματι, ὑφ' ὧν ἡ τῶν Ἀγαρηνῶν κατεπολεμήθη στρατιὰ καὶ ὁ ἀρχηγὸς αὐτῶν ἑάλω Σουλδάνος καλούμενος, ὃν ὁ ῥὴξ τῶν Φράγγων ἐν Καπύῃ ἀπήγαγεν. ὅπη δύο διατρίψας ἐνιαυτοὺς οὐκ ὤφθη B
παρά του μειδιάσας οὐδέποτε, ὥστε τὸν ῥῆγα θαυμάζειν καὶ εἴ τις ἀπαγγείλειεν αὐτῷ γελῶντα τὸν βάρβαρον, δώσειν τι ἐπαγέλλεσθαι τῆς ἀγγελίας μισθόν. εἶπεν οὖν τίς ποτε ἰδεῖν τὸν Σουλδάνον γελάσαντα. καλέσας οὖν τὸν βάρβαρον ὁ ῥὴξ τὴν αἰτίαν τοῦ γέλωτος ἤρετο. ὁ δὲ τροχὸν εἶπεν ἁμάξης ὁρᾶν, οὗ τὸ μὲν πρόσγειον ἦν, τὸ δ' ἦρτο μετέωρον, εἶτα τὸ μὲν μετέωρον κατῆκτο πρὸς γῆν, τὸ δὲ πρόσγειον μετεώριστο. "οὕτω δ' εἰκάσας καὶ τὰ ἀνθρώπινα πράγματα κινεῖσθαι καὶ μεταφέρεσθαι ἐξεγέλασα, λογισάμενος ὡς οὐκ ἀδύνατον οὕτω διατεθῆναι καὶ τὰ κατ' ἐμαυτόν, καὶ ὥσπερ ἐξ ὕψους κατηνέχθην εἰς ταπεινότητα, οὕτως αὖθις ἴσως ἐκ χθαμαλότητος εἰς ὕψος ἐπαρθῆναι καὶ γενέσθαι C
μετάρσιος." ταῦτα μὲν εἶπεν ἐκεῖνος. ὁ δὲ ῥὴξ καὶ τὴν τῶν λόγων ἀλήθειαν εἰς νοῦν εἰληφὼς καὶ τὸν Σουλδάνον τῆς μεταβολῆς κατοικτείρας ᾠκειώσατό τε αὐτὸν καὶ παρρησίας μετέδωκε, καὶ συνετὸν τὸν ἄνδρα οἰόμενος, ἐκοινώνει καὶ βουλευμάτων αὐτῷ. ὁ δὲ περίεργος ὢν δόλῳ τὸν ῥῆγα μετέρχεται. ὁ μὲν γὰρ ῥὴξ τήν τε Καπύην καὶ τὴν Βενεβενδὸν τὰς πόλεις νέον κτησάμενος, ἐδεδοίκει περὶ αὐταῖς μή-

ποτε τῆς ἐλευθερίας ἀντιποιήσωνται. ὁ δὲ βάρβαρος ἐκεῖνος τοῦτ' ἐγνωκὼς πρόσεισι τῷ ῥηγὶ καί φησιν "εἰ βούλει σοι τὴν τῶν πόλεων τούτων ἀρχὴν βεβαίαν προσεῖναι, τοὺς λογιμωτέρους τῶν ἐν D αὐταῖς μετάγαγε ἀλλαχοῦ, καὶ οὐκέτι τὸ πλῆθος καθ' ἑαυτὸ γεγονὸς οὐδὲν φρονήσει νεώτερον." συνοίσουσαν οὖν τὴν συμβουλὴν ὁ ῥὴξ οἰηθεὶς ἔθετο τῷ σκοπῷ, καὶ ἀσυμφανῶς δεσμὰ ἐχαλκεύοντο. εἶτα καὶ τοῖς ἐξόχοις τῶν ἐν ταῖς πόλεσιν ὡμίλει ὁ πονηρὸς ἐκεῖνος ἀνήρ, καὶ ὥσπερ φιλικώτερον προσεφέρετο καὶ ἐν ἀπορρήτοις λέγει αὐτοῖς ὡς ὁ ῥὴξ βούλεται τοὺς ἀξιολογωτέρους τῶν πολιτῶν ὑπὸ δεσμοῖς ποιησάμενος εἰς τὴν ἑαυτοῦ χώραν μεταγαγεῖν, καὶ πίστεις, ἔφη, τῶν λόγων τὸ τὰς σιδηρέας ἁλύσεις χαλκεύειν καὶ χειροπέδας καὶ ἄλλα δεσμά. τοῦτο τοίνυν ἐκεῖνοι ἀληθὲς εὑρηκότες, εὐνοεῖν αὐτοῖς αὐτὸν ὑπειλήφασι, καὶ ἐξελθόντι πρὸς PII171 κυνηγέσιον τῷ ῥηγὶ τὰς πύλας τῶν πόλεων ἐπεζύγωσαν, καὶ οὐκέτι τοῦτον ἐντὸς εἰσεδέξαντο. καὶ ὁ μὲν ἀπῆλθε πρὸς ἑαυτόν, ὁ δὲ Σουλδάνος παρὰ τῶν πολιτῶν ἐκείνων ἀντιμισθίαν εὕρατο τὴν ἐλευθερίαν. ἀπελθὼν οὖν καὶ τὴν προτέραν ἀρχὴν αὖθις κατακτησάμενος, ἐκστρατεύει κατὰ τῶν εἰρημένων πόλεων τῆς τε Καπύης καὶ τῆς Βενεβενδου. οἱ δὲ τῇ πολιορκίᾳ πιεζόμενοι στέλλουσι πρὸς τὸν ῥῆγα, συγγνωμονῆσαι σφίσι καὶ συμμαχῆσαι θερμῶς ἐξαιτούμενοι. ὡς δ' ἐκεῖνος τὴν πρεσβείαν οὐ προσήκατο, ἐπιχαίρειν εἰπὼν τῇ ἀπωλείᾳ αὐτῶν, πρὸς τὸν βασιλέα Βασίλειον ἑτέραν πρεσβείαν ἐστάλκασι, παρακαλοῦντες ἐπαρῆξαι αὐτοῖς κινδυνεύουσι. B καὶ ὃς ὑπέσχετο, καὶ ὁ πρεσβευτὴς ἐπανῄει, θαρρεῖν παρεγγυήσων τοῖς συμπολίταις αὐτοῦ. ἑάλω δ'

ὑπὸ τῶν πολεμίων, καὶ μαθὼν ὁ Σουλδάνος ὅπῃ W III 138 τε ἦν καὶ οἷα κομίζει τοῖς ἀστοῖς εὐαγγέλια, φησὶ πρὸς αὐτόν "εἰ ζῆν ἐθέλεις, ἀπαγορεῦσαι τὸν βασιλέα τὴν συμμαχίαν τοῖς πέμψασί σε ἀπάγγειλον ἐκ τοῦ τείχους προκύπτουσιν· εἰ γὰρ μὴ οὕτω ποιήσεις, ἴσθι αὐτίκα δὴ τεθνηξόμενος. ὁ δὲ συνέθετο ποιήσειν ὡς ἐνετέλλετο, καὶ στὰς πρὸ τοῦ τείχους δέσμιος κατεχόμενος ἔφη καὶ τὴν πρεσβείαν ἀνύσαι καὶ ἥξειν ὅσον ἤδη ἐκ βασιλέως βοήθειαν· καὶ ὁ μὲν ταῦτα λέγων τοῖς ξίφεσι κατετέτμητο. ὁ δὲ Σουλδάνος τὴν τῆς πόλεως ἀπελπίσας ἅλωσιν, ὑπεχώρησε. καὶ ὁ τῆς Ταρσοῦ δὲ ἀμηρᾶς Ἐσμὰν μετὰ πλοίων μεγάλων, ἃ κουμπάρια τοῖς ἐκ τῆς Ἄγαρ C ὠνόμασται, τῇ πόλει τοῦ Εὐρίπου προσέβαλεν· ἤνυσε δὲ οὐδέν, ἀλλ' αὐτός τε ἀπώλετο καιρίως πληγεὶς καὶ τὸ πλέον τῆς στρατιᾶς αὐτοῦ. ἀλλὰ μέντοι καὶ ὁ τῆς Κρήτης κρατῶν Σαὴτ ὁ Ἀπόχαψ ἕτερον στόλον ἑτοιμασάμενος Φώτιόν τινα δραστήριον ἄνδρα τούτῳ ἐπέστησεν, ὃς τά τε παράλια τοῦ Αἰγαίου καὶ τὰς νήσους ἐκάκου. ᾧ συναντήσας ὁ τῶν Ῥωμαίων στόλος, οὗ ναύαρχος ἦν ὁ τῶν πλωίμων δρουγγάριος ὁ πατρίκιος Νικήτας ὁ Ὠορύφας, πολλὰς μὲν τῶν πολεμίων νεῶν τῷ ὑγρῷ πυρὶ ἀπετέφρωσε καὶ τοὺς ταύταις ἐμπλέοντας, πολλοὺς δὲ μαχαίρας ἔθετο ἔργον καὶ πλείους ὑποβρυχίους ἐποίησεν. ὅσοι δὲ τὸν πολυειδῆ τοῦτον ἔφυγον κίνδυνον, αἰσχρῶς ἀποδράντες ἐσώθησαν. οὐκ ἠγά- D πων μέντοι σωζόμενοι· πειρατικὰς δὲ νῆας ἑτοιμασάμενοι τὴν Πελοπόννησον καὶ τὰς ἐκεῖ κατέτρεχον νήσους. ἀλλ' αὖθις αὐτοῖς ὁ ῥηθεὶς τοῦ στόλου δρουγγάριος ἔπεισι· τῷ γὰρ λιμένι προσορμίσας τῶν Κεγχρεῶν, καὶ τὰ πολέμια πλοῖα περὶ Μεθώνην καὶ

Πύλον καὶ Πάτρας ἐμφιλοχωρεῖν ἐγνωκώς, διὰ τοῦ κατὰ Κόρινθον ἰσθμοῦ ταχέως διαγαγὼν τὰς τριήρεις ἐν τῇ ξηρᾷ ἐπιτίθεται τοῖς πολεμίοις ἀνωιστί, καὶ τῷ ἀνελπίστῳ ἐκπεπληγμένων αὐτῶν τὰς μὲν τῶν ληστρικῶν νηῶν ἐπυρπόλησε, τὰς δὲ καὶ αὐτάνδρους κατέδυσε, καὶ αὐτοῦ τῶν πολεμίων ἐξηγουμένου Φωτίου ἀναιρεθέντος. οὕτω μὲν οὖν καὶ ὁ τῶν Κρητῶν ἀπώλετο στόλος.

10 Ἐξ Ἀφρικῆς δ' ἕτεραι νῆες αὖθις ἑξήκοντα παμ-
P II 172 μεγέθεις ἐξώρμησαν, καὶ τὴν ὑπὸ Ῥωμαίους καὶ αὗται ἐλυμαίνοντο, καὶ μέχρι Κεφαλληνίας καὶ Ζακύνθου προῆλθοσαν. στέλλεται τοίνυν ναυτικὸν κατ' αὐτῶν, ναυαρχοῦντα τὸν Νάσαρ ἔχον. πολλῶν δ' ἐκ τῶν περὶ τὴν εἰρεσίαν πονούντων ἀποδρασάντων, αἱ τριήρεις ἦσαν ἡμίκενοι· διὸ καὶ ὁ ναύαρχος οὐκ ἔκρινε δεῖν οὕτω συμμίξαι τοῖς πολεμίοις, ἀλλ' ἀναφέρει τῷ βασιλεῖ τὸ συμβάν, καὶ οἱ λιποτάκται ζητηθέντες ταχὺ κατεσχέθησαν. ἵνα δὲ καὶ φόβον ἐμποιήσῃ τῷ ναυτικῷ καὶ μηδένα κολάσῃ χριστιανόν, τριάκοντα τῶν ἐν εἱρκταῖς φρουρουμένων Ἀγαρηνῶν ἐκβληθῆναι κελεύει νυκτός, καὶ πε-
B ριχρῖσαι μὲν ἀσβόλῃ τὰς ὄψεις αὐτῶν, ὡς ἂν μὴ ἐπιγινώσκοιντο, εἶτα καὶ αἰκίσασθαι σφᾶς καὶ διὰ τῆς ἀγορᾶς περιαγαγεῖν, ἀνασκολοπισθῆναί τε ἀπαχθέντας εἰς Πελοπόννησον. οὗ γενομένου οἱ τοῦ στόλου ναυτικοὶ ἐξεδειματώθησαν, καὶ οὕτω τοῖς ἐναντίοις ἐπῆλθον νυκτὸς καὶ τρόπαιον ἤραντο, τῶν μὲν ἀπολομένων, τῶν δὲ ἑαλωκότων. εἶτα καὶ εἰς Σικελίαν διέβησαν, καὶ τὰς ἐκεῖ πόλεις, ὅσαι τοῖς Καρχηδονίοις διέφερον, ἐκάκωσάν τε καὶ ἐξεπόρθησαν. καὶ οἱ ἐκ Μεσημβρίας δὲ Ἄραβες, ἐσχολακέναι τὸν Ῥωμαϊκὸν μαθόντες στόλον, τὰ τῆς Φοι-

νίκης καὶ τῆς Συρίας ναυσὶ προσπλέοντες ἐκάκουν παράλια. ὁ γὰρ βασιλεύς, ὅτι Μιχαὴλ ἀνεῖλε τὸν πρὸ αὐτοῦ βασιλεύοντα, οἷον ἐξιλασκόμενος C *τὸν θεόν, πολλαχοῦ τῆς βασιλίδος τῶν πόλεων τῷ ἀρχιστρατήγῳ Μιχαὴλ ναοὺς ἐδείματο ἐκ καινῆς· καὶ ἐν αὐτοῖς δὲ τοῖς ἀνακτόροις ἐδομήσατο τούτῳ πολυτελές τε καὶ πολυδάπανον τέμενος, ὃ καὶ Νέαν ἐκκλησίαν ἐκάλεσεν. ἐν τούτοις οὖν τοῖς δομήμασι* W III 139 *τῶν πλωίμων ἀσχολουμένων, καὶ τῶν νώτων αὐτῶν οὐκ ἀφισταμένων ἀπὸ τῶν ἄρσεων, τῶν τε χειρῶν αὐτῶν ἐν τοῖς κοφίνοις δουλευουσῶν, ὁ στόλος ἐσχόλασε· διὸ καὶ οἱ Ἀγαρηνοὶ ἀδεῶς, ὡς εἴρηται, τὰ παράλια ἐληίζοντο, καὶ οὐ μόνα ταῦτα ἐκάκουν, ἀλλὰ καὶ τὴν Συράκουσαν ἐξεπόρθησαν. ὁ δὲ βασιλεὺς ταῖς οἰκοδομαῖς τὸ ναυτικὸν τοῦ στόλου κατέτρυχε, καὶ τῷ προφήτῃ Ἡλιοῦ τῷ Θεσβίτῃ ναὸν* D *ἀνεγείρας· ἐτίμα γὰρ τοῦτον διαφερόντως, καὶ ᾤετο προσληφθήσεσθαί ποτε παρ᾽ αὐτοῦ καὶ τῷ πυρίνῳ συνεπαρθήσεσθαι ἅρματι. ὅμως μέντοι τὴν ἅλωσιν καὶ κατασκαφὴν τῆς Συρακούσης μαθών, ἔστειλε τοὺς ἀντικαταστησομένους τοῖς ἀλιτηρίοις Ἀγαρηνοῖς· ἀλλ᾽ οὐδὲν ἤνυστο. εἶτα τὸν Φωκᾶν Νικηφόρον μετὰ δυνάμεως ἀξιομάχου ἐκπέπομφεν, ἄνδρα γενναιότατον ὁμοῦ καὶ στρατηγικώτατον, ὃς καὶ πολλὰ κατὰ τῶν τῆς Ἄγαρ ἐκγόνων ἐστήσατο τρόπαια. ὅτε δὲ τῷ Θεοφιλίτζῃ, ὡς εἴρηται, ἐξυπηρέτει, οὗτος ὁ βασιλεὺς συγκατῆλθεν ἐκείνῳ εἰς Πελοπόννησον, καὶ εἰς τὸν τοῦ ἁγίου ἀποστόλου Ἀνδρονίκου ναὸν εἰσῆλθε σὺν τῷ κυρίῳ αὐτοῦ. ἦν δ᾽ ἐκεῖσε προσμένων* P II 173 *μοναχός τις, ἀντιποιούμενος ἀρετῆς, ὃς τοῦ μὲν Θεοφιλίτζη οὐδεμίαν φροντίδα πεποίητο, τὸν δὲ Βασίλειον θεασάμενος καὶ ἐξυπανέστη καὶ προσε-*

κύνησε καὶ φιλοφρόνως ἐδεξιώσατο. γυνὴ δέ τις χήρα ἐν τῇ χώρᾳ ἐκείνῃ τυγχάνουσα καὶ τῶν ἐγχωρίων πρωτεύουσα, πλούτῳ τε περιρρεομένη πολλῷ, συνήθης οὖσα τῷ μοναχῷ καὶ μαθοῦσα τὸ γεγονός, μετεπέμψατο τοῦτον καὶ ἤρετο πῶς τὸν μὲν Θεοφιλίτζην ἄρχοντα περιφανῆ καὶ τοῖς βασιλεῦσι κατὰ γένος προσήκοντα οὔτε προσρήσεως οὔτε δεξιώσεώς τινος κατηξίωσε, τῷ δ' ἐκείνῳ ὑπηρετοῦντι καὶ προσεφώνησε καὶ τιμῆς μετέδωκεν οὐκ ἀναλο- B *λούσης τῇ καταστάσει αὐτοῦ, ἀλλὰ καὶ λίαν ὑπερβαλλούσης αὐτήν. εἴκαζε γάρ, εἰδυῖα τὸν μοναχόν, μὴ ἀλόγως ποιῆσαι τὸ γεγονός. ὁ δὲ "τὸν μὲν Θεοφιλίτζην ἰδιώτην" εἶπεν "ἑώρων, βασιλέα δὲ τὸν Βασίλειον, καὶ διὰ τοῦτο καὶ ὡς βασιλέα τὸν ἄνδρα τετίμηκα. ἴσθι γὰρ ὡς πρὸς τοῦ θεοῦ βασιλεὺς ἐκεῖνος ἀφώρισται." ταῦτα ἀκούσασα ἡ γυνή, ἐπεὶ νοσήσας ἐκεῖ κατελείφθη ὁ Βασίλειος, ἀπάραντος ἐκεῖθεν τοῦ κυρίου αὐτοῦ, προσελάβετό τε αὐτὸν εἰς τὸν οἶκον αὐτῆς καὶ θεραπείας ἠξίωσε, καὶ ἀναρρωσθέντα εἰσποιητὸν ἀδελφὸν τῷ υἱῷ αὐτῆς γενέσθαι πέπεικε, καὶ χρήματα παρέσχεν, εἶτα καὶ τὴν βασιλείαν αὐτῷ προαγορεύει, καὶ ὅτε τεύξεται τῆς ἀρχῆς, μὴ ἐπιλαθέσθαι τοῦ παιδὸς αὐτῆς ἀξιοῖ μήτ' αὐτῆς, εἰ τοῖς ζῶσιν ἔτι συγκαταλέγοιτο. ὁ μὲν οὖν Βασίλειος ἐπὶ τούτοις ἀπῆλθεν. ἐκείνη δὲ βα-* C *σιλεύσαντος ἄρτι πρὸς τὴν βασιλίδα τῶν πόλεων μετὰ τοῦ υἱοῦ παρεγένετο, δῶρα προσαγαγοῦσα πολυτελῆ καὶ πολλά· ἣν ἐντίμως ὁ βασιλεὺς προσεδέξατο καὶ τὸν υἱὸν αὐτῆς, ὃν ἀδελφὸν ἐκ πνευματικῆς διαθέσεως, ὡς εἴρηται, ἔσχηκε, πρωτοσπαθάριον τετίμηκε. σεισμῶν δὲ διαφόρων συμβάντων, ἐξ ὧν πολλοὶ ναοὶ διερράγησαν, ὁ βασιλεὺς αὖθις*

αὐτοὺς ἀνωρθώσατο· οὐ μὴν ἀλλὰ καὶ τὴν δυτικὴν μεγάλην ἀψῖδα τῆς τοῦ θεοῦ λόγου Σοφίας ῥαγεῖσαν καὶ πεσεῖν τυγχάνουσαν προσδοκήσιμον μηχαναῖς τεχνιτῶν συνέσφιγξέ τε καὶ ἥδρασε. καὶ τῶν Ἰουδαίων πολλοὺς δόσεσι χρημάτων καὶ ὑποσχέσεσι χριστιανοὺς γενέσθαι πέπεικε, καὶ τῷ ἔθνει τῶν Ῥὼς σπεισάμενος εἰς ἐπίγνωσιν ἐλθεῖν τοῦ καθ' ἡμᾶς D μυστηρίου πεποίηκε. συνθεμένοις γὰρ βαπτισθῆναι ἀρχιερεὺς αὐτοῖς ἐστάλη παρὰ τοῦ αὐτοκράτορος. οἱ δὲ μεταθέσθαι μέλλοντες ἐκ τῆς οἰκείας θρησκείας εἰς τὴν καθ' ἡμᾶς ὤκνουν τε καὶ ἐδίσταζον, καί "εἰ μή τι θαῦμα ἴδοιμεν" εἶπον πρὸς τὸν ἀρχιερέα "οἷα πολλὰ διδάσκεις αὐτὸς γενέσθαι πρὸς W III 140 τοῦ Χριστοῦ, οὐκ ἄν ποτε δέξασθαι πεισθείημεν τὸ δόγμα τὸ σόν." καὶ ὃς "αἰτήσασθε" εἶπεν "ὃ βούλεσθε." κἀκεῖνοι "τὴν βίβλον" εἶπον "ἣ τὰ περὶ τοῦ Χριστοῦ διδάσκει, βλητέον εἰς πῦρ· καὶ εἰ διαμείνῃ ἀνάλωτος, πίστις ἔσται ταῦτα ἡμῖν ἀληθῶς εἶναι θεὸν τὸν παρὰ σοῦ κηρυττόμενον." συνέθετο ποιῆσαι τουτὶ ὁ ἐπίσκοπος· ἀνήφθη πυρκαϊά, ἦρε πρὸς P II 174 οὐρανὸν ὁ ἀρχιερεὺς τὰς χεῖράς τε καὶ τὰ ὄμματα· "δόξασόν σου" εἶπε "τὸ ὄνομα, Χριστὲ ὁ θεός." ἐνέθετο τῇ πυρκαϊᾷ τὸ ἱερὸν εὐαγγέλιον· τὸ δὲ χρονίσαν ἐν τῇ φλογὶ ἀδιαλώβητον ἔμεινεν. οἱ βάρβαροι ἐξεπλάγησαν, ἐπίστευσαν τῷ κηρύγματι καὶ τελεσθῆναι κατήπειγον τῷ θείῳ βαπτίσματι. ταῦτα μὲν οὖν ταύτῃ συμβέβηκεν.

Ὁ δ' εἷς τῶν τοῦ βασιλέως υἱῶν ὁ Κωνσταντῖ- 11
νος, ὃν καὶ μᾶλλον τῶν ἄλλων ἐφίλει, νοσήσας ἐξέλιπε, καὶ ὁ αὐτοκράτωρ βαρέως τὸν ἐκείνου ἤνεγκε θάνατον καὶ ἦν ἀπαράκλητος, καὶ ἐζήτει ζῶντα τοῦτον ἐμφανισθῆναι αὐτῷ. ἦν δέ τις μοναχὸς Θεόδω-

ρος, ᾧ Σανταβαρηνὸς τὸ ἐπώνυμον· οὗτος τῷ βα-
B σιλεῖ προσῳκείωτο, εἰς ἄκρον ἐναρέτου βίου αὐτὸν
ἐφθακέναι πιστεύοντι, ὡς ἐντεῦθεν καὶ σημεῖα ἐρ-
γάζεσθαι· οὗτος τοίνυν ὁ Σανταβαρηνός, ὃς καὶ
τῆς μητροπόλεως Εὐχαΐτων ἐχρημάτισε πρόεδρος,
λέγεται δεῖξαι τῷ βασιλεῖ τὸν τεθνηκότα υἱὸν αὐ-
τοῦ ζῶντα δῆθεν. ἐν γὰρ λόχμῃ τινὶ φαντάσαι τὸν
Κωνσταντῖνον ἔφιππον τῷ οἰκείῳ συναντῆσαι πα-
τρί· ᾧ καὶ περιπλακῆναι δόξας ὁ βασιλεὺς καὶ κα-
ταφιλῆσαι, οὐκέτι τοῦτον ἑώρακε. καὶ ἄλλα δὲ τοι-
αῦτα ποιήσας ὁ Σανταβαρηνός, καὶ τούτοις ἐκπλήξας
τὸν βασιλέα, ὅλον εἰς ἑαυτὸν περιήγαγεν, ὡς πίστιν
εἰς αὐτὸν κεκτῆσθαι καὶ κατὰ μηδὲν αὐτῷ ἀπιστεῖν.
καὶ ὁ μὲν βασιλεὺς οὕτω διέκειτο πρὸς τὸν Σαντα-
C βαρηνόν. ὁ δὲ Λέων ὁ δεύτερος τῶν τοῦ βασιλέως
υἱῶν, ἤδη νεανίας γενόμενος καὶ γυναικὶ συζυγεὶς
τῇ θυγατρὶ τοῦ Μαρτινακίου καὶ ἀναρρηθεὶς βα-
σιλεὺς παρὰ τοῦ πατρὸς αὐτοῦ, τῷ Σανταβαρηνῷ
οὐκ ἠρέσκετο, ἀλλὰ φαρμακὸν ἀπεκάλει καὶ γόητα
καὶ ἀπατῶντα τὸν αὐτοκράτορα. τούτοις ἐκεῖνος ὥς
τισι κέντροις πληττόμενος εἰς ἄμυναν διανίσταται,
καὶ πλασάμενος εὔνοιαν πρὸς τὸν Λέοντα "νεανίαν
ὄντα σε" λέγει "ὦ βασιλεῦ, καὶ τῷ πατρὶ συνθη-
ρῶντα καὶ συνιππεύοντα δεῖ σε καὶ ἐγχειρίδιον
ἐπιφέρεσθαι, ἵνα τούτῳ καὶ κατὰ θηρίου χρήσῃ
ὁπότε δέοι καὶ τῷ πατρί σου ἴσως ὀρέξῃ κατὰ και-
ρὸν ἢ τυχὸν καὶ ἐπιβουλεύοντας ἀμυνῇ." ὁ δὲ μὴ
D φωράσας τὸν δόλον, ξιφίδιον ἔνδον φέρειν τοῦ ὑπο-
δήματος ἐπείσθη κατὰ τὴν συμβουλήν. τούτῳ τοί-
νυν τῷ ξιφιδίῳ ὁ Σανταβαρηνὸς κατὰ τοῦ Λέοντος
χρᾶται εἰς ἄμυναν, καὶ τῷ βασιλεῖ "ἐπιβουλεύει σοι"
φησίν "ὁ υἱός σου, καὶ τούτου δεῖγμα τὸ φέρειν,

ὅτε σοι συνθηρᾷ, κεκρυμμένον ξιφίδιον." ἐξῆλθεν οὖν εἰς κυνηγέσιον ὁ Βασίλειος καὶ ὁ Λέων παρείπετο τῷ πατρί, εὑρέθη τὸ ἐγχειρίδιον κεκρυμμένον ὑπὸ τὸ πέδιλον. ἔδοξεν ἀληθεύειν ὁ κατειπών. ἀπολογούμενος ὁ κατηγορούμενος οὐ προσίετο, ἐξώργιστο κατὰ τοῦ υἱοῦ ὁ πατήρ, ἐγκλείει τοῦτον τῶν βασιλικῶν θαλάμων ἑνὶ καὶ τὰ τοῦ κράτους PII175 ἀφαιρεῖται παράσημα, ὡς δέ τινες ἱστοροῦσι, καὶ τὰ ὄμματα τῷ υἱῷ πηρῶσαι διεμελέτα, παρὰ τοῦ Σανταβαρηνοῦ πρὸς τοῦτο ἐρεθιζόμενος· καὶ ἔργον ἂν ἐγένετο τὸ μελέτημα, εἰ μὴ ὁ πατριάρχης καὶ τῆς συγκλήτου οἱ προύχοντες πολλὰ δεηθέντες τοῦ βουλεύματος τὸν βασιλέα μετέστησαν. τέως δ' οὖν ἐπέ- W III 141 μενεν ἡ ὀργή, καὶ ὁ Λέων ἔμφρουρος ἦν, καὶ χρόνος ἐτρίβη συχνός, συνευωχεῖτο δ' ὁ βασιλεὺς τῶν τῆς συγκλήτου τισί· τοῦτο δὲ κατὰ καιροὺς ὡρισμένους ἐκ συνηθείας ἐγίνετο παλαιᾶς. ἦν δ' ἐν τῷ οἴκῳ, καθ' ὃν ἐγίνετο τὸ συμπόσιον, ζῷον ἐν κλωβῷ ᾐωρημένον τῶν μιμηλῶν, καλούμενον ψιττακός· τοῦτό τινος ὀδυρομένου καὶ ἀνακαλουμένου τὸν B Λέοντα συνεχῶς ἀκοῦον ἐμιμήσατο τὴν φωνὴν καὶ "Λέον Λέον" ἐβόα πυκνά. τὰς γοῦν φωνὰς ταύτας τοῦ ὄρνιθος οἱ τῷ βασιλεῖ συνεστιώμενοι λαβὴν εὑρόντες τῆς ὑπὲρ τοῦ Λέοντος παρακλήσεως ἀνέστησάν τε τοῦ συμποσίου καὶ δακρύων πλησθέντες "εἶτα" φασίν "οὐκ εἰς κατηγορίαν ἔσται ἡμῖν τὸ ζῷον τοῦτο, ὦ βασιλεῦ, ὅτι αὐτὸ μὲν τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τῆς μετὰ τοῦ κράτους σου πανδαισίας ἐπαπολαύοντες ἀμνημονοῦμεν ἐκείνου, ἐπὶ χρόνον ἤδη καθειργμένου πολύν. ἄνες, δέσποτα, τὴν κατ' ἐκείνου ὀργὴν καὶ λῦσον αὐτῷ τὴν φρουρὰν καὶ πρόσβλεψον εὐμενὲς ἢ μᾶλλον

C πρόσιδε ὡς πατήρ.” τούτοις ὁ βασιλεὺς ἐχάλασε τὴν κατὰ τοῦ υἱέος ὀργήν, καί οἱ ἐσπείσατο καὶ τὴν τιμὴν ἀπέδωκε τὴν βασίλειον. εἰς θήραν δὲ ἀπελθὼν ἐλάφῳ ἐντυγχάνει τὸ μέγεθος ὑπερφυεῖ καὶ εἰς ὕψος ἠρμένα κέρατα φέροντι, καὶ τοῦτον ἐδίωκε, καὶ πλησιάσας αὐτῷ ἦρε τὴν χεῖρα ξιφήρη πλῆξαι τὸ ζῷον βουλόμενος. τὸ δὲ τοῖς κέρασιν ἠμύνετο τὸν διώκοντα, καί τινος τῶν αὐτοῖς παραφυομένων ὄζων ἐμβληθέντος τῇ ζώνῃ τοῦ βασιλέως μετέωρος ἐκεῖνος ἐφέρετο, ᾐωρημένος τοῦ ζῴου τοῖς κέρασι· καὶ τάχα ἂν ἠνάλωτο, εἰ μή τις φθάσας καὶ ξίφει τεμὼν τὴν ζώνην αὐτὸν διεσώσατο, ᾧ καὶ D σῶστρα καλὰ δέδωκεν ὁ ὑπ' ἐκείνου σωθεὶς τὴν τῆς κεφαλῆς ἐκτομήν, καὶ ἡ σκῆψις ὡς εὐπρεπής, ὅτι ξίφος, ἔφη, “ἐπὶ βασιλέα γυμνώσειε, μὴ λογισάμενος ὅτι ὑπὲρ βασιλέως ἦρκε τὸ ξίφος ὁ ἄνθρωπος καὶ ἀμοιβῆς μᾶλλον ἦν ἄξιος καὶ δωρημάτων βασιλικῶν. καὶ ὁ μὲν οὕτως ἀπώνατο τῆς ὑπὲρ τοῦ βασιλέως σπουδῆς. ὁ δὲ πληγεὶς καὶ τὸ σῶμα τῷ κέρατι καὶ περιδινηθεὶς τὰ σπλάγχνα, ἐπεβίω μέν, ἀλλ' οὐκ εἰς μακρόν· ἀπεβίω δ' ἐντεῦθεν, συμβασιλεύσας μὲν τῷ Μιχαὴλ ἔτος ἕν, αὐταρχήσας δ' ἐννεακαίδεκα, τῷ υἱῷ Λέοντι τὴν βασιλείαν λιπών, ὄντι πρεσβυτέρῳ τῶν περιόντων υἱῶν.

12 Αὐτοκράτωρ δὲ γεγονὼς ὁ Λέων αὐτίκα πρὸς ἄμυναν διανέστη τοῦ Σανταβαρηνοῦ. ὑποπτεύων δὲ ὡς ἀντιλήψεται τούτου ὁ πατριάρχης Φώτιος, PII176 φιλίως πρὸς αὐτὸν διακείμενος, αἰτίας πλάττει κατὰ τοῦ πατριάρχου, καὶ ἐξωθεῖ τῆς ἐκκλησίας αὐτόν, καὶ ἐν τῇ τῶν Ἀρμενιακῶν περιορίζει μονῇ, πατριάρχην δὲ Στέφανον προεχειρίσατο, τὸν οἰκεῖον ὁμαίμονα, καὶ ὅτι μὴ ἦν Ἡρακλείας ἀρχιερεύς, ὑπὸ τοῦ

πρωτοθρόνου κεχειροτόνητο. ἀχθῆναι δ' ἐξ Εὐχαΐ-
των ἐκέλευσε τὸν Σανταβαρηνόν· τῆς ἐκεῖ γὰρ ἐκ-
κλησίας προήδρευε. πέμψας δὲ εἰς τὴν ἐν Χρυσο-
πόλει μονὴν τοῦ Φιλιππικοῦ, ὅπου ὁ βασιλεὺς
Μιχαὴλ ἐτέθαπτο, ἐξάγει τὸ σῶμα τούτου ἐκ τῆς
σοροῦ, καὶ μετὰ προπομπῆς πολλῆς καὶ βασιλείου
τιμῆς εἰς τὸν τῶν ἁγίων Ἀποστόλων ναὸν κατατί-
θησιν ἐν λάρνακι μαρμαρίνῃ, καὶ τῶν ἀδελφῶν
αὐτοῦ παρόντων ἐπὶ τῇ προπομπῇ, τοῦ τε Ἀλεξάν- B
δρου καὶ τοῦ πατριάρχου. τῇ δὲ τοῦ Ζαούτζη Στυ-
λιανοῦ θυγατρὶ συμφθειρόμενος ἔτι ζώσης Θεοφανοῦς
τῆς αὐτοῦ γαμετῆς τὸν πατέρα ταύτης μάγιστρον W III 142
ἐτίμησε καὶ λογοθέτην τοῦ δρόμου, μετέπειτα μέν-
τοι καὶ βασιλεοπάτορα, αὐτὸς τὸ ὄνομα ἐφευρών.
ἐξ ἐμπρησμοῦ δὲ μετὰ τῶν ἄλλων καὶ τοῦ ναοῦ τοῦ
ἁγίου ἀποστόλου Θωμᾶ πυρποληθέντος, ὁ βασιλεὺς
οὗτος αὐτὸν ἀνεκαίνισεν. ἤδη δὲ καὶ ὁ Σανταβα-
ρηνὸς ἤχθη καὶ εἰς τὰ ἐν ταῖς Πηγαῖς ἐφρουρεῖτο
βασίλεια, ἔνθα πέμψας ὁ βασιλεὺς καὶ ἀφειδῶς αὐ-
τὸν αἰκισάμενος, ἐν Ἀθήναις ὑπερόριον ἔθετο. οὐ
πολὺ τὸ ἐν μέσῳ καὶ πέμψας ἐκεῖ ἐξέκοψε τὰ ὄμ-
ματα αὐτοῦ. μετὰ δὲ πλείους ἐνιαυτοὺς τῆς ὑπερ-
ορίας τε τὸν ἄνθρωπον ἐπανήγαγε καὶ προνοίας C
ἠξίωσε. ὁ δὲ Λογγιβαρδίας δοὺξ Ἁγίων, τοῦ ῥηγὸς
Φραγγίας τυγχάνων γαμβρός, ἐπεὶ τὸν θάνατον τοῦ
Βασιλείου ἐπύθετο, τὰς πρὸς Ῥωμαίους συνθήκας
ἠθέτησε καὶ τὴν χώραν ἅπασαν ᾠκειώσατο. διὸ τὸν
ἐπὶ τῆς τραπέζης ἔπεμψεν ὁ βασιλεὺς κατ' αὐτοῦ
μετὰ τῶν δυτικῶν ταγμάτων, ὃς συμμίξας αὐτῷ
ἡττήθη· καὶ πάντας σχεδὸν οὓς ἐπήγετο ἀπεβάλετο,
μόλις αὐτὸς διαδράς. τοῦ δὲ πατριάρχου Στεφάνου
ἐκλελοιπότος Ἀντώνιος προκεχείριστο πατριάρχης,

ὃς Καυλέας ὠνόμαστο. τῶν δὲ Βουλγάρων ἐνσπόν-
δων ὄντων καὶ ἐμπορίας ποιουμένων μετὰ Ῥωμαίων,
οἱ τοῖς τελωνήμασιν ἐφεστῶτες ἄδικα αὐτοὺς εἰσέ-
D πραττον τέλη. τοῦτο τῷ αὐτῶν ἄρχοντι Συμεὼν
λαβὰς ζητοῦντι τοῦ κατὰ Ῥωμαίων πόλεμον ἄρασθαι
εἰς πρόφασιν ἤρκεσε. καὶ μέντοι καὶ ἤρατο, καὶ
Ῥωμαϊκὸν αὐτῷ ἀνθοπλισάμενον στράτευμα ἥττητο,
καὶ πολλοὶ μὲν ἔπεσον τῶν Ῥωμαίων καὶ ὁ στρα-
τηλάτης αὐτός· πολλοὶ δ' ἑάλωσαν, ὧν τὰς ῥῖνας ὁ
Συμεὼν ἐκτεμὼν ἐπανελθεῖν ἀφῆκε πρὸς τὸ Βυ-
ζάντιον. τούτοις περιαλγήσας ὁ βασιλεύς, δώροις
τοὺς Τούρκους ἔπεισε τοὺς περὶ τὸν Ἴστρον, οἳ καὶ
Οὖγγροι καλοῦνται, τοῖς Βουλγάροις ἐπεξελθεῖν καὶ
ὅση δύναμις κακῶσαι αὐτούς, καὶ αὐτὸς δὲ ὁ βα-
σιλεὺς διά τε θαλάσσης καὶ διὰ γῆς ἡτοίμαστο ὅπλα
κινῆσαι κατὰ τῶν Βουλγάρων, τῷ πατρικίῳ Νικη-
φόρῳ τῷ Φωκᾷ τὸν κατ' αὐτῶν ἀναθέμενος πόλε-
PII177 μον, δομέστικον τῶν σχολῶν αὐτὸν προβαλόμενος.
πρὸ τοῦ πολέμου δὲ τὸν κοιαίστωρα στέλλει ὁ αὐ-
τοκράτωρ πρὸς Συμεὼν περὶ εἰρήνης πρεσβεύσοντα.
ὁ δὲ βάρβαρος δόλῳ τοῦτον ὑποτοπήσας ἐλθεῖν κα-
θείργνυσι καὶ δεσμεῖ καὶ τῷ Φωκᾷ ἀντεμάχετο.
ἐκείνου δὲ περὶ τοῦτον ἀσχολουμένου οἱ Οὖγγροι
τὴν χώραν αὐτοῦ ἐληίσαντο. διὸ τὸν Φωκᾶν λιπὼν
κατ' ἐκείνων ἐξώρμησε, καὶ συμβαλὼν αὐτοῖς ἥτ-
τητο, πολλῶν μὲν σφαγέντων Βουλγάρων, πλειόνων
δ' ἁλόντων, αὐτοῦ δὲ τοῦ Συμεὼν μόλις ἐν Δορο-
στόλῳ φυγόντος· τοῦτο δ' ἡ Δρίστρα ἐστί. τοὺς δ'
αἰχμαλώτους Βουλγάρους ὁ βασιλεὺς παρὰ τῶν
B Οὔγγρων ἐπρίατο καὶ ὁ Συμεὼν περὶ εἰρήνης ἱκέ-
τευε. καὶ πιστεύσας τοῖς λόγοις ἐκείνου ὁ βασιλεὺς
τὸν Χοιροσφάκτην ἀπέστειλε σπονδὰς ποιησόμενον,

ὃν ὁ βάρβαρος κατέσχε τε καὶ ἐδέσμησεν. αὐτὸς δὲ τοῖς Τούρκοις ἐπῆλθε, καὶ ἐτρέψατό τε αὐτοὺς καὶ τῇ χώρᾳ σφῶν ἐλυμήνατο. εἶτα ἐπέστειλε τῷ Λέοντι μὴ ἄν ποτε σπείσασθαι, εἰ μὴ τοὺς αἰχμαλώτους Βουλγάρους λήψοιτο πρότερον· καὶ τούτους λαβὼν οὐκ ἐσπείσατο. ὁ γοῦν βασιλεὺς τοῖς τε τάγμασι τοῖς ἑῴοις καὶ τοῖς ἑσπερίοις ὁμοῦ συνελθοῦσι κατὰ τῶν Βουλγάρων ἐχρήσατο, ἀλλ' ἡττήθησαν ἅπαντα τῷ Συμεὼν προσβαλόντα. καὶ τὰ μὲν τῶν Βουλγάρων τοῦτον εἶχε τὸν τρόπον. ὁ δὲ βασιλεὺς ἐν ἀγροῖς τισι τῇ τοῦ Ζαούτζη συνὼν θυγατρὶ τῇ Ζωῇ C ἐπεβουλεύθη παρά τινων. αἰσθομένης δὲ τῆς Ζωῆς ἐκ θροῦ τὴν ἐπιβουλὴν καὶ διυπνισάσης τὸν βασιλέα κοιμώμενον, αὐτίκα ἐκεῖνος ἐπανῆλθεν εἰς τὰ βασίλεια, καὶ οὕτω διέφυγε τὴν ἐπιβουλήν. ἄρτι δὲ τῆς βασιλίδος θανούσης Θεοφανοῦς τὴν εἰρημένην Ζωὴν ὁ βασιλεὺς Αὐγούσταν ἀνηγόρευσε καὶ W III 143 νόμιμον ἔθετο γαμετὴν τὴν πρὶν αὐτοῦ παλλακήν, ἣ ἐπ' ὀλίγον τῆς εὐτυχίας ἀπώνατο· ἐνιαυτὸν γὰρ ἕνα ἐπὶ μησὶν ὀκτὼ τῇ βασιλείᾳ ἐπιβιώσασα τέθνηκεν. ἑτέρα δ' αὖθις ἐπιβουλὴ μηνύεται τῷ βασιλεῖ, ἣν ἐμελέτα ὁ πήκτης Βασίλειος, τοῦ Ζαούτζη τυγχάνων ἀνεψιός. ὃς τὸ ἀπόρρητον τῷ ἐκτομίᾳ Σαμωνᾷ ἐκοινώσατο, ὅρκοις πρότερον βεβαιώσαντι D ὡς ἀνέκφορον τηρήσει τὸ λεχθησόμενον. ἦν δὲ ὁ Σαμωνᾶς ἐξ Ἀγαρηνῶν, καὶ μαθὼν τὸ κατὰ τοῦ κρατοῦντος μελέτημα, εὐθὺς ἐκφέρει πρὸς αὐτὸν τὸ μυστήριον. καὶ κατεσχέθη μὲν ὁ Βασίλειος καὶ οἱ συνίστορες τοῦ βουλεύματος, ὁ δὲ Σαμωνᾶς ἐτιμήθη πρωτοσπαθάριος καὶ ᾠκειώθη τῷ βασιλεῖ.

Ἠγάγετο δὲ καὶ τρίτην ὁ Λέων εὐνέτειραν, ἣ 13 Εὐδοκία μὲν ἐκαλεῖτο, ἐκ δὲ τοῦ Ὀψικίου τὸ γένος

εἷλκε καὶ τὴν ὥραν ἣν περιττή. ἀλλὰ καὶ αὕτη βραχύ τι συνεζήκει τῷ βασιλεῖ. συλλαβοῦσα γὰρ καὶ πρὸς τῷ τεκεῖν γενομένη σὺν τῷ τεχθέντι ἀπέθανεν. ἔχων δὲ δι' ἐφέσεως οὗτος ὁ αὐτοκράτωρ P II 178 παῖδα ἐσχηκέναι, μᾶλλον μέντοι καὶ κεχρηματισμένον ἐσχηκὼς τοῦτο· ἦν γὰρ ἐραστὴς σοφίας παντοδαπῆς καὶ αὐτῆς δῆτα τῆς ἀπορρήτου, ἣ δι' ἐπῳδῶν μαντεύεται τὰ ἐσόμενα, καὶ περὶ τὰς τῶν ἀστέρων δ' ἐσχολάκει κινήσεις καὶ τὴν ἐκ τούτων ἀποτελεσματικὴν ἐπιστήμην μετήρχετο, καὶ εὕρισκεν ὡς ἕξει παῖδα τῆς βασιλείας διάδοχον· καὶ τετάρτην ἄγεται γαμετὴν τὴν Καρβωνοψίναν Ζωήν. οὐκ εὐθὺς μέντοι αὐτῇ τοῦ τῆς βασιλείας μετέδωκεν ἀξιώματος, ἀλλ' ἐφ' ἱκανὸν αὐτῷ συμβιοῦσα ἦν ἀταινίωτος, μέχρις οὗ παιδίον ἐξ αὐτῆς ἐτέχθη τῷ βασιλεῖ, ὃ παρὰ τοῦ πατριάρχου Νικολάου τοῦ θείου κατηξιώθη βαπτίσματος. τοῦ γὰρ Ἀντωνίου τῷ θρόνῳ τῆς Κων- B σταντινουπόλεως ἐπιζήσαντος ἔτη * καὶ μεταθεμένου τὴν ζωήν, ὁ μυστικὸς Νικόλαος πατριάρχης κεχειροτόνητο. μετὰ δὲ τὸν τοῦ υἱοῦ αὐτοῦ τοκετόν, ὃν Κωνσταντῖνον ὠνόμασεν ὁ βασιλεύς, καὶ τὴν σύνευνον αὐτοῦ ἀνηγόρευσε. διὰ γοῦν τὸν τέταρτον γάμον ἀφώριστο παρὰ τοῦ πατριάρχου ὁ Λέων. τιμῶν δὲ τὴν πρώτην αὐτοῦ γαμετὴν τὴν μακαρίαν Θεοφανὼ τέμενος ἀνήγειρεν εἰς ὄνομα ἐκείνης ἔγγιστα τοῦ τῶν ἁγίων Ἀποστόλων ναοῦ, ἐν ᾧ καὶ τὸν νεκρὸν ἐκείνης κατέθετο. καὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Λαζάρου ναὸν ἐδείματο ἕτερον, εἰς ὃν καὶ τὸ ἱερὸν ἐκείνου σῶμα ἀπεθησαύρισεν ἐκ τῆς Κύπρου μετενεχθέν, ἀλλὰ μὴν καὶ τὸ τῆς C Μαγδαληνῆς Μαρίας. ἀσχολουμένων δὲ ταῖς οἰκοδομαῖς τῶν πλωίμων καὶ τοῦ στόλου μὴ πλέοντος,

τὸ τῶν Ἀγαρηνῶν ναυτικὸν τὸ Ταυρομένιον ἐξεπόρθησε καὶ τὴν νῆσον κατέσχε Λῆμνον, καὶ πολλὴ τῶν ἀνθρώπων ἐν αὐτοῖς συνέβη φθορά. προόδου δὲ κατὰ τὴν πεντηκοστὴν γινομένης τοῦ βασιλεύοντος εἰς τὸν τοῦ ἁγίου Μωκίου ναὸν κατὰ τὸ ἔθος ὁ βασιλεὺς οὗτος ἐποιήσατο τὴν προέλευσιν, καί τις ἤδη ταῖς κιγκλίσι τοῦ θυσιαστηρίου τοῦ αὐτοκράτορος πλησιάζοντος ἐξώρμησεν ἐκ τοῦ ἄμβωνος βάκτρον μετὰ χεῖρας ἔχων βαρύτατον καὶ κατὰ τῆς βασιλικῆς ἐπήνεγκεν αὐτὸ κεφαλῆς, καὶ συνέτριψεν ἂν αὐτήν, εἰ μὴ τῇ ἠωρημένῃ λυχνίᾳ προσαράξαν τὸ βάκτρον ἀφῄρητο ταύτῃ τῆς καταφορᾶς τὴν σφοδρότητα. D τέως δ' οὖν αἷμα τῆς τοῦ βασιλέως κεφαλῆς καταρρέον θόρυβον τοῖς ἄρχουσιν ἐνεποίησεν· ὅτι δ' οὐ παρῆν ἐκεῖ Ἀλέξανδρος ὁ τοῦ βασιλέως αὐτάδελφος, ὑπόληψις παρὰ τοῖς πλείοσιν ἐπεκράτησε τῆς ἐπιβουλῆς αὐτὸν μὴ εἶναι ἀμέθεκτον. ὁ δὲ τὸ τόλμημα ποιήσας βασάνοις ὑποβληθείς, καὶ μηδένα μηνύσας συνίστορα, χεῖρας ἀπετμήθη καὶ πόδας, καὶ τέλος παρεδόθη πυρί. ὁ δὲ W III 144 μοναχὸς Μάρκος ὁ τὸ τετραῴδιον τοῦ μεγάλου σαββάτου ἀναπληρώσας ἔφη παρὼν πρὸς τὸν βασιλέα "τοῦτο προείρητο παρὰ τοῦ Δαβὶδ εἰρηκότος, Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. ἴσθι οὖν, βασιλεῦ, ὡς ἀπὸ τοῦδε χρόνον βασιλεύσεις P II 179 δεκαετῆ." καὶ ὁ λόγος ἔργον ἐγένετο. ἔθανε γὰρ ὁ Λέων μετὰ δέκα ἐνιαυτοὺς κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐπλήγη τότε τὴν κεφαλήν. ὁ ἤδη δὲ ῥηθεὶς Σαμωνᾶς παρὰ τῷ βασιλεῖ μεγάλα δυνάμενος πλοῦτόν τε δαψιλῆ περιβαλόμενος, καὶ τοῦτον λαβών, εἰς τοὺς Ἀγαρηνούς, ὅθεν ὥρμητο,

ἀπεδίδρασκεν. ἀλλ' ἑάλω τὸν Ἅλυν διαπερῶν· ὁ δὲ εἰς τὸν ἐν Σιριχᾶ σταυρὸν ἔλεγεν ἀπιέναι, τούτῳ εὐχὴν ποιησάμενος· ὃν λαβὼν Κωνσταντῖνος ὁ τοῦ δουκὸς Ἀνδρονίκου υἱὸς εἰς τὸ Βυζάντιον ἐπανήγαγεν. ὁ δὲ βασιλεὺς ἔτι τηρῶν τῷ Σαμωνᾷ τὴν πρᾴην διάθεσιν ἐνετείλατο τῷ Κωνσταντίνῳ, εἰ B *ἐρωτηθείη ἐνώπιον τῆς συγκλήτου περὶ τοῦ Σαμωνᾶ, μὴ εἰπεῖν ὅτι ἀπεδίδρασκεν, ἀλλ' ὅτι εἰς τὸν ἐν Σιριχᾶ ἀπῄει σταυρόν. τῇ δ' ἑξῆς τῆς συγκλήτου παρούσης ἤρετο μεθ' ὅρκων ἐπαγωγῆς τὸν Κωνσταντῖνον ὁ βασιλεὺς εἰ ἔφευγεν ὁ Σαμωνᾶς· ὁ δὲ διὰ τοὺς ὅρκους ψεύσασθαι μὴ θελήσας, εἶπεν ὅτι εἰς τὴν οἰκείαν πατρίδα τὴν Μελιτηνὴν ἀπῄει. ὁ βασιλεὺς δὲ τὸν μὲν Κωνσταντῖνον μετ' ὀργῆς ἀπεπέμψατο, τὸν δὲ Σαμωνᾶν μετὰ ταῦτα τῆς προτέρας ἠξίωσεν οἰκειώσεως, εἶτα καὶ πατρίκιον ἐτίμησε καὶ παρακοιμώμενον προεβάλετο, ὃς εἰς πολλὰ τῶν οὐ καθηκόντων τὸν αὐτοκράτορα προεβίβαζεν, ὧν ἓν καὶ τὸ βιάσασθαι τὸν πατριάρχην δέξασθαι αὐ-* C *τὸν καὶ τοῦ ἀφορισμοῦ ἀπολῦσαι. μεταπεμψάμενος οὖν τὸν ἀρχιερέα ὁ βασιλεὺς ἐδεῖτο δεχθῆναι. ὡς δ' ἐκεῖνος ἦν ἀδυσώπητος, ἐκ τῶν βασιλείων αὐτίκα διαπερᾶται πρὸς τὴν Ἰρίαν, κἀκεῖθεν πεζοποροῦντα εἰς τὸ ἐν Γαλακρήναις ἄγουσιν αὐτὸν μοναστήριον, ὃ αὐτὸς ἐδομήσατο, ἔτη προστάντα τῆς ἐκκλησίας ἕνδεκα. προεχειρίσθη δὲ πατριάρχης ὁ σύγκελλος Εὐθύμιος, ἀνὴρ ἱερός, ὃς καὶ βουλόμενον τὸν βασιλέα νόμῳ θεσπίσαι ἄγεσθαι κατὰ ταὐτὸν τὸν βουλόμενον γυναῖκας δύο ἢ καὶ τρεῖς ἄχρι τεττάρων πάσῃ σπουδῇ διεκώλυσε.*

14 *Τῶν δὲ Ἀγαρηνῶν ναυσὶ τὰς τῶν Ῥωμαίων ληι-* D *ζομένων χώρας, ὁ βασιλεὺς Ἱμέριον τὸν λογοθέτην*

τοῦ δρόμου τοῦ στόλου προβαλόμενος ἀρχηγὸν κατὰ τῶν ἐκ τῆς Ἄγαρ ἀπέστειλεν, ἐντειλάμενος αὐτῷ καὶ τὸν δοῦκα προσλαβέσθαι Ἀνδρόνικον. ὁ δὲ δόλιος Σαμωνᾶς ἄσπονδον ἔχων ἔχθραν κατὰ τοῦ γένους τοῦ δουκικοῦ, ὑποτίθησί τινι τῶν φίλων τοῦ Ἀνδρονίκου δηλῶσαι αὐτῷ μὴ συμπλεῦσαι τῷ Ἱμερίῳ, ἐκκόψαι οἱ τὰ ὄμματα μέλλοντι κατὰ βασίλειον πρόσταγμα. διὸ οὐκ ἐπείσθη τῷ Ἱμερίῳ συνελθεῖν ὁ Ἀνδρόνικος, ὅθεν καὶ μόνος ἐκεῖνος ναυμαχήσας ἐκράτησε καὶ τοῦ τῶν πολεμίων περιεγένετο ναυτικοῦ. ἐντεῦθεν ἀπεγνωκὼς ὁ Ἀνδρόνικος συγγενεῖς τε καὶ δούλους αὐτοῦ προσλαβόμενος κατέσχε τὴν Κάβαλαν, ὀχυρόν τι φρούριον τοῦ Ἰκονίου οὐ P II 180 πάνυ τι διακείμενον μήκοθεν. ὁ δὲ Σαμωνᾶς οὐ διέλιπε τὸν βασιλέα ἐρεθίζων καὶ εἰς ὀργὴν παρακινῶν κατὰ τοῦ ἀνδρός. μαθὼν δ' ἐκεῖνος καὶ τὴν τοῦ πατριάρχου Νικολάου ἐκ τῆς ἐκκλησίας ἐξώθησιν, καὶ πάντοθεν ἀπογνούς, πανοικεσίᾳ τοῖς Ἀγαρηνοῖς προσελήλυθεν. ὁ δὲ βασιλεὺς τοῦτο γνοὺς ὑπερήλγησεν, ἐναντίον ἕξειν τὸν ἄνδρα ἀνθ' ὑπερμάχου πτοούμενος. γραφὴν τοίνυν ἐγχαράσσει βασίλειον, δι' ἧς τῷ Ἀνδρονίκῳ καὶ ἀμνηστία τῶν W III 145 πραχθέντων ἐπρυτανεύετο καὶ ὑπονόστησις ἐπετρέπετο καὶ πολλῶν δόσις ἐπήγγελτο ἀγαθῶν. ταύτην ἐμβαλόντες κηρῷ τὴν γραφὴν καὶ λαμπάδι τὸν κηρὸν ἀπεικάσαντες Σαρακηνῷ τῶν αἰχμαλώτων ἑνὶ τῆς B εἱρκτῆς ἐκβληθέντι ἐγχειρίζουσιν, ἐντειλάμενοι τῷ Ἀνδρονίκῳ δοῦναι αὐτήν. τοῦτον δὴ τὸν Ἀγαρηνὸν ὁ Σαμωνᾶς μετακαλεσάμενος ἐν ἀπορρήτοις φησὶ πρὸς αὐτὸν "οἶδας ὅτι τὸν ὄλεθρον τῆς Συρίας ὅλης φέρεις ἐν ταῖς χερσί σου; ἵνα γοῦν καὶ τὴν πατρίδα σώσῃς καὶ τοὺς ὁμογενεῖς, τὸν κηρὸν

τοῦτον ἐγχείρισον τῷ Οὐζήρ." ὁ δὲ πεποίηκεν ὡς παρήγγελτο, καὶ γνόντες οἱ τῆς Ἄγαρ τὴν δύναμιν τῆς γραφῆς, καὶ τὸν Ἀνδρόνικον δεσμοῦσι καὶ πάντας τοὺς σὺν αὐτῷ. ὁ μὲν οὖν Ἀνδρόνικος ἐν τοῖς δεσμοῖς τὸν βίον κατέλυσε, τινὲς δὲ τῶν σὺν αὐτῷ C τὴν ἐκ τῶν δεσμῶν μὴ στέγοντες κάκωσιν τὴν πίστιν ἑαυτῶν ἐξωμόσαντο. ὁ Κωνσταντῖνος δὲ καί τινες τῶν σὺν αὐτῷ τῆς εἱρκτῆς ἐκφυγόντες πρὸς τὰ Ῥωμαίων ἀπήεσαν, καὶ τοὺς καταδιώκοντας αὐτοὺς Ἀγαρηνοὺς γενναίως τρεψάμενοι διεσώθησαν. ὃν ὁ βασιλεὺς ἐδέξατό τε περιχαρῶς καὶ ἐδεξιώσατο μεγαλοπρεπῶς καὶ διαφερόντως ἐτίμησεν· εἶτα καὶ πρὸς αὐτὸν ἔφη "μὴ ἀπατάτω σε, Κωνσταντῖνε, τὸ ὄνομα, μηδ' οἴου τῆς βασιλείας τυχεῖν, ὡς Κωνσταντίνου Ῥωμαίων μέλλοντος ἄρξειν· ἴσθι γὰρ ἀκριβῶς τοῦτον εἶναι τὸν υἱὸν τὸν ἐμόν· σὺ δὲ εἰ μὲν ἣν ἔλαχες σπάρταν κοσμεῖς, ἔσται σοι εὖ· εἰ δὲ νεωτερίσεις καὶ τυραννίδι ἐπιχειρήσεις, ἔσο βεβαίως εἰδὼς ὡς διὰ τῆσδε τῆς πύλης, τὴν πρὸς δύσιν D οὖσαν τοῦ Χρυσοτρικλίνου δείξας αὐτῷ, ἡ κεφαλή σου τοῦ λοιποῦ σώματος χωρὶς εἰσαχθήσεται·" ὃ καὶ γέγονεν ὕστερον. ἐκ δὲ Μελιτηνῆς ἐλθόντων τινῶν, ἐν οἷς ἦν καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ, ὑπεδέξατο τούτους ἐντίμως ὁ βασιλεύς, καὶ εἰς τὴν μεγάλην ἐκκλησίαν μὴ δεόντως ἀπίστους ὄντας εἰσήγαγεν. ἰδὼν δὲ ὁ τοῦ Σαμωνᾶ πατὴρ ἣν εἶχεν ὁ υἱὸς αὐτοῦ τιμὴν ἐν τοῖς βασιλείοις, καὶ τὸν πλοῦτον ὃν περιέκειτο, ἤθελε συνδιάγειν αὐτῷ. ἐκωλύθη δὲ παρ' ἐκείνου, τὴν οἰκείαν θρησκείαν τηρεῖν συμβουλεύοντος καὶ εἰς τὴν πατρίδα ἐπανελθεῖν· "εἰ δὲ καὶ αὐτός" ἔφη "τύχω καιροῦ, ὑπονοστήσω πρὸς σέ." τῆς δ' ἑορτῆς τῆς πεντηκοστῆς ἐνστάσης

ἔστεψε τὸν υἱὸν αὐτοῦ ὁ βασιλεὺς καὶ ἀνηγόρευσε βασιλέα. ἐκτομίαν δ' ἔχων θεράποντα ὁ μυσαρὸς PII181 Σαμωνᾶς Κωνσταντῖνον ὀνομαζόμενον, ἐκ δὲ Παφλαγονίας γενόμενον, τῇ δεσποίνῃ τοῦτον δέδωκεν εἰς ὑπηρεσίαν. ἐπεὶ δὲ τῇ βασιλίσσῃ καὶ αὐτῷ τῷ κρατοῦντι λίαν ὁ Κωνσταντῖνος ᾠκείωτο, εἰς βασκανίαν ὁ βέβηλος ἠρέθιστο Σαμωνᾶς καὶ πρὸς τὸν βασιλέα κατεῖπεν αὐτοῦ ὡς ἐρωμένου τῇ βασιλίσσῃ. ζηλοτυπήσας οὖν ὁ Λέων ἀποκαρῆναι τοῦτον προσέταξε μοναχόν, καὶ μετ' οὐ πολὺ ἄγει τοῦτον, καὶ 'ποδυθῆναι κελεύσας τὰ μοναχικὰ ἄμφια καὶ κοσμικὴν περιβαλέσθαι στολὴν μᾶλλον ἢ πρότερον αὐτὸν ᾠκειώσατο. οὐκ ἀνεκτὰ δ' ἦσαν ταῦτα τῷ Σαμωνᾷ. γράφει τοίνυν λοίδορόν τι γραμμάτιον διά τινος τῶν αὐτοῦ, καὶ ῥιπτεῖ ἔνθα ὁ βασιλεὺς B διελεύσεσθαι ἔμελλεν· ὅπερ εὑρὼν ἐκεῖνος καὶ ἀναγνοὺς ἤλγησέ τε καὶ τὸν πεποιηκότα τοῦτο ἐζήτει. εἷς οὖν τις τῶν συνειδότων τὴν πρᾶξιν ταύτην τῷ Σαμωνᾷ τοῦτον εἶναι τὸν ἐργάτην τοῦ λοιδόρου βιβλίου τῷ κρατοῦντι ἐδήλωσεν. ἐκλείψεως μέντοι τότε τῆς σελήνης συμβάσης, τὸν μητροπολίτην Συνάδων ὁ βασιλεὺς μετεπέμψατο, περὶ ταύτης πευσόμενος. ὃν ὁ Σαμωνᾶς ἰδίᾳ παραλαβὼν ἤρετο περὶ τῆς ἐκλείψεως· κἀκεῖνος ἔφη ὅτι "σὸν τὸ τῆς σελήνης πάθημα σημαίνει δυστύχημα· εἰ δὲ τοῦ Ἰουλίου τρισκαιδεκάτη παρελεύσεται πρὸ τοῦ παθεῖν, ἐκ- WIII146 φεύξῃ καὶ σὺ τὸ δυστύχημα. εἶτα καὶ πρὸς τοῦ C βασιλέως ὁ Συνάδων ἐρωτηθεὶς ἀπεκρίνατο ὡς εἰς τὸ δεύτερον μετὰ σὲ πρόσωπον ἐνσκήψει ἡ κάκωσις. δεύτερον δὲ πρόσωπον ὁ βασιλεὺς τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀλέξανδρον ἔκρινεν, ἀλλ' ἐσφάλη περὶ τὴν κρίσιν· ἔδει γάρ ποτε τῷ κακίστῳ Σα-

μωνᾷ γενέσθαι κακῶς. μαθὼν οὖν ὡς ἐκεῖνος ἦν ὁ τοῦ λοιδόρου βιβλίου πατήρ, ἐξωθεῖ μὲν τῶν βασιλείων αὐτὸν καὶ ἀποκείρει καὶ περιγραπτοῖς ὁρίοις καθείργνυσι. καὶ ταῦτα γέγονε, μήπω τῆς τρισκαιδεκάτης τοῦ Ἰουλίου παραρρυείσης. παρακοιμώμενος δὲ ἀντὶ τοῦ Σαμωνᾶ ὁ παρ' ἐκείνου βασκαινόμενος Κωνσταντῖνος καὶ ἐπιβουλευόμενος D προκεχείριστο, ᾧ καὶ μονὴν ὁ βασιλεὺς ἐδομήσατο ἐν ταῖς Νοσσιαῖς. νοσήσας δὲ ὁ Λέων κοιλιακὸν νόσημα τοσοῦτον κατειργάσθη τὴν δύναμιν ὡς μηδὲ δυνηθῆναι διαλεχθῆναι τῇ συγκλήτῳ περὶ νηστείας τὴν συνήθη διάλεξιν, ἣ καλεῖται σελέντιον. ὅμως ὀλίγα τινὰ ταύτῃ διαλεχθεὶς καὶ ἀξιώσας αὐτοῦ μεμνῆσθαι καὶ πίστιν εἰς τὴν αὐτοῦ σύμβιον τηρεῖν καὶ εἰς τὸν υἱόν, καὶ τελευταίαν ταύτην προσλαλιὰν πρὸς αὐτὴν ποιεῖσθαι εἰπὼν "οὐκ αὐτίκα ἐξέλιπεν, ἀλλὰ μέχρι τοῦ Μαΐου διήρκεσε." τότε δὲ τελευτῶν τὴν αὐταρχίαν τῷ ἀδελφῷ κατέλιπεν Ἀλεξάνδρῳ καὶ τὸν υἱὸν αὐτῷ παραδέδωκεν, ἀξιώσας ἐπιμελεῖσθαι αὐτοῦ καὶ ἀνάγειν βασιλικῶς καὶ αὐτοκράτορα καταλιπεῖν· ὅν, φασί, βλέπων ἐρχόμενον PII182 πρὸς αὐτὸν ἤδη ἐκλείπων, φάναι "ἴδε ὁ κακὸς καιρὸς μετὰ τοὺς δεκατρεῖς μῆνας." ἐβασίλευσε δὲ ὁ Λέων ἔτη εἴκοσι καὶ πέντε ἐπὶ μησὶ τρισίν.

15 Ἀλέξανδρος δὲ ἅμα τε τοὺς πόδας ἤρεισε τῇ ἀρχῇ καὶ ἅμα τὸν πατριάρχην Νικόλαον ἐκ Γαλακρηνῶν ἀγαγὼν εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνήγαγε, τὸ δεύτερον καταγαγὼν τὸν Εὐθύμιον, καὶ ἐπὶ βήματος τὴν τούτου ποιήσας καθαίρεσιν, ἐνυβρισάντων εἰς τὸν ἄνδρα πολλὰ τῶν προσκειμένων τῷ Νικολάῳ, εἶτα καὶ ὑπερόριον ποιήσας αὐτόν. αὐταρχήσας δὲ ὁ βασιλεὺς οὑτοσὶ οὐδὲν

ἐοικὸς εἰργάσατο βασιλεῖ, ἀλλὰ τρυφαῖς καὶ θήραις καὶ ἀσελγείαις ἐξέδωκεν ἑαυτόν, τὰ δὲ τῆς B βασιλείας καὶ κοινὰ πράγματα ἀνθρώποις ἀνέθετο ἀγύρταις καὶ τοῖς ἐκ τριόδων, οὓς πρὸ τῆς μοναρχίας ἐπιρρήτων εἶχε πράξεων κοινωνούς, ὧν ἕνα Βασιλίτζην λεγόμενον καὶ διάδοχον τῶν σκήπτρων διενοεῖτο ποιήσασθαι· τὸν γὰρ ἀδελφόπαιδα Κωνσταντῖνον καὶ ἰδιωτεῦσαι ἐβούλετο καὶ τῶν παιδογόνων ἀφελέσθαι μορίων. καὶ εἰ μὴ ταχὺ τὸ τέλος αὐτῷ τῆς ζωῆς ἐπελήλυθε καὶ οὕτως αὐτῷ παρὰ τῆς ἄνω προνοίας ἐσφάλησαν τὰ βουλεύματα, τάχ' ἂν ὅσον τὸ ἐπ' ἐκείνῳ καὶ εἰς ἔργον ἐξέβησαν. γοήτων δὲ πυνθανόμενος εἰ ἐς μῆκος αὐτῷ τὰ τῆς ζωῆς προελεύσεται, ἤκουσεν ἐξ ἐκείνων ὡς ἔσται αὐτῷ μακροχρόνιον τὸ βιώσιμον, εἰ τῷ ἐν θεάτρῳ συΐ, C ὃς ἐκ χαλκοῦ πέπλασται, ὀδόντας καὶ αἰδοῖα περίθοιτο. "σὸν γὰρ οὗτος" ἔλεγον "στοιχεῖόν ἐστιν, ἀντίος ἱστάμενος Λέοντι τῷ σῷ ἀδελφῷ," οὐδὲν ἕτερον κρίνοντες ὑγιὲς ἢ τὸ συῒ τοῦτον ἀπεικάσαι τὸν αὐτοκράτορα, διὰ τὸ περὶ γαστέρα κεχηνέναι τε καὶ συσσίτια καὶ ἀκολασίαις προσκεῖσθαι διηνεκῶς. πιστεύσας οὖν τοῖς λόγοις ἐκείνων ὁ καὶ χοίρων ἀνοητότερος τὰ λείποντα ταῦτα τῷ χαλκουργήματι ἐξειργάσατο. τοῦ μέντοι τῶν Βουλγάρων ἀρχηγετοῦντος τοῦ Συμεὼν εἰ τὴν εἰρήνην ἀσπάζοιτο ἐρωτῶντος διά τινων ὑπ' αὐτοῦ πεμφθέντων, ὁ Ἀλέξανδρος ἀτίμως τε τοὺς πεμφθέντας ἐδέξατο καὶ ὑπερηφάνως ὡμίλησε καὶ ὑπερόγκως ἠπείλησεν. ὅθεν ὁ W III 147 Συμεὼν τὴν ὕβριν μὴ ἐνεγκὼν κατὰ Ῥωμαίων ὡπλί- D σατο. συμποσίοις δὲ καὶ μέθαις διόλου προστετηκὼς ὁ Ἀλέξανδρος, ἅπαξ ἀριστήσας μετὰ λουτρὸν καὶ κοίλη χρησάμενος τῇ γαστρὶ καὶ ἀπλήστως ἀκρα-

τισάμενος σφαιρίσαι προέθετο, καὶ κατατείνας τὸ σῶμα τῇ ἱππασίᾳ καὶ ταῖς τῆς σφαίρας ἐκτραχηλίσεσι ῥῆξιν ὑπέστη, καὶ αἷμα διά τε τῆς ῥινὸς κενώσας καὶ τῆς αἰδοῦς μετὰ μίαν ἡμέραν ἐξέλιπεν, ἐπιτρόπους τῷ ἀνεψιῷ καὶ τῆς βασιλείας διοικητὰς γράψας τόν τε πατριάρχην Νικόλαον καὶ τὸν μάγιστρον Στέφανον καὶ τὸν μάγιστρον Ἰωάννην τὸν Ἐλαδᾶν τόν τε ῥαίκτωρα Ἰωάννην καὶ δύο τῶν ὑπ' αὐτοῦ προαχθέντων ἐκ τύχης ἀγυρτίδος εἰς συγκλητικὴν
PII183 *ἀξίαν καὶ εἰς πατρικιότητα, τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπουλον.*

16 *Ὁ οὖν Ἀλέξανδρος ἐνιαυτὸν ἕνα καὶ μῆνα τὴν βασίλειον διαπεττεύσας ἀρχὴν κατέλυσε τὴν ζωήν· τὸ δὲ κράτος ἐς Κωνσταντῖνον τὸν υἱὸν τοῦ Λέοντος περιέστη, παῖδα ἔτι τυγχάνοντα κομιδῇ· ἕβδομον γὰρ ἔτος αὐτῷ τῆς ἡλικίας ἠνύετο. ὁ μέντοι τοῦ δουκὸς Ἀνδρονίκου υἱὸς ὁ Κωνσταντῖνος, δομέστικος ὢν τῶν σχολῶν καὶ τὴν τοῦ Ἀλεξάνδρου ἐνωτισάμενος τελευτήν, ἀπεδήμει γὰρ τῆς βασιλίδος τῶν πόλεων, τὸ μέν τι ὃν ἔκρυπτεν ὑπὸ σποδιᾷ σπινθῆρα τοῦ ἔρωτος τῆς βασιλείου ἀρχῆς ἀνα-*
B *καλύπτων τε καὶ ἀναρριπίζων, τὸ δὲ καὶ ὑπ' ἄλλων πρὸς τοῦτο ἐρεθιζόμενος, ὧν εἷς εἶναι λέγεται καὶ ὁ πατριάρχης Νικόλαος, μήπω γὰρ τῆς τοῦ Ἀλεξάνδρου διαθήκης ἀναγνωσθείσης οὐκ ᾔδει καὶ αὐτὸς καταλελειμμένος ἐπίτροπος, τυραννίδι ἐπικεχείρηκε, καὶ τοὺς ἐκκρίτους τῶν στρατευμάτων παραλαβὼν τῷ Βυζαντίῳ ἐπιδεδήμηκε, καὶ διά τινος πυλίδος νυκτὸς εἰσελθὼν τὴν τοῦ Ἱπποδρόμου πύλην μετὰ λαμπάδων καταλαμβάνει, καί τινας καὶ τῶν συγκλητικῶν προσεταιρισάμενος, πολλοῦ καὶ δημώδους ὄχλου συναθροισθέντος, οἳ καὶ ὡς βασιλέα αὐτὸν*

εὐφήμουν καὶ ἀνηγόρευον. τῶν δ' ἐντὸς τὰς πύλας μὴ ἀνοιγνύντων, ὁ πρωτοστράτωρ τοῦ Κωνσταντίνου C ταῖς χερσὶ πεποιθὼς καὶ θρασύτερον προσαράξαι τὰς πύλας καὶ καταβαλεῖν βιαζόμενος νύττεται λόγχῃ παρά του τῶν ἔνδον διά τινος ἀμυχῆς. καὶ ὁ μὲν ἦν αὐτίκα νεκρός. ὁ δέ γε Κωνσταντῖνος ἐκεῖθεν εἰς τὸ τῶν ἵππων ἄπεισιν ἁμιλλητήριον θέατρον, εἶτα εἰς τὴν λεγομένην ἦλθε Χαλκῆν, καὶ ἄχρι τῶν Ἐξκουβίτων προῆλθεν. ὁ δὲ τῶν ἐπιτρόπων εἷς ὁ μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς ἐκ τῶν ἑταιρειῶν καὶ τῶν πλωίμων συλλέξας τινὰς ἀντικαταστῆναι τῷ τυραννοῦντι αὐτοὺς ἐξαπέστειλε. καὶ συμπλοκῆς γενομένης πολλοὶ πεπτώκασιν ἑκατέρωθεν· ἔσφακτο δὲ καὶ Γρηγορᾶς ὁ τοῦ δούκα υἱὸς καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ καὶ Κουρτίκιος ὁ Ἀρμένιος. D τούτοις οὖν περιαλγήσας ὁ Κωνσταντῖνος καὶ τὸ οἰκεῖον ἐπιρρῶσαι προθυμούμενος σύνταγμα τὸν ἵππον ἤλαυνε, συμμίξαι θέλων τοῖς ἔμπροσθεν· ἐστρωμένου δὲ τοῦ ἐδάφους πλαξὶν ὑπολισθήσας ὁ ἵππος ἔπεσε καὶ τὸν ἀναβάτην κατήνεγκε, καί τις αὐτῷ εὐθὺς ἐπελθὼν ἐξέτεμε τὴν αὐτοῦ κεφαλὴν καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ προσήνεγκε, διὰ τῆς δυτικῆς τοῦ Χρυσοτρικλίνου πύλης εἰσελθών, κατὰ τὴν πρόρρησιν τοῦ βασιλεύσαντος Λέοντος. ὅτι δὲ οὐ τεύξεται τῆς βασιλείας ὁ δοὺξ Κωνσταντῖνος καὶ ἑτέρωθεν τοῖς περὶ τὸν βασιλέα ἐπέγνωστο. ἦν γάρ τις τελώνης Νικόλαος, ὃς χρεώστης πολλῶν χρημάτων τῷ δημοσίῳ γενόμενος πρὸς τοὺς Ἰσμαηλίτας κατέφυγε καὶ τὴν πίστιν ἐξομοσάμενος ἀστρολογίαν μετήει. οὗτος τῷ λογοθέτῃ τοῦ δρόμου ἀπεστάλκει PII184 γραμμάτιον· ἡ δὲ τούτου περίληψις ἦν τοιαύτη· "μὴ φοβηθῆτε ἀπὸ τοῦ δουκός· νεωτερίσει γὰρ ἀφρό- W III 148

νως καὶ εὐθέως ὀλοθρευθήσεται. καὶ ἡ μὲν ἀποστασία ἐπέπαυτο. ὁ δὲ τοῦ Κωνσταντίνου πενθερὸς ὁ μάγιστρος Γρηγορᾶς καὶ Λέων ὁ χοιροσφάκτης τῇ μεγάλῃ ἐκκλησίᾳ προσπεφοιτήκασιν, οὓς ἐκβαλόντες τοῦ θείου τεμένους μοναχοὺς ἀπέκειραν οἱ ἐπίτροποι ἐν τῇ τοῦ Στουδίου μονῇ. ἄλλους δ' αἰκισάμενοι ἐθριάμβευσαν, ἑτέροις τὰ ὄμματα ἐξεπήρωσαν, ἐνίων δὲ τὰς κεφαλὰς ἀπέτεμον, καὶ ἄλ- B *λους ἐκ Χρυσοπόλεως μέχρι τοῦ Λευκάτου ἀνεσκολόπισαν. καὶ ἄλλοι δὲ πλείους τῆς τῶν ἐπιτρόπων ἐξουσίας γεγόνασιν ἂν παρανάλωμα, εἰ μή τινες τῶν δικαστῶν τῆς πρὸς τὰς τιμωρίας ῥοπῆς αὐτοὺς ἀνεχαίτισαν, εἰπόντες "πῶς ταῦτα ποιεῖτε ὑμεῖς κελεύσεως ἄτερ βασιλικῆς, ἐπεὶ παῖς ὢν ὁ βασιλεὺς τοῖς πραττομένοις οὐ συναινεῖ;" ἀποκείραντες δὲ οἱ ἐπίτροποι καὶ τὴν τοῦ Κωνσταντίνου γυναῖκα καὶ τὸν υἱὸν Στέφανον ἐκτομίαν ποιήσαντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῶν ἀπεστάλκασι τούτους. οἱ δὲ τοῦ βασιλέως ἐπίτροποι, ὅ τε πατριάρχης καὶ οἱ λοιποί, ἐναυθεντοῦντες τοῖς πράγμασι πολλὰ τῶν οὐ δεόντων ἐποίουν, καὶ πρὸς ἀλλήλους δὲ διεφέ-* C *ροντο, τῶν μὲν τάδ' εἰσαγόντων, τῶν δὲ τὰ ἀντίθετα, καὶ ἦν ἡ τούτων διοίκησις πολυαρχία τίς, ἀλλ' οὐ μοναρχία. ὁ δὲ Βούλγαρος Συμεών, ὡς μὴ βασιλέως ἐπιστατοῦντος τοῖς πράγμασι, ῥᾳδίως ἐλπίσας κρατῆσαι τῆς βασιλίδος τῶν πόλεων, ἔπεισι κατὰ ταύτης μετὰ πλείστης δυνάμεως, καὶ ἔξω στρατοπεδεύεται τῶν ταύτης τειχῶν, καὶ πολιορκῆσαι ταύτην διανενόητο. ἰδὼν δὲ τὸ τῶν τειχῶν κρατερὸν καὶ τὸ πλῆθος τὸ ἐπ' αὐτῶν καὶ τῶν ἐν τοῖς τείχεσι μηχανημάτων τὸ δαψιλές, ἰλιγγιάσας μετέπεσεν εἰς τὸ Ἕβδομον, ζητῶν σπείσασθαι. ὁ γοῦν*

πατριάρχης καὶ οἱ λοιποὶ τῶν ἐπιτρόπων λαβόντες τὸν βασιλέα εἰς τὰ ἐν Βλαχέρναις ἦλθον βασίλεια, ὅπου καὶ ὁ Συμεὼν παρεγένετο, ὁμήρους δοὺς καὶ D λαβών, καὶ τῷ πατριάρχῃ κλίνας τὴν κεφαλὴν ηὐλογήθη παρ' ἐκείνου καὶ συνειστιάθη τῷ βασιλεῖ. εἶτα μὴ ἀρεσθεὶς ταῖς συνθήκαις ἐπανῆλθεν ἀσύμβατος, δώροις δεξιωθεὶς καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ. ἀνακαλουμένου δὲ διόλου τὴν ἑαυτοῦ μητέρα τοῦ βασιλέως καὶ ἐπὶ ταύτῃ δακρύοντος, ἔφθη γὰρ ταύτην τῶν ἀνακτόρων καταγαγεῖν ὁ Ἀλέξανδρος, ἠναγκάσθησαν αὐτὴν ἀναγαγεῖν οἱ ἐπίτροποι. ἡ δὲ ἀνελθοῦσα τῆς διοικήσεως εἴχετο, προσλαβοῦσα καὶ τὸν παρακοιμώμενον Κωνσταντῖνον καὶ τοὺς αὐταδέλφους ἄμφω τοὺς Γογγυλίους, καὶ πρῶτον μὲν τὸν πατριάρχην ἀπάγει τῶν βασιλείων, εἶτα καὶ τοὺς τοῦ Ἀλεξάνδρου θεράποντας ἐξωθεῖ, τὸν ῥαίκτωρα τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπωλον, PII185 ἀλλὰ μέντοι καὶ τοὺς λοιπούς. Κωνσταντῖνος δὲ ὁ παρακοιμώμενος τὰ πάντα ἠδύνατο. ὁ μέντοι Βούλγαρος Συμεὼν τὴν Θρᾴκην κατέτρεχέ τε καὶ ἐληΐζετο, καὶ ἐν τῇ Ἀδριανουπόλει βάλλεται χάρακα, πολιορκίᾳ ταύτην ἐλπίζων ἑλεῖν. ὡς δ' ἑώρα ἑαυτῷ κενόσπουδον τὸ ἐγχείρημα, ἑτέρως τὴν ἅλωσιν τῆς πόλεως μέτεισι. χρήμασι γάρ τινας τῶν φυλάκων αὐτῆς ὑποφθείρας ἐκ προδοσίας αὐτὴν ἐξεπόρθησεν. ἀλλὰ ταύτην μετέπειτα πάλιν ὑπὸ Ῥωμαίους ἡ τῆς βασιλίσσης σπουδὴ ἐποιήσατο. μὴ φέρουσα δὲ τὰς κατὰ τῆς Θρᾳκῴας χώρας πυκνὰς ἐπελεύσεις τοῦ Συμεών, σπένδεται τοῖς ἐξ Ἰσμαὴλ καὶ τά τε ἑῷα τάγματα καὶ τὰ ἑσπέρια συναθροίσασα τῷ μαγίστρῳ B Λέοντι τῷ Φωκᾷ τῶν σχολῶν δομεστίκῳ τυγχάνοντι τὸν κατὰ τοῦ Συμεὼν ἀνέθετο πόλεμον. ὃς καὶ WIII149

μάχην συνάψας ἡττᾷ τοὺς Βουλγάρους περιφανῶς καὶ φόνον αὐτῶν ποιεῖται πολύν. κατάκοπος δὲ γεγονὼς καὶ ἱδρῶτι διάβροχος κἀντεῦθεν λιποθυμῶν, ἐπί τινι πηγῇ τοῦ ἵππου ἀποβὰς ἀνέψυχεν ἑαυτόν. ἐν τούτῳ δὲ ὁ ἵππος αὐτοῦ τὰς τοῦ κατέχοντος αὐτὸν χεῖρας διαφυγὼν ἐν τῷ τοῦ στρατοπέδου πεδίῳ ἐκρόαινεν ἀναβάτου χωρίς. ἐπίσημος δὲ τυγχάνων εἰς δειλίαν ἐνέβαλε τὰ στρατεύματα, οἰηθέντα πεσεῖν C *τὸν δομέστικον, καὶ τοῦ μὲν πολέμου ἀπέσχοντο καὶ τῆς διώξεως ἔστησαν, θόρυβος δ' ἔσχεν αὐτούς. ὁ δέ γε Συμεὼν ἐκ περιωπῆς τινος ὁρῶν τὸ συμβεβηκὸς περὶ τὰ στρατεύματα, τοῖς περὶ αὐτὸν ἐγκελεύεται καὶ κατὰ Ῥωμαίων ἐξώρμησε καὶ τεθορυβημένοις αὐτοῖς ἐμβαλὼν εἰς φυγὴν ἅπαντας ἀθρόον ἐτρέψατο, καὶ τοὺς μὲν οἱ Βούλγαροι διώκοντες ἔκτεινον, οἱ δ' ὑπ' ἀλλήλων ἀπώλλυντο συμπατούμενοι. ὁ δὲ τῶν σχολῶν δομέστικος μόλις εἰς Μεσημβρίαν διαδρᾶναι δεδύνητο· πολλοὶ δὲ καὶ τῶν στρατηγῶν καὶ ταγματάρχαι τότε ἐφθάρησαν.*

17 *Ἰωάννης δὲ ὁ Βογᾶς ἐστάλη Πατζινάκους εἰς συμμαχίαν ἀγαγεῖν κατὰ τῶν Βουλγάρων, καὶ ὁ πατρίκιος Ῥωμανὸς ὁ Λακαπηνός, δρουγγάριος ὢν* D *τῶν πλωίμων, ὡρίσθη μετὰ τοῦ στόλου παραπλεῖν, ἅμα μὲν εἰς συνεργίαν τοῦ τῶν σχολῶν δομεστίκου, ἅμα δὲ καί, εἰ ἀχθεῖεν σύμμαχοι παρὰ τοῦ Βογᾶ, διαπεραιώσασθαι σφᾶς. ἧκεν οὖν ὁ Βογᾶς μετὰ τῶν συμμάχων. στάσεως δ' ἐμπεσούσης αὐτῷ τε καὶ τῷ Λακαπηνῷ, ὁρῶντες οἱ Πατζινάκοι αὐτοὺς πρὸς ἀλλήλους διαπληκτιζομένους καὶ ἀμελῶς περὶ τὴν αὐτῶν διακειμένους διάβασιν, εἰς τὰ ἑαυτῶν ἐπανήλθοσαν. οἱ μὲν οὖν οὕτω ταῦτά φασ[illegible] καὶ τὴν ἧτταν τῶν Ῥωμαίων ἐντεῦθεν συμβῆνα[illegible]ή τυχόντων τῆς*

συμμαχίας, οἱ δὲ ἀλλοίως τὸ πρᾶγμα ἱστόρησαν· ἡττήσαντος γάρ φασι τοῦ Φωκᾶ τοὺς βαρβάρους καὶ διώκοντος φήμην γενέσθαι ὡς ὁ δρουγγάριος τῶν πλωίμων ἄπεισι σὺν τῷ στόλῳ, τὴν βασιλείαν παραληψόμενος· τοῦτο δὲ τῷ δομεστίκῳ πεσὸν εἰς ὦτα PII186 ἐκταράξαι αὐτόν, ὡς ἀποσχέσθαι μὲν τῆς διώξεως, ἐπανελθεῖν δ' εἰς τὸν χάρακα, τὰ τῆς φήμης ἀκριβωσόμενον, κἀντεῦθεν παλίντροπον γενέσθαι τὸν πόλεμον· φυγεῖν μὲν γὰρ τοὺς Ῥωμαίους, ἀπόδρασιν τῆς μάχης οἰηθέντας τὴν εἰς τὸν χάρακα τοῦ δομεστίκου ἀπέλευσιν, τοὺς δὲ Βουλγάρους ἐκ τῆς φυγῆς ἐπαναστραφέντας διώκειν αὐτούς. τὴν δὲ πρὸς τὸν χάρακα τοῦ δομεστίκου ὑποστροφὴν τῆς βασιλείας ἐπιθυμίᾳ πεποίηκεν. ἐρῶν γὰρ αὐτῆς ἔσπευδεν, εἰ ἀληθὲς ἦν τὸ τὸν δρουγγάριον ἀπιέναι, προκαταλαβεῖν αὐτὸς καὶ οἰκειώσασθαι τὴν ἀρχήν. μετὰ δὲ τὴν ἧτταν ἐπανελθόντων τοῦ τε Λακαπηνοῦ καὶ τοῦ Βογᾶ, ἐζητήθη τὰ μέσον αὐτῶν, B καὶ κατεκρίθη ὁ Ῥωμανὸς πηρωθῆναι τὰ ὄμματα, ὡς αἴτιος τῆς ἥττης ἢ κακούργως ἢ ῥαθύμως γενόμενος, ἀλλ' ἐκεῖνον μὲν τῆς ψήφου ταύτης ἐξήρπασάν τινες μέγα παρὰ τῇ βασιλίσσῃ δυνάμενοι. ὁ δὲ Βούλγαρος Συμεὼν τῇ νίκῃ ἐξογκωθεὶς ἐπῄει κατὰ τῆς βασιλευούσης τῶν πόλεων. ἀντικατέστη δὲ αὐτῷ πάλιν ὁ τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς, καὶ μάχης συγκροτηθείσης ἐν Κατασύρταις οἱ βάρβαροι ἥττηντο. πολλῶν δὲ καὶ τούτων περιφανῶν ἔρωτα τρεφόντων τῆς βασιλείας, μᾶλλον τῶν ἄλλων περὶ τὸν ταύτης ἐφλέγμαινεν ἔρωτα ὁ τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς, πεποιθὼς μὲν καὶ ἑαυτῷ διὰ τὸ γένος καὶ διὰ τὴν ἰσχύν, οὐχ ἥκιστα δὲ τῷ παρα- C κοιμωμένῳ Κωνσταντίνῳ τῷ ἐκτομίᾳ, τὰ πάντα τότε

παρὰ τοῖς ἀνακτόροις ἰσχύοντι, οὗ ἐπ' ἀδελφῇ κηδεστὴς ἐτύγχανεν ὤν. ταῦτα τοίνυν ὁρῶν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγός, καὶ δείσας περὶ αὐτῷ, πείθει τοῦτον τὸν τοῦ στόλου δρουγγάριον τὸν εἰρημένον Ῥωμανὸν οἰκειώσασθαι καὶ φύ- W III 150 λακα προσλαβέσθαι. ἐγχαράττει τοίνυν βιβλίον ὁ βασιλεὺς οἰκειόγραφον, καὶ στέλλει τῷ δρουγγαρίῳ. ὁ δὲ τοῦτο δεξάμενος ὑπέσχετο τὴν τοῦ παρακοιμωμένου δυναστείαν, εἰ οἷόν τε, καθελεῖν. καί ποτε τοῦ παρακοιμωμένου, ἔνθα ὁ στόλος ὥρμιστο, παρα- D γενομένου καὶ ἐπισπέρχοντος ἐκπλεῦσαι αὐτόν, ὁ δρουγγάριος δουλικώτερον αὐτῷ προσυπήντησε, καὶ μεθ' ὑποστολῆς ὡμίλει καὶ περὶ τὰς τριήρεις ἠρέμα πως προεβίβαζεν. ὡς δὲ τῇ ναυαρχίδι προσήγγισεν ἑτοίμους ἔχων ἄνδρας παρεπομένους αὐτῷ γενναίους τε καὶ πολλούς, "ἄρατε τοῦτον" εἶπεν. οἱ δὲ συσχόντες αὐτὸν εἰς τὴν τριήρη ἐνέθεντο, τῶν περὶ αὐτὸν αὐτίκα διασπαρέντων. τοῦτο τῇ βασιλίδι ἐνωτισθὲν εἰς θόρυβον αὐτήν καὶ τοὺς ἐν τέλει ἐνέβαλε. πέμπει τοίνυν πρὸς τὸν Ῥωμανὸν ἐρωτῶσα τί ἂν εἴη τὸ γεγονός. ἀλλὰ τὸ ναυτικὸν λίθοις τοὺς πεμφθέντας ἐδίωξαν. τῇ δ' ἑξῆς τὸν πατριάρχην ὁ βασιλεὺς μετακαλεσάμενος καὶ τὸν μάγιστρον Στέφανον P II 187 ἔπεμψε τοὺς ἐκ τῶν βασιλείων τὴν αὐτοῦ μητέρα κατάξοντας. τῆς δὲ τῷ υἱῷ προσφυείσης μετὰ δακρύων, εἰς οἶκτον ἐκεῖνος ἐκλίθη καὶ ἀφῆκεν αὐτήν, εἰς ἑαυτὸν δὲ τὴν ἐξουσίαν μετήνεγκε, καὶ προεχειρίσατο δομέστικον τῶν σχολῶν τὸν Γαριδᾶν Ἰωάννην τὸν μάγιστρον. ὁ δὲ δρουγγάριος ὁ Λακαπηνός, ἐξαρτύσας τὸν στόλον ὥσπερ εἰς ναυμαχίαν κατὰ τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ τοῖς βασιλείοις προσέπλευσεν εἰς τὸν Βουκολέοντα. καὶ ὁ μὲν πατριάρ-

χης καὶ ὁ μάγιστρος Στέφανος εὐθὺς ἐκ τῶν ἀνακτόρων ἐξέστησαν, ὁ δὲ Ῥωμανὸς ὅρκους πρότερον τελέσας φρικωδεστάτους μήποτε κατὰ τοῦ βασιλέως φρονῆσαι μηδ' ἐπιθέσθαι τῇ βασιλείᾳ, ἀνῆλθεν εἰς B *τὰ βασίλεια, καὶ εἰς τὸν ἐν τῷ Φάρῳ ναὸν τῷ Κωνσταντίνῳ συνεισελθὼν καὶ πίστεις δούς τε καὶ εἰληφώς, μέγας ἑταιρειάρχης προβάλλεται. ἐπέστειλε δὲ τῷ Φωκᾷ ὁ βασιλεὺς μὴ ἀθυμῆσαι μηδ' ἀπογνῶναι, προσμεῖναι δὲ μικρόν, ὡς μελλούσης αὐτῷ γενέσθαι προνοίας μετὰ βραχύ. ὁ δὲ Ῥωμανὸς τὴν ἑαυτοῦ θυγατέρα Ἑλένην μνηστεύεται τῷ βασιλεῖ Κωνσταντίνῳ, καὶ τῇ τρίτῃ τοῦ πάσχα τετέλεστο τὰ γαμήλια, τοῦ πατριάρχου Νικολάου τὴν ἱερολογίαν ποιήσαντος, καὶ αὐτίκα τετίμηται βασιλεοπάτωρ ὁ Ῥωμανός, μέγας δ' ἑταιρειάρχης Χριστοφόρος ὁ τούτου υἱός. ταῦτα δὲ μαθὼν ὁ Φωκᾶς τυραννίδι ἐπέθετο, Κωνσταντῖνον τὸν παρακοιμώμενον προσλα-* C *βόμενος καὶ ἑτέρους τῶν ἀρχόντων, καὶ διαβεβαιούμενος ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου πράττειν ὃ πράττει. ὁ Ῥωμανὸς δὲ γραφὴν γεγραφὼς ἀνατροπὴν περιέχουσαν τῆς τοῦ Φωκᾶ προφάσεως, καὶ ταύτην τῇ τοῦ βασιλέως ὑποσημασίᾳ καὶ χρυσῇ σφραγῖδι βεβαιωσάμενος, πέμπει ταύτην παρὰ τὸ μετὰ τοῦ Φωκᾶ στράτευμα μετά τινος γυναίου ἑταιρικοῦ. κἀκεῖνο πολλοῖς τὴν χρυσοσήμαντον ὑποδεικνύον λάθρᾳ γραφὴν πολλοὺς καταλιπεῖν πεποίηκε τὸν Φωκᾶν καὶ προσχωρῆσαι τῷ βασιλεῖ. ὁ δὲ Φωκᾶς ἐν Χρυσοπόλει γενόμενος, καὶ καταλειφθεὶς ὑπὸ τοῦ μετ' αὐτοῦ πλήθους τῷ βασιλεῖ προσφοιτή-* D *σαντος, ἐτράπετο εἰς φυγήν, καὶ ἔν τινι χωρίῳ γενόμενος, ὅπερ παρὰ τῶν ἐγχωρίων Γοηλέων κατωνομάζετο, συλλαμβάνεται, καὶ τυφλωθεὶς εἰσάγεται εἰς*

τὴν βασιλεύουσαν· καὶ τοῦτο τέλος τῇ αὐτοῦ τυραννίδι ἐγένετο. ἀλλὰ μὴν καὶ ἑτέρα ἐπιβουλὴ κατὰ τοῦ βασιλέως συνέστη· νεανίας γάρ τινες καθῆκαν κατ' αὐτοῦ θηρῶντος, ἵν' αὐτῷ ἐν τῇ θήρᾳ ἐπίθωνται. W III 151 *ἀλλ' ἐγνώσθη τὸ βούλευμα, καὶ οἱ πρωτουργοὶ ἐκολάσθησαν. ἐξεβλήθη δὲ τῶν βασιλείων καὶ ἡ τοῦ βασιλέως μήτηρ Ζωή, ὡς ἐπιβουλεύουσα δῆθεν τῷ βασιλεοπάτορι, καὶ ἀπεκάρη ἐν τῇ τῆς ἁγίας Εὐφη-* P II 188 *μίας μονῇ. τῇ δὲ εἰκοστῇ τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς εἰς τὴν τοῦ Καίσαρος ἀξίαν ἀνήχθη ὁ Ῥωμανὸς καὶ κατὰ τὸν Δεκέμβριον τῷ τῆς βασιλείας διαδήματι τεταινίωτο παρὰ τοῦ πατριάρχου Νικολάου τοῦ Κωνσταντίνου δῆθεν ἐπιτροπῇ.*

18 *Καὶ ὁ μὲν Λακαπηνὸς Ῥωμανὸς οὕτω τῆς ἀναρρήσεως ἔτυχεν, οὐκ ἠγάπα δὲ ταύτης τυχὼν αὐτός, ἀλλὰ μετὰ βραχὺ καὶ τὴν οἰκείαν ὁμευνέτιν τὴν Θεοδώραν ταινιοῖ, εἶτα καὶ τὸν υἱὸν Χριστοφόρον, προαιρέσει μὲν τῷ δοκεῖν τοῦ Κωνσταντίνου, τῇ δ' ἀληθείᾳ βιαζομένου ἀσχάλλοντός τε πρὸς οὓς ἐθάρρει καὶ ἐν συμφορᾷ τιθεμένου τὰ πραττόμενα, μὴ θαρροῦντος δὲ ἀνταίρειν. ἐπιβουλῆς δὲ κατὰ τοῦ* B *Ῥωμανοῦ γενομένης, ἧς ὁ σακελλάριος πρωτουργὸς ἦν Ἀναστάσιος, ὡς τῷ Κωνσταντίνῳ δῆθεν ἀμύνων, ἐγνώσθη τὰ κατ' αὐτήν, καὶ οἱ μὲν συνίστορες, ὡς ἔδοξε τῷ Ῥωμανῷ, ἐκολάσθησαν, ὁ δὲ σακελλάριος ἀπεκάρη. ἣν δὴ πρόφασιν ἔσχεν ὁ Ῥωμανὸς τοῦ ὑποβιβάσαι τὸν Κωνσταντῖνον ἑαυτοῦ, μέχρι τότε πρῶτον εὐφημούμενον ἐν ταῖς ἀναρρήσεσιν. ὁ Συμεὼν δὲ κατὰ τῆς πόλεως ἐκπέμπει στρατόν· ἵνα δὲ μὴ ἐλθόντες τὰς πρὸ τῆς πόλεως διαφθείρωσιν ἀγλαΐας, ἔπεμψε καὶ ὁ Ῥωμανὸς τοὺς ἀντιταξομένους αὐτοῖς καὶ τῶν Βουλγάρων ἐπελθόντων αὐ-*

τοῖς πίπτουσι μὲν καὶ τῶν ἀρχόντων πολλοί, τῶν δέ γε στρατιωτῶν οἱ μὲν εἰς τὰς τριήρεις σπεύδοντες ἐμβῆναι παραπλεούσας εἰς τὴν θάλασσαν ἐξωλίσθαινον, καὶ ὑπὸ κυμάτων ἐφέροντο, οἱ δὲ ὑπὸ C τῶν πολεμίων διώλλυντο, οἱ δὲ καὶ ζῶντες συνελαμβάνοντο. οὕτω δὲ διατεθείσης τῆς Ῥωμαϊκῆς στρατιᾶς κατὰ τὰς Πηγάς, τά τε ἐκεῖ ὄντα ἀνάκτορα οἱ Βούλγαροι ἐπυρπόλησαν καὶ τἄλλα ὅσα ἐν τῷ αἰγιαλῷ τοῦ κατ' ἀντικρὺ τῆς πόλεως ἦσαν διακειμένου πορθμοῦ. θανούσης δὲ τῆς τοῦ Ῥωμανοῦ συμβίου τῆς Αὐγούστης Θεοδώρας ἡ τοῦ βασιλέως Χριστοφόρου γυνὴ Σοφία τοῦ τῆς Αὐγούστης ἠξιώθη ὀνόματος. ὁ τῶν Βουλγάρων δ' ἐξηγούμενος Συμεὼν τῇ Ἀδριανουπόλει προσέβαλε καὶ ταύτην ἐπολιόρκει. ἤνυσε δ' ἂν οὐδέν, εἰ μὴ τοῖς ἔνδον ἐπιλελοίπει τὰ ἐπιτήδεια· βιαζόμενοι γὰρ τῷ λιμῷ καὶ ἑαυτοὺς καὶ τὴν πόλιν τοῖς πολεμίοις παρέδωκαν. τότε μέντοι καὶ ὁ ἐκ Τριπόλεως Λέων μετὰ D δυνάμεως ναυτικῆς κατὰ Ῥωμαίων ἐχώρησεν· ἀλλὰ τούτῳ περὶ τὴν νῆσον Λῆμνον τριήρεις ἐπελθοῦσαι Ῥωμαϊκαὶ τοὺς μὲν Ἀγαρηνοὺς σχεδόν τι ξύμπαντας διεφθάρκασι, τὰς δὲ νῆας αὐτῶν ὑποβρυχίους ἐποίησαν, μόλις τοῦ Τριπολίτου φυγεῖν ἐξισχύσαντος. καὶ ὁ Βούλγαρος δὲ Συμεὼν τά τε κατὰ Μακεδονίαν καὶ τἀπὶ Θρᾴκης σὺν βαρεῖ στρατεύματι ἐληΐζετο, καὶ παρὰ τὴν πόλιν ἐλθὼν ἀγχοῦ τῶν Βλαχερνῶν πεποίητο τὴν παρεμβολήν, καὶ τῷ βασιλεῖ Ῥωμανῷ ἐζήτησεν ἐντυχεῖν, καὶ τὴν ἔντευξιν ὁ βασιλεὺς ᾑρετίσατο, καὶ κατὰ τὸν τοῦ Κοσμιδίου αἰγιαλὸν ὁ μὲν βασιλεὺς σὺν τῷ στόλῳ ἀφίκετο, ὁ δέ γε Συμεὼν μετὰ τῆς οἰκείας παρεγένετο στρατιᾶς, PII189 καὶ ὡμίλησαν καὶ ὁ βασιλεὺς μεγαλοπρεπῶς τῷ Συ-

μεὼν ἐδωρήσατο. ἀσύμβατοι δὲ ἀπ' ἀλλήλων διέ-
στησαν, ὃ καὶ δυὰς ἔδοξε δηλῶσαι ἀετῶν. φασὶ γὰρ
ἄνωθεν αὐτῶν διαπτῆναι τούτους καὶ ἀλλήλοις συμ-
W III 152 μίξαι μετὰ κλαγγῆς, εἶτ' εὐθὺς διαστῆναι ἀλλήλων,
τοῦ μὲν ἐπὶ τὴν πόλιν ἀποπτάντος, τοῦ δ' ἐπὶ Θρά-
κην κινήσαντος τὸ πτερόν. ὁ βασιλεὺς δὲ Ῥωμανὸς
ἀπληστευσάμενος ἐπὶ τῇ τῆς βασιλείας ἀρχῇ, καὶ
ὥσπερ ἐπιλελησμένος τῶν ὅρκων, οὓς ὠμωμόκει
καθ' ἱερῶν, καὶ μὴ ἀρκούμενος ὅτι ἑαυτὸν καὶ τὸν
τῶν υἱέων πρεσβύτερον ἠξίωσε διαδήματος, καὶ τοὺς
λοιποὺς δύο τῶν παίδων αὐτοῦ βασιλικῶς τεταινίω-
κεν, εἶτα καὶ τὸν ἐκ τοῦ Χριστοφόρου γενόμενον
B αὐτῷ υἱωνόν, καὶ τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀντὶ βα-
σιλείας εἰς πολυαρχίαν μετήνεγκε. τῷ τελευταίῳ δὲ
τῶν υἱῶν αὐτοῦ Θεοφυλάκτῳ τὸν θρόνον τὸν ἀρ-
χιερατικὸν τῆς βασιλίδος τῶν πόλεων μνηστευόμενος
ἀπέκειρε κληρικόν, διὰ τοῦ πατριάρχου προχειρι-
σθέντα καὶ σύγκελλον. τοῦ πατριάρχου δὲ Νικο-
λάου ἔτη τρισκαίδεκα τὸ δεύτερον τῆς ἐκκλησίας
κρατήσαντος καὶ μεταθεμένου τὴν βιοτήν, ὁ μητρο-
πολίτης Ἀμασείας Στέφανος εἰς τὸν θρόνον τῆς
Κωνσταντινουπόλεως μετήνεκτο. ὁ μέντοι τῶν Βουλ-
γάρων ἄρχων ὁ Συμεών, ἀνὴρ ὢν αἱμάτων, ἡσυχίαν
ἄγειν οὔποτε ὅλως προῄρητο, ὅθεν κατὰ τοῦ ἔθνους
τῶν Χροβάτων ἐστράτευσεν, ἀλλ' ἥττητο ὑπ' ἐκεί-
νων, κἀν ταῖς τῶν ὀρῶν δυσχωρίαις τὸ οἰκεῖον ἀπέ-
βαλε στράτευμα. ἐν τούτῳ δὲ πρόσεισί τις τῷ βα-
C σιλεῖ Ῥωμανῷ, λέγων τὴν ἄνωθεν τῆς ἐν τῷ Ξηρο-
λόφῳ ἀψῖδος καθιδρυμένην στήλην καὶ πρὸς τὰ
ἑσπέρια ἀποβλέπουσαν εἰς τὸν Συμεὼν ἐστοιχειῶ-
σθαι τὸν Βούλγαρον, καὶ εἰ τὴν ταύτης ἀποτέμῃ τις
κεφαλήν, ἕψεται τῇ ἐκτομῇ τοῦ Συμεὼν ἡ φθορά.

ὁ μὲν οὖν εἶπε ταῦτα, καὶ ἡ κεφαλὴ τῆς στήλης οὐκ εἰς μακρὰν ἐξετέτμητο, καὶ τῷ Συμεὼν αὔθωρον ἐπέλιπε τὸ βιώσιμον, ληφθέντι καρδιωγμῷ, ὡς μετὰ ταῦτα ἐγνώσθη τῷ βασιλεῖ, ἀκριβωσαμένῳ τῆς ἐκείνου τελευτῆς τὸν καιρόν. ὡς δ' ἐξ ἀνθρώπων ὁ Συμεὼν ἀπελήλυθεν, ἡ τῶν Βουλγάρων ἀρχὴ πρὸς Πέτρον τὸν ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς αὐτῷ D τεχθέντα περιελήλυθεν, ὅς, ἐπεὶ καὶ λιμῷ τὸ τῶν Βουλγάρων ἔθνος ἦν πιεζόμενον καὶ τὰ πέριξ ἔθνη μὴ κατ' αὐτοῦ ὁρμήσαιεν ἐδεδίει καὶ πρὸ τῶν ἄλλων Ῥωμαίους, στέλλει πρὸς τὸν βασιλέα, σπονδὰς ποιησόμενος, εἰ δ' αἱροῖτο, καὶ κῆδος εἰς ἑαυτόν. ὡς δὲ τῷ βασιλεῖ καὶ ἄμφω καταθύμια ἔδοξε τὰ αἰτούμενα καὶ αὐτὸς ὁ Πέτρος ἀφίκετο, καὶ γεγόνασι μὲν συνθῆκαι περὶ σπονδῶν, συνήφθη δὲ αὐτῷ πρὸς συμβίωσιν γαμικὴν καὶ ἡ τοῦ βασιλέως ἐγγόνη, ἣ ἐκ τοῦ πρεσβυτέρου τῶν υἱῶν αὐτοῦ τοῦ Χριστοφόρου γεγέννητο.

19 Ὁ δὲ βασιλεὺς Ῥωμανὸς οὐκ ἀρκοῦν ἡγούμενος ὅτι ἑαυτοῦ τὸν βασιλέα Κωνσταντῖνον ὑπεβίβασε, λαβὴν ἐζήτει καὶ τὸν Χριστοφόρον προθεῖναι αὐτοῦ, καὶ παρεσκεύασε τὴν τῶν Βουλγάρων πληθὺν ἐν τῷ τοῦ γάμου καιρῷ στασιάσαι, ζητοῦσαν τὸν Χριστοφόρον πρὸ PII90 τοῦ Κωνσταντίνου ἀναγορεύεσθαι, καὶ διὰ τὴν στάσιν δῆθεν οἰκονομῶν τι παρεχώρησε τὸ αἰτούμενον γίνεσθαι. εἶτα μήτε τὸ θεῖον δείσας, ὃ τὰς ὁμολογίας αὐτῷ ἐμπεπέδωκε, μήτ' αἰδεσθεὶς τὸ ὑπήκοον, καὶ ἄμφω τοὺς ἄλλους υἱεῖς αὐτοῦ τοῦ Κωνσταντίνου προτέρους εὐφημεῖσθαι πεποίηκε, καὶ ὁ πρῶτος πέμπτος ἐγένετο, καὶ εἰ μὴ ὁ μικρὸς Ῥωμανὸς ὁ τοῦ Χριστοφόρου υἱὸς ἔφθη θανών, κἀκεῖνος ἂν αὐτοῦ προτετίμητο. ἦν οὖν ὁ αὐθιγενὴς βασιλεὺς καὶ ᾧ κατὰ

κλῆρον ἡ βασιλεία διέφερεν ὥσπερ παρέγγραπτος. ἀλλ' ἐπὶ τούτοις ἡ δίκη οὐκ ἐπενύσταξεν· ἀναβεβλήσθω δ' ἡ περὶ τούτων διήγησις. ὁ Ἀμασείας δὲ B Στέφανος ἔτη τρία διαγαγὼν ἐν τῷ θρόνῳ τῆς ὑπερκειμένης τῶν πόλεων ἐτελεύτησε, καὶ ἐχειροτονήθη Τρύφων τις μοναχὸς ἐπὶ συνθήκαις τοῦ μετὰ χρόνον ὡρισμένον ἑκὼν ἐκστῆναι τοῦ θρόνου τῷ τοῦ βασιλέως W III 153 υἱῷ τῷ Θεοφυλάκτῳ· ἦν γὰρ ἔτι μειράκιον. γέγονε δ' ἐν τοῖς χρόνοις τούτοις χειμών τε ἀφόρητος λιμός τε σφοδρότατος καὶ ἐμπρησμὸς φρικωδέστατος. ὅτε καὶ ὁ βασιλεὺς Χριστοφόρος τὴν ζωὴν ἐξεμέτρησεν. ἤδη δε τοῦ ὡρισμένου καιροῦ παραρρυέντος ὁ πατριάρχης Τρύφων οὐ μεθίετο τοῦ θρόνου τοῦ ἀρχιερατι- C κοῦ κατὰ τὰ συγκείμενα, ἀλλ' ὅλαις χερσὶ τῆς ἀρχιερωσύνης ἀντείχετο. καὶ ὁ βασιλεὺς ἠνιᾶτο διὰ τὴν ἀπάτην, ὡς ἐμπαιχθείς. ὁ γοῦν Καισαρείας χαρίσασθαι τῷ βασιλεῖ προθυμούμενος, δόλῳ μέτεισι τὴν τοῦ πατριάρχου ἀφέλειαν, καὶ φίλου προσωπεῖον ἑαυτῷ περιθέμενος τῷ πατριάρχῃ φησίν "ἡ μὲν κατὰ σοῦ τοῦ κρατοῦντος ἐπίθεσις σφοδρά, ἀλλ' ἐπιλείπουσιν αὐτῷ αἰτιάματα ὑπὸ καθαίρεσίν σε τιθέμενα, καὶ λοιπὸν εἰς τὸ μηδὲ ὅλως εἰδέναι σε γράμματα οἱ κατὰ σοῦ περιίστανται. ἀλλὰ σπεῦσον καὶ τούτου τοὺς μελετῶντας κατὰ σοῦ ἀποκρούσασθαι. διαλύσεις δὲ τούτοις τὸ σπούδασμα, εἰ ἐνώπιον πολλῶν χάρτην λαβὼν τὸ ὄνομα ἐγχαράξεις τὸ σὸν καὶ τὸ D τῆς ἀρχιερωσύνης ἀξίωμα. καὶ τούτου ἀποκομισθέντος τῷ βασιλεῖ οὐκέτι κατὰ σοῦ αἰτίαμα περιλέλειπται." ὁ μὲν οὖν συνεβούλευσε ταῦτα, ὁ δὲ ἐπείθετο, καὶ πολλῶν παρόντων ἀγράφῳ χάρτῃ ταῦτ' ἐγεγράφει· "Τρύφων ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης." καὶ λαβὼν τὸν χάρ-

την ὁ Καισαρείας ἀπῄει ἐμφανίσων τοῦτον τῷ βασιλεῖ. ἔγγραφον οὖν ἐν αὐτῷ παραιτήσεως ὡς ἐκ τοῦ πατριάρχου ἄνωθι τῆς ὑπογραφῆς ἐξυφαίνεται, καὶ ὡς παραιτησάμενος τῆς ἐκκλησίας ἐκβάλλεται, καὶ ὁ τοῦ βασιλέως υἱὸς πατριάρχης κεχειροτόνηται. στόλος δὲ Ῥωσικὸς ἐπῆλθε κατὰ τῆς πόλεως, καὶ ὁ στόλος οὐ χιλιόναυς, ὡς λέγεται, ἦν, ἀλλ᾽ εἰς πεντεκαί- PII191 δεκα χιλιάδας τὰ τούτου πλοῖα ἠρίθμηντο. τούτοις περὶ τὸν Φάρον προσορμισθεῖσιν ἀντίπρῳρος ἔστη στόλος Ῥωμαϊκός, καὶ ἀθρόον αὐτοῖς προσβαλὼν ἐτρέψατο τοὺς βαρβάρους, καὶ πολλὰ τῶν πλοίων τῷ ὑγρῷ πυρὶ ἀπετέφρωσεν. ὅσα δέ γε περιελέλειπτο πρὸς ἕω περαιωθέντα, τῷ πατρικίῳ Βάρδᾳ ἐνέκυρσε τῷ Φωκᾷ, στρατιωτικοῦ στρατηγοῦντι συντάγματος, ὃς πρὸς συλλογὴν τῶν ἀναγκαίων πολλοὺς ἐξιόντας τῶν πλοίων καταλαμβάνων ἀνῄρει. ἀλλὰ καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας ἑτέροις ἐντυγχάνων κατὰ ζήτησιν τῶν ἐπιτηδείων ἐκβαίνουσι τῶν νηῶν, καὶ ἐζώγρει καὶ μαχαίρας ἔργον ἐτίθετο. οὕτω δὲ καὶ διὰ θαλάσσης καὶ διὰ γῆς παθόντες κακῶς οὐκέτι τῶν πλοίων ἐξώρμουν. ὡς δὲ τὰ πρὸς τροφὴν αὐτοῖς παντάπασιν ἐπιλέλοιπεν, B ἐπανελθεῖν ἐς τὰ οἰκεῖα διανενόηνται καὶ ἤδη τοῦ ἔκπλου κατήρξαντο. ἀλλ᾽ αὖθις αὐτοῖς αἱ τριήρεις ἐπέθεντο, καὶ δὶς οἱ βάρβαροι κατεναυμαχήθησαν, ὡς ὀλίγας πάνυ τῶν σφετέρων νηῶν ἐκφυγεῖν καὶ ἀνθυπονοστῆσαι πρὸς τοὺς οἰκείους, ἀγγέλους γενομένας ἐκείνοις τῆς συμφορᾶς. καὶ οἱ μὲν Ῥῶς παθόντες πλέον κακῶς ἢ δεδρακότες τῆς κατὰ Ῥωμαίων ἀπέσχοντο ἐπιθέσεως.

Καὶ οἱ Ἀγαρηνοὶ δὲ διὰ τοῦ δομεστίκου τῶν 20 σχολῶν Ἰωάννου τοῦ Κουρκούα καὶ τοῦ ἀδελφοῦ

*Θεοφίλου, πάππος δὲ ὁ Θεόφιλος τοῦ μετέπειτα τῆς
βασιλείας κρατήσαντος Ἰωάννου, ἥττηντό τε πολλά-*
C *κις καὶ τεταπείνωντο καὶ πόλεις οὐκ ἐλαχίστας ὧν
κατεῖχον ἀφῄρηντο. ὁ δὲ βασιλεὺς Ῥωμανὸς εἰς
συναίσθησιν τάχα δόξας ἐλθεῖν τῆς ἐπιορκίας καὶ
τῆς τῶν συνθηκῶν παραβάσεως, ἃς πρὸς τὸν βασι-
λέα Κωνσταντῖνον πεποίητο, δι' εὐποιιῶν ἔσπευδεν
ἐξιλεώσασθαι τὸν θεόν. καὶ διαδόσεις μὲν καὶ ἀλ-
λοίας ἐτίθετο, ἐπὶ δὲ ταύταις καὶ τὰ παρὰ τῶν ἐν
τῇ πόλει χρεωστούμενα τοῖς δανεισταῖς ἀποδοὺς
τοὺς ὀφειλέτας ἀπέλυσε τοῦ βάρους τῆς ὀφειλῆς,
καὶ τὰ γραμματεῖα λαβὼν ἐν μέσῃ τῇ ἀγορᾷ πυρὶ
κατηθάλωσεν· εἰς ἐννεακαίδεκα δὲ κεντηνάρια τὰ
τῶν ὀφειλῶν ἠριθμήθησαν. παρέσχε καὶ τὰ ἐνοίκια
τῶν κατὰ τὴν μεγάλην πόλιν οἰκούντων μισθωτικῶς.*
W III 154 *τοὺς μὲν οὖν ὀφειλέτας ὠφέλουν ταῦτα, τῷ δέ γε*
D *Ῥωμανῷ μικρὸν ἢ οὐδὲν οἶμαι λυσιτελεῖν, ὅτι τε
ἀλλότρια ἐτύγχανον τὰ διδόμενα, δημόσια γάρ, καὶ
ὅτι τὴν βασιλείαν ἁρπάσας καὶ ταύτην κατέχων καὶ
ἀπολαύων αὐτῆς καὶ τὸν ᾧ προσῆκε ταύτης ἀποστε-
ρῶν, ἑαυτῷ μὲν ἀπεκλήρου τῆς βασιλικῆς εὐκληρίας
τὰ ξύμπαντα, ταῖς δ' εὐποιίαις ῥανίδα μικρὰν ἀπε-
μέριζε, τοιοῦτόν τι πράττων οἷον ἄν τις, εἰ βοῦν
ἀπελάσας τοῦ γείτονος καὶ καταθύσας αὐτὸν τοὺς
μὲν πόδας ἄκρους διένειμε πένησι, τὸ σῶμα δ' ὅλον
αὐτὸς ἐθοινήσατο. ἀλλὰ ταῦτα κατ' ἀνθρωπίνην*
P II 192 *κρίσιν· εἰ δέ τις πρὸς τὴν θείαν ἀποβλέψειεν ἀγα-
θότητα, οὐδὲ ταῦτ' ἂν ἴσως εἴποι ἀσυντελῆ. τού-
του τῶν σκήπτρων κρατοῦντος καὶ τὸ ἀχειρότευκτον
ἐκτύπωμα τοῦ σωτῆρος Χριστοῦ τὸ θεῖον χειρόμακ-
τρον ἐκομίσθη πρὸς τὴν προκαθημένην τῶν πό-
λεων. εἶχε μὲν γὰρ τέως τοῦτο ἡ Ἔδεσσα· ἡ δὲ ἁλώ-*

ναι παρὰ Ῥωμαίων πολιορκούντων αὐτὴν ἐκινδύνευεν· ἵν' οὖν φύγοιεν οἱ Ἐδεσσηνοὶ τὴν ἐκπόρθησιν, λύτρον ταύτης τὸ θεῖον παρέσχον ἐκτύπωμα. ἀφίκετο δὲ τότε καὶ ἐξ Ἀρμενίας μειρακίσκων δυὰς συμφυῶν, τοῦ ἑνὸς δὲ θανόντος ἐτμήθη ἡ συμφυΐα παρ' ἰατρῶν· ἀλλ' οὐδὲν τὸν περίλοιπον ὤνησε, μικρὸν δ' ἐπιβιώσας τῷ ἀδελφῷ κἀκεῖνος ἐξέπνευσεν. ὅπως μὲν οὖν μηδὲν αὐτῷ προσήκουσαν τὴν βασιλείαν ὁ Ῥωμανὸς ἐσφετερίσατο καὶ τοὺς αὐτοῦ παῖδας τῆς βασιλικῆς ἠξίωσε τιμῆς τε καὶ κλήσεως καὶ ὅπως ἑαυτὸν καὶ τοὺς παῖδας τῶν πρωτείων ἠξίωσε, τὸν δ' ἐγγενῆ τῆς βασιλείας διάδοχον Κων- B σταντῖνον πολλοστὸν ἔθετο πάντων ὑποβιβάσας, ἤδη μοι προϊστόρηται. ἥκει δὲ νῦν ὁ λόγος προσθήσων καὶ τὰ ἑξῆς καὶ δείξων ὡς κἂν βραδύτερον ἴσως μέτεισι τοὺς ἀδικοῦντας ἡ πρόνοια, μετανοίας αὐτοῖς ἐπιμετροῦσα καιρόν, ἀλλά γε τοῦ κακοῦ μὴ ἀπεχομένους μέτεισι σχολαίῳ ποδὶ καὶ δίκας εἰσπράττεται. ἤνυε μὲν οὖν ὁ Ῥωμανὸς αὐταρχῶν εἰκοστὸν καὶ ἕκτον ἐνιαυτόν. ὁ δὲ Κωνσταντῖνος, ὅπως ἑαυτῷ C τὴν βασιλείαν ἐπανασώσηται, διὰ παντὸς ἔστρεφε κατὰ νοῦν, καὶ ἵνα τὸ ἐφετὸν αὐτῷ διαπράξηται, δι' ἑτέρων ἐπεγείρει τῷ πατρὶ τοὺς υἱοὺς ἢ μᾶλλον τὸν ἕνα τὸν Στέφανον. ὁ γὰρ Κωνσταντῖνος σταθηροτέρας τυγχάνων φρενὸς τὴν προσβολὴν οὐ προσήκατο. ὁ δὲ προσεταιρισάμενος καὶ ἄλλους ἐπέθετο τῷ πατρί, καὶ κατασχὼν αὐτὸν ἐν τῇ νήσῳ τῇ Πρώτῃ περιώρισε καὶ ἀπέκειρεν, αὐτὸς δὲ τῆς βασιλικῆς ἀντεποιήσατο διοικήσεως σὺν τῷ γαμβρῷ καὶ τῷ ἀδελφῷ· ἀλλ' οὐκ ἦν ὁμοφωνῆσαι τοὺς τρεῖς. ἔν τισιν οὖν διεφέροντο καὶ ἀλλήλοις ἀντέλεγον· D κἀντεῦθεν ἀλλήλους ὑπώπτευον καὶ κατασπάσαι τῆς

βασιλείας τὸν Κωνσταντῖνον ὁ Στέφανος διὰ φροντίδος ἐτίθετο καὶ ὁ Κωνσταντῖνος αὖθις τὸν Στέφανον. ἀλλ' ἦν ὁ Κωνσταντῖνος πρὸς τὸ ἔργον ὀξύτερος πάνυ, πρὸς τοῦτο καὶ τῆς συζύγου Ἑλένης ἐπισπερχούσης αὐτόν. προσλαβόμενος τοίνυν καί τινας τῶν στρατιωτικῶν ἀρχόντων κατέσχε καὶ ἄμφω τοὺς ἀδελφοὺς συναριστοῦντας αὐτῷ, καὶ αὐτίκα τὸν μὲν εἰς τὴν νῆσον τὴν Πάνορμον ἐξαπέστειλεν· ἡ τοῦ Ἀντιγόνου αὕτη ἐστίν· τὸν δὲ εἰς τὴν καλουμένην Τερέβινθον, καὶ κληρικοὺς καὶ ἄμφω
P II 193 ἀπέκειρεν. εἶτ' ἐκεῖθεν μεταχθῆναι μέλλοντες ἐζήτησαν εἰς ὄψιν ἐλθεῖν τῷ πατρί, οὓς ἰδὼν ἐκεῖνος εἶπεν "υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν." ἐκεῖθεν οὖν ὁ μὲν Στέφανος ἐν Προικοννήσῳ
W III 155 περιωρίσθη, κἀκεῖθεν εἰς Ῥόδον κἀκ ταύτης εἰς Μιτυλήνην μετετέθη· τῷ δὲ Κωνσταντίνῳ ἡ Σαμοθρᾴκη περιγραπτὸν ἐγένετο ὅριον. ὃς ἀποδρᾶναι δοκιμάσας πολλάκις, καὶ διὰ τοῦτο φαρμάκῳ τὸν πρωτεύοντα τῶν φυλάκων αὐτοῦ ἀνελών, ἀνῃρέθη παρὰ τῶν ἄλλων. ὁ δὲ Στέφανος ἐν Λέσβῳ ἀπεβίω, ἐννεακαίδεκα διαγαγὼν ἐνιαυτοὺς παρ' αὐτῇ. ὁ δὲ τούτων πατὴρ ἐν τῇ Πρώτῃ τὴν ζωὴν ἐξεμέτρησε, καὶ οὕτω τούτων ἕκαστον ἡ δίκη μετῆλθεν.

21 Ἄρτι δὲ τῆς μοναρχίας ὁ Κωνσταντῖνος τυχὼν
B καὶ τῷ υἱῷ Ῥωμανῷ διάδημα περιέθετο, τοῖς τε συναραμένοις αὐτῷ εἰς τὴν τῶν βασιλευόντων καθαίρεσιν ἀμοιβὰς ἐκτιννὺς τὸν μὲν Φωκᾶν Βάρδαν μάγιστρον ἐτίμησε καὶ δομέστικον προεχειρίσατο τῶν σχολῶν τῆς Ἀνατολῆς. ἀμφοῖν δὲ τῶν τοῦ Βάρδα υἱῶν τὸν μὲν Νικηφόρον τὸν ὕστερον βασιλεύσαντα τῶν Ἀνατολικῶν προεβάλετο στρατηγόν, τὸν δὲ Λέοντα τῆς Καππαδοκίας καὶ τοὺς ἄλλους ἄλλως

ἠμείψατο. τὸν δὲ τοῦ Στεφάνου τοῦ βασιλέως υἱὸν
Ῥωμανὸν ἐκτομίαν ἐποίησεν, ἀλλὰ μὴν καὶ Βασί- C
λειον τὸν νόθον υἱὸν τοῦ γέροντος Ῥωμανοῦ, ὃν
ἐγείνατο δούλῃ τινὶ συμφθαρείς. τὸν δὲ τοῦ Χρι-
στοφόρου υἱὸν Μιχαὴλ ἀπέκειρε κληρικόν. ἦν δὲ ὁ
Κωνσταντῖνος τὰ πρὸς θεὸν εὐσεβὴς καὶ λόγοις
προσκείμενος, ὡς ἔστι καταμαθεῖν ἐκ συγγραμμάτων
αὐτοῦ, ἀλλὰ μέντοι καὶ ἐξ ἐπιστολῶν, ἃ κἂν μὴ πρὸς
τέχνην ἠκρίβωντο τὴν ῥητορικήν, ἀλλά γε σχήμασι
ταύτης καί τισιν ἰδέαις ποικίλλονται. ἐδίδου δὲ καὶ
ῥυθμοῖς ἑαυτὸν καὶ μέτροις παντοδαποῖς· γνοίη δέ
τις τοῦτο ἐξ ὧν ἐπὶ θανούσῃ αὐτῷ τῇ κοινωνῷ τοῦ
βίου ἐμμέτρως ἐθρήνησεν. ἐπεμελήθη δὲ καὶ τῆς
φιλοσοφίας αὐτῆς, ἐπιλελησμένης ἤδη σχεδόν, ἀλλὰ D
μέντοι καὶ τῶν ἐπιστημῶν διδασκάλους ἐπιστήσας
καὶ ἀναζωπυρήσας ἐκλειπούσας αὐτάς. καὶ ταῦτα
μὲν τῆς κρείττονος μοίρας ἐκείνῳ προσῆν. περὶ δὲ
τὴν τῆς βασιλείας διοίκησιν διέκειτο μαλθακώτερον,
δύσοργός τε καὶ βαρύμηνις τοῖς πταίουσιν ἦν καὶ
κολαστὴς ἀπαραίτητος, οἴνῳ τε τοῦ αὐτάρκους ἐκέ-
χρητο πλείονι. καὶ ἀρχαιρεσιάζων οὐ τοὺς ἀξίους
ἐφίστα ταῖς στρατηγίαις ἢ ταῖς τῆς πολιτείας ἀρχαῖς,
ἀλλὰ τοὺς μοχθηροτέρους καὶ ἀδοκίμους, καὶ οὓς ἡ
βασιλὶς καὶ ὁ παρακοιμώμενος εἰσῆγον Βασίλειος,
ὠνίους χρημάτων τιθέμενοι τὰς ἀρχάς. ἀλλ' οὕτω
μὲν τὰ τῆς βασιλείας, εἰ καὶ μὴ ἐν πᾶσι καλῶς,
ᾠκονόμητο. ἐπιβουλαὶ δὲ κατὰ τοῦ κρατοῦντος ἐμε- PII194
λετήθησαν, ἡ μὲν παρὰ τοῦ παρακοιμωμένου Θεο-
φάνους, πολλοὺς καὶ ἄλλους συνίστορας ἔχοντος
καὶ βουλομένου τὸν Ῥωμανὸν ἐπαναγαγεῖν ἐκ τῆς
Πρώτης εἰς τὰ βασίλεια· ἡ δὲ παρ' ἑτέρων, τὸν
Στέφανον ἐκ Λέσβου λαβεῖν μελετησάντων καὶ ἀπο-

καταστῆσαι τῇ βασιλείᾳ. ἀλλὰ καὶ ἄμφω τὰς ἐπιβουλὰς ὁ Κωνσταντῖνος ἐφώρασε, καὶ τοὺς μὲν συνωμότας ἐκόλασε, τοὺς δὲ βασιλειῶντας ὑπ' ἀσφαλεστέραν ἔθετο τήρησιν. τῶν Τούρκων δέ, τοὺς δ' Οὔγγρους οὕτω καλεῖσθαι καὶ πρῴην εἰρήκαμεν, τὰ Ῥωμαίων ληιζομένων ἐπί τινα καιρὸν ἠρεμῆσαι τὸ ἔθνος συμβέβηκεν. ὁ γὰρ τούτων ἀρχηγετῶν B *Βολοσουδὴς κεκλημένος, καὶ ἕτερος δ' αὖθις Γυλᾶς, καὶ αὐτὸς μέρους ἄρχων, προσηλθέτην τῷ βασιλεῖ· καὶ ἕκαστος αὐτῶν τοῦ θείου τῆς παλιγγενεσίας ἠξιώθη λουτροῦ καὶ τὸ καθ' ἡμᾶς ἐμυήθη μυστή-* W III 156 *ριον, καὶ πατρίκιος ἐτιμήθη ἑκάτερος, καὶ κατηντλήθησαν χρήμασι, καὶ οὕτως ἐπανῆλθον εἰς τὰ ἤθη τὰ ἑαυτῶν, λαβόντες καὶ ἀρχιερέα, δι' οὗ πολλοὶ πρὸς ἐπίγνωσιν τοῦ θεοῦ μετηνέχθησαν. ἀλλ' ὁ μὲν Γυλᾶς καὶ τῇ πίστει ἐνέμεινε καὶ τὴν εἰρήνην ἐτήρησεν. ὁ δὲ λοιπὸς τὰς πρὸς θεὸν συνθήκας ἠθετηκὼς αὖθις κατὰ Ῥωμαίων ὡπλίζετο, τοῦτο δὲ καὶ κατὰ Φράγγων ποιῆσαι ἐπιχειρήσας ἑάλω καὶ ἀνεσταύρωτο. καὶ ἡ τοῦ κατὰ Ῥωμαίων ἐκπλεύσαντος Ῥῶς* C *γαμετὴ Ἔλγα, τοῦ ξυνευνέτου αὐτῆς τελευτήσαντος, προσῆλθε τῷ βασιλεῖ, καὶ βαπτισθεῖσα τιμηθεῖσά τε ὡς ἐχρῆν, ὑπενόστησεν. ἐφρόντιζε δὲ ὁ αὐτοκράτωρ, ἤδη θανούσης τῆς τῷ υἱῷ αὐτοῦ Ῥωμανῷ συζυγείσης θυγατρὸς τοῦ τῶν Φράγγων ῥηγὸς Οὔγωνος, ἑτέραν ἀγαγέσθαι αὐτῷ γαμετήν, καὶ συνοικίζει αὐτῷ κόρην, τύχης μὲν χαμερποῦς ἢ καὶ χυδαίας, εἴποιεν ἄν τινες, καπήλων γὰρ ἐκφῦναι ταύτην φασί, τὸ δὲ εἶδος εὐπρεπεστάτην, ἄντικρυς ἄγαλμα πλασθεῖσαν ὑπὸ τῆς φύσεως, ἥτις Ἀναστασὼ καλουμένη Θεοφανὼ μετωνόμαστο.*

---

5 *πρῴην εἰρήκαμεν*] p. 40, 12.

Ἔτει δὲ δωδεκάτῳ τῆς Κωνσταντίνου αὐταρ- 22
χίας ὁ πατριάρχης Θεοφύλακτος ἀπεβίω, ἐπὶ ἔτη D
τρία καὶ εἴκοσιν ἀρχιερατεύσας· ἑξκαίδεκα δὲ ἦν
ἐνιαυτῶν, ὅτε τῆς ἀρχιερωσύνης ἀθέσμως ἠξίωτο.
ὅθεν καὶ ὑπὸ παιδαγωγοὺς ἐτέλει ὁ πατριάρχης,
ἕως αὐτῷ ὁ πατὴρ ἐβασίλευεν· εἶτα τούτους ἀπο-
σεισάμενος πολλὰ τῶν οὐ δεόντων ἢ τῶν ἀπειρη-
μένων, εἰπεῖν οἰκειότερον, διεπράττετο, ἱππομανῶν
τε καὶ κυνοτροφῶν καὶ θήραις προσκείμενος καὶ
τὰ τούτοις πράττων ἀκόλουθα. ἔτρεφε δὲ καὶ ἵπ-
πων σφοδρότατον ἔρωτα, καὶ εἶχε θηλείας ἵππους
πάνυ πολλάς. μία τοίνυν αὐτῶν ἡ τῶν λοιπῶν ἐπι-
σημοτέρα κατὰ γαστρὸς ἔχουσα ἔτυχε τεκοῦσα κατὰ
τὴν ἱερὰν τῆς μεγάλης πέμπτης ἡμέραν, καὶ λει-
τουργοῦντι τότε τῷ πατριάρχῃ ἧκέ τις κομίζων περὶ
τοῦ τοκετοῦ εὐαγγέλια· ὁ δὲ ὑπερήσθη καὶ τὴν
θείαν ἱερουργίαν συντεμὼν σπουδῇ πρὸς τὸ Κοσμί-
διον ἀπελήλυθεν, ἐκεῖ γὰρ εἶχον αἱ ἵπποι αὐτοῦ τὰς P II 195
διατριβάς, καὶ τὸν νεογνὸν πῶλον ἑωρακὼς ὑπενό-
στησεν εἰς τὴν ἐκκλησίαν καὶ τὴν τῶν ἁγίων πα-
θῶν τοῦ σωτῆρος Χριστοῦ ἐτέλεσε τελετήν. κατέ-
στρεψε δὲ τὴν ζωὴν ἐξ ἱππασίας· θρασύτατα γὰρ
ἱππαζόμενος καὶ πρός τεῖχός τι τῶν παραθαλασσίων
προσαραχθεὶς αἷμα διὰ στόματος ἀνήγαγε, κἀντεῦ-
θεν ἐπὶ δύο ἔτη νοσήσας, εἶθ' ὑδέρῳ περιπεσών,
ἀπεβίω. καὶ προεχειρίσθη πατριάρχης Πολύευκτος
μοναχὸς ἐκτομίας, καὶ λόγῳ διαπρέπων καὶ ἀρετῇ,
ὃς παρὰ τοῦ Καισαρείας κεχειροτόνητο. ὁ γὰρ Ἡρα-
κλείας προσκεκρουκὼς κατά τι τῷ βασιλεῖ ἐκωλύθη
τοῦ προνομίου αὐτοῦ· καὶ τοῦτο τοῖς φιλοσκώμμοσιν
εὕρητο κατὰ τοῦ πατριάρχου αἰτίαμα. ἐπεὶ δ' ἐχει- B
ροτονήθη, τῷ βασιλεῖ ἐντυχὼν καταδρομὴν ἐποιή-

σατο τῶν συγγενῶν τοῦ γέροντος Ῥωμανοῦ καὶ
ἀναστεῖλαι τὴν τούτων πλεονεξίαν παρήνει. ὅπερ
οὔτ' αὐτὸς ἀνεπαχθῶς ἤκουσε καὶ ἡ βασιλὶς Ἑλένη,
παρὰ τοῦ ἐκτομίου Βασιλείου, ὃς μετέπειτα παρα-
κοιμώμενος γέγονε, προβιβασθεῖσα, ἠρέθισε κατὰ
τοῦ πατριάρχου τὸν αὐτοκράτορα, καὶ ἐζήτει λαβήν,
δι' ἧς αὐτὸν τὴν ἀρχιερωσύνην ἀφέληται. τότε δὲ
καὶ ἡ τιμία χεὶρ τοῦ προδρόμου εἰς τὴν ὑπερκειμένην
ἀπεκομίσθη τῶν πόλεων ἐξ Ἀντιοχείας διά τινος
διακόνου Ἰώβ. τῶν δ' ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν τὰ
παράλια τῆς Ῥωμαίων ἡγεμονίας ληιζομένων ὁ βα-
σιλεὺς στόλον ἑτοιμασάμενος, ὃν πλεῖσται συνίστων
C νῆες πολεμιστήριοι, κατ' ἐκείνων ἐκπέπομφεν. ἀλλ'
ἐσφάλησαν τὰ τοῦ στόλου τῇ τοῦ ναυαρχοῦντος ἀπει-
ρίᾳ καὶ ἀμελείᾳ. καὶ τὸ μὲν πλεῖον τοῦ πληρώματος
τῶν νηῶν ἀπώλετο, τὸ μὲν ἑαλωκός, τὸ δὲ μαχαίρας
ἔργον γενόμενον, πολλοστὸν δὲ διασέσωστο. καὶ
αὐτὸς δ' ἂν ἑάλω ὁ ναύαρχος, εἰ μὴ περὶ αὐτὸν συ-
στάντες οἱ αὐτοῦ θεράποντες καὶ συνασπισμῷ τοὺς
Ἀγαρηνοὺς ἀπωσάμενοι ἄδειαν παρέσχον τῷ στρα-
τηγῷ ἐμβῆναι εἰς τὴν στρατηγίδα τριήρη καὶ οὕτω
φυγεῖν. ἀλλ' οὐχ οὕτω καὶ τῷ Βάρδᾳ Φωκᾷ τῷ
W III 157 τῶν σχολῶν δομεστίκῳ συνηντήκει τὰ πρὸς τοὺς
ἑῴους Ἀγαρηνούς, στρατηγικῇ δὲ τέχνῃ καὶ ἐμπει-
ρίᾳ τοὺς πρὸς ἐκείνους πολέμους διατιθέμενος ἄστεά
D τε πολλὰ ἐκείνων ἀφείλετο καὶ τὰ προστυχόντα
λείαν ἐτίθετο. ὅ γε μὴν τοῦ βασιλέως υἱὸς Ῥωμα-
νός, εἰς ἄνδρας ἤδη τελεῖν ἠργμένος ἐξ ἀγενείων
καὶ εἰς ἑαυτὸν τὴν ἐξουσίαν περιαγαγεῖν ἱμειρόμενος,
ἐπιβουλεύει τῇ ζωῇ τοῦ πατρός, συμπραττούσης
αὐτῷ καὶ τῆς γαμετῆς, καὶ φαρμάκῳ δηλητηρίῳ τὴν
ἐπιβουλὴν συνεσκεύασαν, ὃ λαθόντες καθαρτηρίῳ

πόματι συνεκέρασαν, ὅπερ ἔμελλεν ὁ αὐτοκράτωρ πιεῖν. ἄρτι δὲ δοθῆναι μέλλον εἰς πόσιν τῷ βασιλεῖ, εἴτ' ἐκ προνοίας εἴτε τυχαίως τὸ πλέον ἐκκέχυτο, τὸ δὲ περιλειφθὲν ὀλίγον ὂν καὶ παρὰ τοῦ βασιλέως ποθὲν ὀδύναις μὲν αὐτὸν καὶ κινδύνου φόβοις οὐ μικροῖς περιέβαλεν, οὐ μέντοι καὶ κίνδυνον ἐποίησεν αὐτῷ περὶ τὴν ζωήν. τέως δ' οὖν αὐτὸν δυσχερῶς διαπέφευγε. τῷ πεντεκαιδεκάτῳ δ' ἐνιαυτῷ PII196 τῆς αὐτοῦ βασιλείας ἐν τῷ τοῦ Ὀλύμπου ὄρει οὗτος ἐξῆλθεν ὁ βασιλεύς, λόγῳ μὲν ἵνα ταῖς τῶν ἐκεῖ ἀσκουμένων εὐχαῖς καθοπλισθείη κατὰ τῶν Ἀγαρηνῶν, τῷ δ' ὄντι, ὡς λέγεται, ἵνα τῷ Κυζίκου Θεοδώρῳ συγγένηται καὶ ὅπως τὸν Πολύευκτον ἐξωθήσει τῆς ἐκκλησίας σκέψηται μετ' αὐτοῦ. ἔνθα δὴ γεγονώς, κακῶς ἔχων ἐπανῆλθεν εἰς τὰ βασίλεια, καὶ μετ' ὀλίγον τὴν ζωὴν ἐξεμέτρησεν, ὡς μέν τισι δοκεῖ, ἐκ δυσκρασίας σωματικῆς, ὡς δ' ἑτέροις δοξάζεται, καὶ αὖθις ὑπὸ τοῦ υἱοῦ ἐπιβουλευθείς. ἦν δ' ὁ σύμπας τῆς βιοτῆς αὐτοῦ χρόνος ἐνιαυτοὶ πεντήκοντα τέσσαρες καὶ μῆνες δύο, συμβασιλεύσαντος τῷ πατρὶ Λέοντι καὶ Ἀλεξάνδρῳ τῷ θείῳ καὶ τῇ μητρὶ ἔτη τρισκαίδεκα καὶ τῷ Ῥωμανῷ τὴν βασιλείαν ἁρπά- B σαντι ἔτη ἓξ ἐπὶ εἴκοσι, μοναρχήσαντος δὲ τελευταῖον ἐνιαυτοὺς πεντεκαίδεκα. ἦν δὲ καὶ μέχρις ἀποβιώσεως ἐν πολλῇ φροντίδι τὴν τοῦ ἀρχιποίμενος καθαίρεσιν τοῦ Πολυεύκτου τιθέμενος. λέγεται δὲ πρό τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς λίθους νυκτὸς φέρεσθαι μετὰ ῥοίζου πολλοῦ κατὰ τῶν αὐτοῦ θαλάμων, καὶ τοῦτο συμβαίνειν ἐπὶ πλείους νύκτας, καὶ νομίσαι μὲν τὸν βασιλέα παρά τινων ἀνθρώπων λιθολευστεῖσθαι, καὶ πολλοὺς περιστῆσαι τοῖς βασιλείοις, οἷς ἐπιτετήρητο τὸ γινόμενον· ἀλλ'

οὐδεὶς ὤφθη τῶν λίθων πομπεύς· ὅθεν οὐδ' ἐξ ἀνθρώπων τὸ ἔργον νενόμιστο πράττεσθαι.

23 *Καὶ ὁ μὲν Κωνσταντῖνος τοῦ ἐπικλωσθέντος* C *αὐτῷ μίτου ῥαγέντος τοῦ ὁρισθέντος αὐτῷ χρόνου τῆς βιοτῆς ἀπεβίω, ὁ υἱὸς δὲ αὐτοῦ Ῥωμανός, ὃς καὶ παιδίον ἐλέγετο, τῆς αὐταρχίας ἐπείληπτο. παιδίον δ' ἐλέγετο, οὐχ ὅτι παιδικῆς ὢν ἡλικίας τῆς βασιλείας ἐκράτησεν, ἤδη γὰρ ἀνδράσι συντέτακτο, ἀλλ' ἀντιδιαστελλόμενος πρὸς τὸν μητροπάτορα Ῥωμανόν, ὄντα πρεσβύτην καὶ ὑπερήλικα. εἰ δέ τις εἴποι παιδίον αὐτὸν καλεῖσθαι, ὅτι καὶ παιδαριώδης ἦν αὐτῷ ἡ ζωή, καὶ τοῦτο τῷ ἐκείνου ἤθει ἁρμοδιώτατον. ἄρτι δὲ τῶν σκήπτρων γενόμενος ἐγκρατής, τὸν υἱὸν αὐτοῦ Βασίλειον ταινιοῖ καὶ κλήσεως βασιλικῆς ἀξιοῖ. εἶτα καὶ δεύτερος αὐτῷ* D *ἐτέχθη υἱός, ἐπὶ τῷ πάππῳ Κωνσταντίνῳ τὴν κλῆσιν λαχών. αὐτὸς μὲν οὖν ὁ Ῥωμανὸς τρυφαῖς καὶ ἡδυπαθείαις ἐξέδωκεν ἑαυτὸν καὶ ἐκδεδιῃτημένῃ ζωῇ καὶ ἀνδράσι συνῆν διεφθαρμένοις τε καὶ λοιμοῖς, τὴν δὲ τῆς βασιλείας διοίκησιν ὑπὸ τὸν πραιπόσιτον καὶ παρακοιμώμενον τὸν Βρίγγαν Ἰωσὴφ ἐποιήσατο. πέμπεται τοίνυν Νικηφόρος μάγιστρος ὁ Φωκᾶς ὁ δομέστικος τῶν σχολῶν κατὰ τῶν ἐν Κρήτῃ Σαρακηνῶν σὺν ἀξιομάχῳ στρατῷ, καὶ δι' ἑπτὰ μηνῶν πολλάκις τοῖς βαρβάροις συμπλακεὶς καὶ πᾶσαν πολιορκητικὴν τοῖς αὐτῶν ἄστεσιν ἐπαγαγὼν μηχανήν, ὑφ' ἑαυτὸν αὐτὰ ἐποιήσατο, εἶτα καὶ τὴν αὐτῶν μητρόπολιν τὸν Χάνδακα ἐξεπόρθησε καὶ τὸν ἀρχηγὸν τῶν ἐν Κρήτῃ Σαρακηνῶν, Κουρούπην καλούμενον, ἐχειρώσατο καὶ τὸν μετ'*
W III 158 *αὐτὸν τῶν ἄλλων πρωτεύοντα, ὠνομασμένον δὲ*
P II 197 *Ἀνεμᾶν. καὶ εἰ μὴ διὰ φήμην κρατοῦσαν ὡς ὁ τῆς*

Κρήτης τοὺς Σαρακηνοὺς ἐξελάσων Ῥωμαῖος τῶν Ῥωμαϊκῶν ἐκ τρόπου παντὸς ἐπιλήψεται σκήπτρων ἐκεῖθεν ὁ Φωκᾶς μετεκέκλητο, τάχα τέλεον ἂν ἡ νῆσος δεδούλωτο καὶ οἱ Σαρακηνοὶ ταύτης ἂν ἀπηλάθησαν. καὶ τὸν Λέοντα δὲ τὸν Φωκᾶν τὸν τοῦ Νικηφόρου ὁμαίμονα κατὰ τοῦ Χαμδάν, ὃς τοῦ Χάλεπ ἐκράτει, ὁ Ῥωμανὸς σὺν δυνάμει ἀπέστειλε, καὶ οὗτος δὲ τῷ Χαμδὰν συμμίξας ἡττᾷ κατὰ κράτος τὸν βάρβαρον, ὡς τὸ πολὺ μὲν τῆς αὐτοῦ στρατιᾶς ἐν τῇ μάχῃ πεσεῖν, τὸ δ' ἄλλο γενέσθαι ἁλώσιμον, αὐτὸν δὲ τὸν στρατάρχην μόλις σὺν εὐαριθμήτοις δυνηθῆναι φυγεῖν. καὶ ὁ μὲν Λέων ἐπανελθὼν καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ ἐπινικίῳ θριάμβῳ τετίμητο. μελέτη δέ τινων κατὰ τοῦ B αὐτοκράτορος ἐφωράθη καὶ οἱ ταύτην συρράψαντες καὶ οἱ τούτων συνίστορες συνεσχέθησαν, πλὴν οὐκ ἀπηνῶς ἐκολάσθησαν. ὁ μάγιστρος δὲ Νικηφόρος ὁ Φωκᾶς ἐκ τῆς Κρήτης μετακληθεὶς οὐκ εἰάθη πρὸς τὸ Βυζάντιον ἐπαναδραμεῖν, ἀλλ' ἐκελεύσθη πρὸς τὴν ἑῴαν μετὰ πάσης χωρῆσαι τῆς στρατιᾶς· ὁ γὰρ Χαμδὰν αὖθις κατὰ Ῥωμαίων χωρήσειν ἠλπίζετο. ἐν γοῦν Συρίᾳ γενόμενος ὁ Φωκᾶς, καὶ τούτῳ κατὰ συστάδην μαχεσάμενος, καὶ ἥττησε περιφανῶς καὶ τὴν Βέρροιαν ἄτερ τῆς ἀκροπόλεως ἐξεπόρθησε καὶ πλοῦτον ἐκεῖθεν πλεῖστον συνήγαγε καὶ δοριαλώτους ἤλασεν οὐκ εὐαριθμήτους καὶ πολλοὺς δεσμίους χριστιανοὺς τῆς αἰχμαλωσίας C ἀπέλυσε. λέγεται γοῦν ἐν ἀρχῇ τῆς αὐταρχίας τοῦ Ῥωμανοῦ τῶν Ἀγαρηνῶν πᾶσαν χώραν ληλατούντων εἰς ἀπορίαν περιστῆναι τὸν αὐτοκράτορα, καὶ τὸν Φωκᾶν Νικηφόρον προσκαλεσάμενον ἐρέσθαι τοῦτον πῶς εἰς τὸ κατόπιν Ῥωμαίοις περιη-

νέχθη τὰ πράγματα. τὸν δὲ μηδὲν ὑποστειλάμενον ἐλευθέρῳ φάναι φρονήματι "διότι σὺ μὲν βασιλεύεις, ὁ δ' ἐμὸς πατὴρ στραταρχεῖ, σὺ μὲν τῆς ἀρχῆς οὐχ ὡς δέον ἐπειλημμένος, ἐκεῖνος δὲ φιλοχρηματῶν. εἰ βούλοιο δέ, μεταβληθήσονται Ῥωμαίοις καὶ τὰ φρονήματα καὶ τὰ πράγματα, πλὴν μὴ ἀθρόαν
D οἴου ἔσεσθαι τὴν μεταβολήν." ὁ δὲ βασιλεὺς τούτων ἀκούσας ἐπέτρεπεν αὐτῷ μεταχειρίσασθαι τὴν πρᾶξιν ὡς βούλεται, καὶ ὃς αὐτίκα ἐπεμελεῖτο τοῦ ὁπλιτικοῦ τό τε ὂν διατάσσων καὶ ἄλλο ἐγκαταλέγων καὶ γυμνάζων εἰς ἅπαν στρατιωτικὸν ἐπιτήδευμα. καὶ οὕτω τὰς τάξεις ἀναπληρώσας καὶ καθοπλίσας τοὺς βωλοκόπους καὶ τὸ προφητικὸν αὐτοῖς ἀντίρροπον θέμενος, εἰς μαχαίρας αὐτοῖς δηλαδὴ συγκόψας τὰ δρέπανα καὶ εἰς ζιβύνας τὰ ἄροτρα σὺν αὐτοῖς τὰ θρυλούμενα ῥᾳδίως ἔστησε τρόπαια. τρισὶ δ' ἔτεσι διαπεττεύσας τὴν βασιλείαν ὁ Ῥωμανὸς καὶ μικρὸν ἐπέκεινα μετέστη τῆς ἐνταῦθα ζωῆς, ἢ φαρμάκῳ δηλητηρίῳ κατά τινας ἢ φιληδονίαις καὶ μίξεσιν ἑαυτὸν κατατείνας καὶ ταύταις δαπανήσας τὴν ἰσχὺν τοῦ σαρκίου, τὴν βασιλείαν λιπὼν τοῖς υἱοῖς ἀμφοῖν καὶ τῇ τούτων μητρὶ Θεοφανοῖ. τοῦ δὲ Ῥωμανοῦ θανόντος ὁ Φωκᾶς Νικη-
P II 198 φόρος κελεύσει τῆς βασιλίσσης ἧκεν εἰς τὸ Βυζάντιον καὶ κατήγαγε θρίαμβον ἐπὶ τοῖς ἐκ Βερροίας κεκομισμένοις λαφύροις, ὅθεν καί τι μέρος τῆς τιμίας ἐσθῆτος τοῦ βαπτιστοῦ Ἰωάννου ἐκόμισε. τὸν Βρίγγαν δὲ αὐτὸν ὑφορώμενον ὡς βασιλειῶντα κατεσοφίσατο οὕτω. σὺν ἑνὶ τῶν θεραπόντων ἑσπέρας κατέλαβε τὴν κατοικίαν αὐτοῦ καὶ ἰδιαίτατα τὸν Βρίγγαν παραλαβών, δι' ἔρωτος εἶναι αὐτῷ πρὸ μακροῦ τὴν μοναδικὴν βιοτὴν ὅρκοις ἐβεβαίου καὶ

παλαμναιοτάταις ἀραῖς. καὶ "πάλαι ἂν" ἔλεγε "πρὸς ταύτην ὡρμήκειν, εἰ μή με τῶν βασιλέων ἡ χρηστὴ ἐπέσχε διάθεσις. μὴ οὖν μάτην ὑπόπτευε κατ' ἐμοῦ ὡς τῆς βασιλείας ἔρωτα τρέφοντος· ἐγὼ γὰρ ὅσον ἤδη καὶ τῶν πραγμάτων ἐκστήσομαι." καὶ τοῖς λόγοις B *πίστιν ἐδίδου, δείξας αὐτῷ ῥάκος τι τρίχινον,* W III 159 *ὃ ἐν χρῷ περιέκειτο, τῇ ἔξωθεν αὐτοῦ περιβολῇ καλυπτόμενον. τούτοις τοῖς λόγοις καὶ τῷ τριχίνῳ ἐσθήματι τὸν παρακοιμώμενον συναρπάσας ἔσχε τῶν ποδῶν αὐτοῦ προκυλινδούμενον ὁ Φωκᾶς καὶ συγγνώμην αἰτοῦντα. καὶ ὁ βασιλεὺς δὲ Στέφανος ὁ τοῦ Λακαπηνοῦ ἐν Λέσβῳ τηρούμενος κατὰ Μήθυμναν ὕποπτος ἦν· αἰφνίδιον δὲ καὶ ἐξ οὐδεμιᾶς φανερᾶς αἰτίας θανὼν ὑποψίαν δέδωκε παρὰ τῆς βασιλίσσης κατεργασθῆναι Θεοφανοῦς. ὁ μέντοι τῶν Βουλγάρων ἀρχηγετῶν Πέτρος, τῆς γυναικὸς αὐτοῦ θανούσης, τὰς πρὸς Ῥωμαίους ἀνακαινίζων σπονδὰς ὁμήρους παρέσχε δύο οἰκείους υἱοὺς Βορίσην καὶ Ῥωμανόν, καὶ ὁ μὲν ἀπεβίω, οἱ δ' ἐκείνου παῖδες ἀπελθεῖν εἰάθησαν εἰς τὰ οἰκεῖα καὶ τὴν πατρῴαν ἀρχὴν κατακτήσασθαι. ἑνὸς γὰρ τῶν κομήτων τῶν* C *ἐν Βουλγάροις τέσσαρες παῖδες, Δαβίδ, Μωσῆς, Ἀαρών, Σαμουήλ, ἀποστατήσαντες τοὺς Βουλγάρους ἀνέσειον. τοῦ Φωκᾶ δὲ Νικηφόρου εἰς τὸν οἶκον ἑαυτοῦ τὸν ἐν Καππαδοκίᾳ ἀποδημήσαντος ὁ παρακοιμώμενος μετεμέλετο, ὅτι παρεχώρησεν αὐτῷ τῆς ἐπ' οἶκον ἀποδημίας· καὶ ἦν αὐτῷ διὰ φροντίδος ὅτι πολλῆς τὸν ἄνδρα ἀποσκευάσασθαι. γράφει τοίνυν πρὸς Ἰωάννην μάγιστρον τὸν Τζιμισκῆν, ἄνδρα γενναῖον καὶ ἐν ἀριστεύμασι διαβόητον, στρατηγοῦντα τότε τοῦ θέματος τῶν Ἀνατολικῶν, καὶ πρὸς τὸν μάγιστρον Ῥωμανὸν τὸν Κουρκούαν, ἐπίσημον ὄντα*

κἀκεῖνον ἐν στρατηγήμασι καὶ τῆς Ἀνατολῆς τότε στρατηλατοῦντα, ὡς εἰ τὸν Φωκᾶν κατασχόντες ἢ D μοναχὸν ἀποκείρουσιν ἢ ἄλλως ἐκ μέσου ποιήσουσι, τὴν μὲν τῶν σχολῶν τῆς Ἀνατολῆς ἀρχὴν λήψεται ὁ Ἰωάννης καὶ δομέστικος ἔσται τῶν ἑῴων δυνάμεων, ὁ Ῥωμανὸς δὲ τῆς δύσεως κληθήσεται δομέστικος. ἐπεὶ δὲ τὰ γράμματα καὶ ἀμφοῖν ἐκομίσθησαν, καὶ ἄμφω ταῦτα δεικνύουσι τῷ Φωκᾷ, καὶ πρὸς ἀποστασίαν ἠρέθιζον. τοῦ δὲ ἀναδυομένου πρὸς τὴν ἐγχείρησιν, εἴτε πλαττομένου εἴτε καὶ ἀληθεύοντος, ἐκεῖνοι τὰ ξίφη γυμνώσαντες ἀνελεῖν ἠπείλουν αὐτόν, εἰ μὴ πείθοιτο. καὶ ὃς τῇ βίᾳ τάχα νικώμενος ἐδέξατο τὴν ἀνάρρησιν, καὶ ὑπὸ πάντων τῶν ἑῴων
PII199 *ταγμάτων αὐτοκράτωρ εὐφημήθη Ῥωμαίων. λέγεται δὲ ὅτι οὐ μόνον ἤρα τῆς βασιλείας, ἀλλ' οὐχ ἥκιστα καὶ τῆς Θεοφανοῦς, καὶ ὡς ἐνέτυχε ταύτῃ διάγων κατὰ τὴν μεγαλόπολιν.*

24 *Ἄρτι δὲ τῆς φήμης εἰς τὸ Βυζάντιον κηρυξάσης τὰ κατὰ τὸν Φωκᾶν, ὁ παρακοιμώμενος Ἰωσὴφ ἠγωνία. ὁ μέντοι τοῦ τυραννοῦντος πατὴρ ὁ Φωκᾶς Βάρδας τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσπέφευγεν. ὁ δὲ τοῦ Νικηφόρου σύγγονος Λέων ἴσχυσεν ἀποδρᾶναι καὶ ἑνωθῆναι τῷ ἀδελφῷ. τοῦτο τὸν παρακοιμώμενον εἰς ἀμηχανίαν πολλὴν περιέστησε· δυσέντευκτος δὲ ὢν πᾶσιν ἦν μισητός, ὅθεν ἅπαν-* B *τες ἔχαιρον, εἰ τὰ τῆς βασιλείας περισταίη εἰς ἕτερον καὶ περιαιρεθείη οὗτος ἐκ μέσου· διὸ καὶ συνέτρεχον ἅπαντες εἰς τὸ μέγα τέμενος τοῦ θεοῦ. ὅπερ μαθὼν ὁ Βρίγγας, δέον ἐπιεικέσι λόγοις τὸ πλῆθος μετελθόντα τὴν τούτου καταμαλάξαι ὁρμήν, ὁ δὲ ἀπειλαῖς μᾶλλον αὐτὸ ἐξετράχυνεν, εἰπὼν ὡς "ἐγὼ καταπαύσω αὐτοῖς τὰ ὁρμήματα, οἰκονομήσας ὠνουμένους*

αὐτοὺς σῖτον εἰς τὸν ἑαυτοῦ κόλπον φέρειν τὸν τοῦ νομίσματος ἕκαστον.” τοῦτο τὸ πλῆθος ἀκουσθὲν ἐξέμηνεν. ἀπεχθῶς δὲ πρὸς τοῦτον τὸν Βρίγγαν ἔχων ὁ πρῴην παρακοιμώμενος ὁ Βασίλειος καὶ θεραπείαν ἔχων περὶ ἑαυτὸν δαψιλῆ, ἑσπέρας ἤδη C *καταλαβούσης, τοὺς ἑαυτοῦ θεράποντας καθοπλίσας εἰς διάφορα μέρη τῆς πόλεως ἐξαπέστειλε, καὶ πολλὰς οἰκίας ἐκεῖνοι πλήθει ἀστικῶν ἑνωθέντες τῶν ἀντιπραττόντων κατέστρεψαν, καὶ αὐτοῦ δῆτα τοῦ Βρίγγα, καὶ ἄνθρωποι δὲ πολλοὶ ἀνηρέθησαν. ταῦτα* W III 160 *δ᾽ ἐποίουν, καὶ ἅμα Νικηφόρον εὐφήμουν πανταχοῦ αὐτοκράτορα. ἐντεῦθεν ἀμείβονται τὰ τῆς τύχης τῷ Βάρδᾳ Φωκᾷ καὶ τῷ Βρίγγᾳ. ὁ μὲν γὰρ τεθαρρηκὼς ἐξῄει τῆς ἐκκλησίας, ὁ δὲ Βρίγγας εἰς αὐτὴν εἰσῄει ἱκέτης ἐλεεινός. ὁ δὲ παρακοιμώμενος Βασίλειος καὶ οἱ περὶ αὐτὸν τριήρεις ἑτοιμάσαντες, καὶ αὐτὴν τὴν βασίλειον, καὶ σὺν αὐταῖς ἐν Χρυσοπόλει γενόμενοι, τὸν Νικηφόρον ἐκεῖθεν εἰς τὸ Ἕβδομον ἄγουσι, κἀκεῖθεν σὺν προόδῳ δημοτελεῖ εἰς τὴν με-* D *γάλην ἐκκλησίαν ἀφίκοντο, καὶ ταινιοῖ τὸν ἄνδρα ὁ πατριάρχης Πολύευκτος. ἡ δὲ βασιλὶς Θεοφανὼ αὐτίκα τῶν ἀνακτόρων ἐξωθηθεῖσα εἰς τὸ Πετρίον ἀπάγεται· ὁ δὲ παρακοιμώμενος Ἰωσὴφ εἰς Παφλαγονίαν περιορίζεται καὶ μετὰ δύο ἐνιαυτοὺς ἀπεβίω. Βάρδας δὲ ὁ τοῦ Νικηφόρου πατὴρ Καῖσαρ τετίμητο. μετ᾽ ὀλίγας δὲ ἡμέρας ἑαυτῷ τὴν Θεοφανὼ συνοικίζει ὁ βασιλεύς, καὶ κρεῶν ἀπεχόμενος, ἐξότου Βάρδας ὁ παῖς αὐτοῦ τῷ οἰκείῳ ἀνεψιῷ τῷ Πλεύσῃ προσπαίζων δόρατι παρ᾽ ἐκείνου βληθεὶς ἄκοντος τέθνηκεν, ἔκτοτε καὶ τούτοις ἐτρέφετο. ἐν δὲ τῇ* P II 200 *κατὰ τὰ βασίλεια Νέᾳ ἐκκλησίᾳ τῆς ἱερολογίας τῆς γαμικῆς τελουμένης παρὰ Πολυεύκτου τοῦ πατριάρ-*

χου ἐν τῇ εἰσόδῳ τῇ πρὸς τὸ θυσιαστήριον ἤδη ταῖς κιγκλίσιν ἐγγίσας ὁ βασιλεὺς ἐκωλύθη παρὰ τοῦ πατριάρχου συνεισελθεῖν, ὡς ἔθος αὐτῷ, φήσαντος εἰ μὴ πρότερον ἐπιτιμίοις δουλεύσει τῶν δευτερογαμούντων, μὴ δεῖν αὐτὸν τῆς πρὸς τὸ θυσιαστήριον εἰσόδου κατατολμᾶν. τοῦτο δυσφόρως ἤνεγκεν ὁ κρατῶν, καὶ ἐμηνία τῷ πατριάρχῃ. ἐγένετο δέ τις καὶ λόγος, δι' ὃν οὐδ' ἐπιβῆναι αὐτὸν ὅλως τοῦ ἱεροῦ δαπέδου συνεχώρει ὁ πατριάρχης. ἐλέγετο γὰρ ἀνάδοχος γενέσθαι ὁ Νικηφόρος τῶν τῆς Θεοφανοῦς παίδων ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀπῄτει ὁ πα-
B τριάρχης ἢ διαζυγῆναι τῆς βασιλίσσης ἢ πόρρω εἶναι τῶν ἱερῶν. ἀλλ' ἐκεῖνος τῆς Θεοφανοῦς οὐκ ἀπείχετο· ἔτι γὰρ ὁ ταύτης ἔρως ἐφλέγμαινε, κοινοῦται τοίνυν τοῖς παροῦσι τῶν ἀρχιερέων καὶ τοῖς τῆς γερουσίας λογιωτέροις τὸ ζήτημα. οἱ δὲ τὸν περὶ τούτου κανόνα τῷ Κοπρωνύμῳ ἐπιγραφόμενοι μὴ δεῖν ἔλεγον ἐνεργὸν λογίζεσθαι τοιοῦδε ἀνδρὸς νομοθέτημα, καὶ πάντες αὐτῷ ἔγγραφον παρέσχον τὴν περὶ τούτου συγχώρησιν. ὁ δέ γε πατριάρχης ἔτι τῆς οἰκείας ἐνστάσεως εἴχετο, μέχρις οὗ ὁ τοῦ βασιλέως πατὴρ ὁ Καῖσαρ Βάρδας ἐνόρκους αὐτῷ πίστεις παρέσχετο ὡς οὐ γέγονεν ὁ βασιλεὺς τῶν τῆς Θεοφανοῦς παίδων ἀνάδοχος, καὶ ὁ πρωτοπαπᾶς δὲ τῶν βασιλείων Στυλιανός, ὃς ἐλέγετο πρῶτος κῆρυξ
C τῆς φήμης ταύτης γενέσθαι, ἐπὶ συνόδου μήτ' ἰδεῖν μήτ' εἰπεῖν περὶ τούτου πρός τινας ἐξωμόσατο. τούτων δὲ γενομένων ἐδέξατο τὸν Νικηφόρον ὁ πατριάρχης. τῶν δ' ἐν Σικελίᾳ Σαρακηνῶν δασμὸν πραττόντων ἐκ τῶν Ῥωμαίων ἐκ παλαιῶν συνθηκῶν, ὁ βασιλεὺς οὗτος οὐκ ἀνασχετὸν ᾤετο αὐτοῦ βασιλεύοντος τοῖς Ἀγαρηνοῖς Ῥωμαίους φορολογεῖσθαι·

διὸ κατ' αὐτῶν ἐκπέμπει Μανουὴλ πατρίκιον, νόθον ὄντα παῖδα τοῦ πατραδέλφου αὐτοῦ Λέοντος, ὃς δομέστικος γεγονὼς τῶν σχολῶν ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος τυραννίδι ἐπιχειρήσας ἐπηρώθη τοὺς ὀφθαλμούς. οὗτος τοίνυν ὁ Μανουὴλ σὺν ναυτικῷ περιφανεῖ τῇ Σικελίᾳ προσορμισάμενος οὐ μόνον οὐδέν τι κατώρθωσεν, ἀλλὰ καὶ λίαν ἐσφάλη D ἐξ ἀπειρίας καὶ νεωτερικῆς ἀγερωχίας ἢ μᾶλλον ἀτασθαλίας· αὐτός τε γὰρ διώλετο καὶ ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικόν. καὶ τὰ μὲν κατὰ Σικελίαν συνεκύρησεν οὕτω. κατὰ Κιλικίας δέ, καὶ ταύτης δὲ οἱ Ἀγαρηνοὶ ἐκράτουν, ἐκπέμπει ὁ βασιλεὺς Ἰωάννην μάγιστρον τὸν Τζιμισκῆν, τῆς Ἀνατολῆς προκεχειρισμένον δομέστικον. ὁ δὲ πρὸς Ἄδαναν ἀφικόμενος τοῖς ἐν ταύτῃ τε συνεπλάκη Ἀγαρηνοῖς καὶ κατ' αὐτῶν ἐστήσατο τρόπαιον. κἀντεῦθεν μέγαν αὐτὸν ἡ W III 161 πρότερον ἐν στρατηγίαις ἡ φήμη ἐκήρυττεν.

Ἤδη δὲ δεύτερον ἐνιαυτὸν ἀνύων ὁ Νικηφόρος 25 ἐν τῇ ἀρχῇ αὐτὸς ἔξεισι κατὰ Κιλικίας μετὰ βαρείας χειρός, καὶ τὴν Θεοφανὼ μετὰ τῶν παίδων αὐτῆς P II 201 ἐπαγόμενος. καὶ τὴν μὲν πρὸ τῆς Κιλικίας κατὰ τὸ Δριζίον, φρούριον δὲ τοῦτο, κατέλιπεν, ἐκεῖνος δὲ τῇ Κιλικίᾳ προσβαλὼν αἱρεῖ τὴν Ἀνάβαρζον Ῥωσόν τε καὶ Ἄδαναν, πόλεις δ' αὗται Κιλίκων, ἀλλὰ μέντοι καὶ φρούρια πλείονα. τῇ δέ γε Ταρσῷ καὶ τῇ Μοψουεστίᾳ οὐκ ἔκρινε προσβαλεῖν διὰ τὸν χειμῶνα ἢ τοῦ ἔρωτος αὐτὸν τῆς Θεοφανοῦς πρὸς ἐκείνην ἀνθέλκοντος· ἀπῄει γὰρ σὺν αὐτῇ πρὸς Καππαδοκίαν. κἀκεῖθεν τοῦ ἔαρος ἠργμένου εἰς Κιλικίαν ἀνθυπενόστησε, καὶ αὐτὸς τὴν Μοψουεστίαν ἐπολιόρκει, τῇ Ταρσῷ δὲ τὸν ἀδελφὸν ἐπέστησε Λέοντα. τῆς δὲ Μοψουεστίας μέσον ποταμῷ τῷ Σάρῳ διαι-

B ρουμένης, τὸ μὲν ἓν μέρος ταύτης ἑάλω πολιορκούμενον, οἱ δ' ἐν τούτῳ Ἀγαρηνοὶ πρὸς τὸ λοιπὸν μετεχώρησαν, τῷ καταλελειμμένῳ πῦρ ἐμβαλόντες· εἶτα καὶ τὸ ἕτερον ἑαλώκει, καὶ οὐδεὶς ἐκεῖθεν διέδρα. τὴν δὲ τῆς Μοψουεστίας ἐκπόρθησιν οἱ ἐν τῇ Ταρσῷ μαθόντες τὸν βασιλέα ἐπεκαλέσαντο καὶ τὴν πόλιν παραδεδώκασιν. ἡμερῶν δὲ τριῶν διελθουσῶν στόλος ἐξ Αἰγύπτου τῇ Ταρσῷ βοηθήσων ἐξέπλευσε, προσοκεῖλαι δὲ τῇ χέρσῳ οὐ συγκεχώρητο· διὸ καὶ αὖθις ἀπέπλευσεν· ἀνέμων δὲ πνοαῖς βιαίαις περιπεπτωκὼς καὶ τριήρεσι Ῥωμαϊκαῖς ὁ πλείων ἀπώλετο. ὁ δὲ βασιλεὺς ἐπανέζευξεν εἰς τὴν Κωνσταντινούπολιν τὰς τῆς Ταρσοῦ πύλας καὶ τὰς τῆς Μοψουεστίας ἐπαγόμενος ἐκ χαλκοῦ πεποιημένας καὶ C τέχνης δεικνυούσας ἀκρίβειαν, ἃς κἀκεῖνος ἐπικοσμήσας τὰς μὲν τῷ κατὰ τὴν ἀκρόπολιν ἑῴῳ τείχει προσήρμοσε, τὰς δὲ τῷ τείχει τῷ δυτικῷ. καὶ τῷ θεῷ δὲ ἀπαρχὰς οἷον τῆς ἑαυτοῦ στρατείας ἀποδιδοὺς τοὺς τιμίους σταυρούς, οὓς οἱ βάρβαροι ἔλαβον, ὁπηνίκα ὁ Στυππειώτης τῶν σχολῶν δομέστικος ὢν καὶ πολιορκῶν τὴν Ταρσὸν ἐκ κακοβουλίας δυστυχήματι περιέπεσε, τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ λόγου Σοφίας ἀνέθετο. καὶ τὴν Κύπρον δέ, παρὰ Ἀγαρηνῶν κατεχομένην, δι' αὐτοῦ ἡ Ῥωμαίων ἀρχὴ προσεκτήσατο. εἶτα τῇ Συρίᾳ ἐπῆλθε, καὶ πόλεις ἐκπορθήσας καὶ χώρας ἑλὼν πρὸς τῷ Λιβάνῳ καὶ τῇ παραλίᾳ κειμένας ἦλθεν εἰς Ἀντιόχειαν. τῶν δ' Ἀντιοχέων ἀντικαθισταμένων ἐρρωμενέστερον, ἤδη δὲ καὶ τῶν D ἐπιτηδείων ἐπιλιπόντων τοῖς στρατιώταις καὶ τέλματος ἐξ ὑετοῦ γεγονότος πολλοῦ, ἀπέστη τῆς πολιορκίας, καὶ πρὸς τὴν τῶν πόλεων ὑπερκειμένην ἐπανελήλυθεν, ἐπηγμένος καὶ τὸ τοῦ σωτῆρος Χριστοῦ

ἱερὸν καὶ θεῖον ἐκτύπωμα, ὃ ἐν κεράμῳ εὗρε κατὰ τὴν Ἱεράπολιν τὴν τῶν Σύρων, καὶ βόστρυχον τοῦ βαπτιστοῦ Ἰωάννου αἵματι πεφυρμένον. ἐν μὲν οὖν στρατηγίαις τοιοῦτος οὗτος ἐγεγόνει ὁ αὐτοκράτωρ, καὶ ἐπὶ μακρὸν ηὐξήκει Ῥωμαίοις τὰ ὅρια καὶ τῆς αὐτῶν ἡγεμονίας ἐξέτεινε τὰ σχοινίσματα. ἀλλὰ δι' αἰτίας τινὰς πᾶσιν ἦν στυγητός· αἱ δ' αἰτίαι ὅτι τῶν σὺν αὐτῷ τῇ ἀποστασίᾳ ἐπιχειρησάντων στρατιωτῶν κακῶς διατιθεμένων τοὺς οἷς ἂν ἐντύχοιεν τῶν κακουμένων οὐκ ἐπεστρέφετο, καὶ οἰκιῶν πολλῶν P II 202 περιφανῶν τε ἀνδρῶν καὶ δημοτικῶν διαρπαγεισῶν ὡς οὐδενὸς κακοῦ γεγονότος διέκειτο, μᾶλλον μὲν οὖν καὶ ἐνετρύφα ταῖς εἰς τοὺς ἀστοὺς παροινίαις, καὶ ταῦτα συναραμένους αὐτῷ πρὸς τὸ τῆς βασιλείας τυχεῖν, καὶ ὅτι προφάσει τῶν συνεχῶν πολέμων καιναῖς εἰσφοραῖς καὶ τῶν ἀρχαίων αὐξήσεσι καὶ εἰδῶν εἰσπράξει παντοδαπῶν ἐξέτρυχε τὸ ὑπήκοον, καὶ οὐδὲν ἄμεινον πολεμίων τὸ στρατιωτικὸν διετίθετο τοῖς πρὸς οὓς ἂν τῶν ὑπηκόων ἐπεχωριάσεν. ἐπὶ τούτοις διὰ τὰς πυκνὰς ἐκστρατείας ἔνδειαν ἔχειν χρημάτων προφασιζόμενος, τὰς μὲν διανεμομένας τῇ γερουσίᾳ βασιλικὰς δωρεὰς κατὰ μέρος ἠλάττωσε, τὰς δ' ἀπονενεμημένας ἀνέκαθεν τεμένεσιν ἱεροῖς καὶ εὐαγέσιν οἴκοις ἐπετείους W III 162 δόσεις ἐσχόλασε τέλεον. εἶτα καὶ ψήφισμα βασίλειον B ἔθετο ἐν ἀκινήτοις τὰς ἐκκλησίας μὴ ἐμπλατύνεσθαι, καὶ ἡ πρόφασις, ὅτι κατ' ἐκεῖνον ὑπὸ τῶν ἀρχιερέων οὐκ εἰς δέον τὰ τῶν ἐκκλησιῶν ἀναλίσκονται. εἶτα τῶν τότε ἀρχιερέων καὶ τοῦ ἀρχιποίμενος Πολυεύκτου διαφερομένων περὶ τῶν ψήφων, καὶ τῶν μὲν εἰς ἑαυτοὺς ἑλκόντων τὴν ἄδειαν τοῦ ψηφίζεσθαι οὓς ἂν ἐγκρίνοιεν, τοῦ δὲ τὰς ψήφους αἰτιωμένου,

ὡς οὐκ ἀπαθῶς γινομένας οὐδὲ κατὰ γνώμης εὐθύτητα, καὶ σπεύδοντος κοινοῦσθαι αὐτῷ τοὺς ἀρχιε- C ρεῖς περὶ τῶν μελλόντων ψηφίζεσθαι, ὁ βασιλεὺς ἀφορμῆς ἐκ τούτου δραξάμενος εἰς οἰκείαν ἐξουσίαν τὸ πᾶν τῆς τῶν ἐπισκόπων μετήνεγκε προχειρίσεως, μηδένα κελεύσας γνώμης ἄτερ αὐτοῦ εἰς ἐκκλησίαν οἵαν δή τινα στέλλεσθαι, ἀλλὰ κἂν ἐτεθνήκει ἐπίσκοπος, βασιλικὸν ὑπηρέτην εἰς τὴν χηρεύσασαν ἐκκλησίαν ἐξέπεμπε, καὶ γλίσχρως παρ' ἐκείνου τῶν ἀναγκαίων γινομένων ἀναλωμάτων αὐτὸς ᾠκειοῦτο τὰ περιττεύοντα. οὐ διέλιπον δ' ἐν ταῖς χώραις ἁπάσαις αὐτοῦ βασιλεύοντος ἀπογραφεῖς στελλόμενοι ἐπόπται τε καὶ στρατευταὶ καὶ οἱ κεκλημένοι πρωτονοτάριοι, οἳ παντοίαις κακώσεσιν ἐξεπίεζον τὸ D ὑπήκοον καὶ εἰς ἐσχάτην ἀπορίαν συνήλασαν, οὐδὲ τῶν παντάπασιν ἀπόρων φειδόμενοι, ἀλλὰ τούτους μὲν ταῖς δρομικαῖς στρατείαις ἐγγράφοντες, τοὺς δὲ πρῴην ταύταις ὑποκειμένους εἰς τὰς πλευστικὰς μετεγγράφοντες, τοὺς δὲ πλωίμους μετατιθέντες εἰς στρατιώτας πεζούς, τοὺς δὲ πρὶν τοιούτους τοῖς ἱππόταις ἐγκαταλέγοντες καὶ τοὺς ἱππότας εἰς καταφράκτους ἀμείβοντες καὶ ἑκάστῳ βαρύτερον στρατιωτικὸν ἐπιτιθέντες λειτούργημα. ἐῴκει γὰρ τὸ πᾶν τῇ στρατιώτιδι μεταχειρίσει ἐπιγραφόμενος· ὅθεν καὶ δόγμα ὅσον τὸ κατ' ἐκεῖνον ἐθέσπισε τοὺς ἐν πολέμοις ἀνῃρημένους στρατιώτας ἐπ' ἴσης τιμᾶσθαι τοῖς μάρτυσι καὶ ὕμνων ὁμοίων τυγχάνειν καὶ παραπλησίως γεραίρεσθαι. καὶ εἰ μὴ ὁ πατριάρχης PII203 καί τινες τῶν ἀρχιερέων, ἀλλὰ μὴν καὶ ἔνιοι τῶν λογάδων τῆς γερουσίας γενναίως ἀντέστησαν, λέγοντες "πῶς ἂν οἱ ἐν πολέμοις ἀναιροῦντες καὶ ἀναιρούμενοι λογίζοιντό τισι μάρτυρες ἢ τοῖς μάρτυσιν ἰσο-

στάσιοι, οὓς οἱ θεῖοι κανόνες ὑπὸ ἐπιτίμιον ἄγου-
σιν, ἐπὶ τριετίαν τῆς φρικώδους καὶ ἱερᾶς αὐτοὺς
ἀπείργοντες μεταλήψεως", τάχ' ἂν τὸ θεσπέσιον
ἐκεῖνο κεκύρωτο θέσπισμα. ἦν δὲ πρὸς τοῖς ἄλλοις
καὶ χρημάτων ἥττων, ὡς ἔοικε· μέχρι γὰρ ἐκείνου
παντὸς νομίσματος ἑξαγίου σταθμὸν ἕλκοντος ἐκεῖ-
νος τὸ τεταρτερὸν ἐπενόησε, κολοβώσας αὐτὸ κατὰ
τὸν σταθμόν, καὶ τὰς μὲν εἰσπράξεις διὰ τοῦ βαρυ-
τέρου, τὰς δὲ δόσεις καὶ πάντα τὰ ἀναλώματα διὰ B
τοῦ κεκολοβωμένου πεποίητο. ἔθους δ' ἐπικρατή-
σαντος παλαιοῦ στατῆρα πάντα βασιλικὸν ἐκτύπωμα
φέροντα ἰσότιμον εἶναι τῷ ἄρτι κοπτομένῳ παρὰ
τοῦ βασιλεύοντος, ἐκεῖνος τὸ ἑαυτοῦ προτιμᾶσθαι
κεκέλευκε νόμισμα. ἵνα τί γένηται; ἵν' ἐκεῖνο μό-
νον τοῖς ἐμπόροις ζητούμενον κέρδος αὐτῷ πορίζῃ
ὑπὲρ ἑκάστου νομίσματος ἁδρὰ πραττομένῳ ἀλλά-
για. οὕτω δὲ τούτοις κακουμένων τῶν πολιτῶν οὐδέ
τις παρὰ τῶν ἀγορανόμων ἦν ἐπὶ τοῖς ὠνίοις προ-
μήθεια, ἀλλ' ἕκαστος τῶν ἐμπόρων νόμον εἶχε τὸ
ἑαυτοῦ θέλημα· οἱ δὲ ὠνούμενοι τὰ χρειώδη ἐγί- C
νοντο καθ' ἑκάστην πενέστεροι.

Ταῦτα καὶ πλείονα ἕτερα, πάντα γὰρ ἀπαριθμή- 26
σασθαι δυσχερές, ἐξέμηνε πάντας κατὰ τοῦ Νικηφό-
ρου, καὶ πᾶσιν ἦν δι' εὐχῆς τῆς τούτου τυραννίδος
ἀπαλλαγῆναι. οὐχ ἥκιστα δ' ἐλύπησε τοὺς ἀνθρώ-
πους καὶ ἡ τῶν βασιλείων τῷ τείχει περιβολή. κε- W III 163
χρησμοδοτημένον γὰρ ἔχων τὸ ἐν τοῖς βασιλείοις
μέλλειν ἀναιρεθήσεσθαι ἔδοξεν ἑαυτῷ περιποιεῖσθαι
διὰ τοῦ τείχους ἀσφάλειαν, δέον λογίσασθαι ὡς εἰ
μὲν ἀληθὲς εἴη τὸ χρησμοδότημα, εἴη ἂν καὶ τὸ πε- D
πρωμένον, ἵν' οὕτως εἴποιμι, τὸ ἐκ θεοῦ ὡρισμένον
ἄφυκτόν τε καὶ ἀμετάθετον· εἰ δὲ δύναται κωλυ-

θῆναι δι' ἐπινοίας τινός, οὐ πάντως ἀληθὲς καὶ τὰ ἐπινοούμενα περιττά. ὁ δὲ τούτων οὐδὲν λογισάμενος μεγάλαις δαπάναις τῷ νῦν ὁρωμένῳ τείχει τὰ βασίλεια ἐστεφάνωσεν· ἀκρόπολιν δ' οἱ πολῖται τοῦτο καὶ τυραννεῖον καθ' ἑαυτῶν γινόμενον ἔκρινον. ὅτε τοίνυν ἀπήρτισε τὸ ὀχύρωμα καὶ ἔδοξεν ἑαυτῷ ἀσφαλῆ περιποιήσασθαι φυλακήν, τότ' ἔγνω μηδὲν αὐτῷ λυσιτελῆσαν τὸ ἐπινόημα, ὑποστὰς ἐντὸς ἐκείνου τὸν ὄλεθρον. ἀλλὰ μήπω περὶ τούτου, ἔτι δ' ὁ λόγος πρά- PII204*ξεις διεξίτω ἐκείνου. ὑπονοστῶν ἐξ Ἀντιοχείας τῆς πρὸς Ὀρόντῃ οὗτος ὁ βασιλεὺς φρούριον ἐν τῷ ὄρει τοῦ Ταύρου ἐδείματο, Μαῦρον δὲ ὄρος ἐκεῖνο λέγει νῦν ὁ πολὺς ἄνθρωπος, ἐν ᾧ Μιχαὴλ τὸν Βούρτζην κατέλιπε, πατρίκιον τιμήσας καὶ τοῦ Μαύρου ὄρους στρατηγὸν ὀνομάσας αὐτόν, τοὺς Ἀντιοχεῖς κακοῦν ἐντειλάμενος. καὶ Πέτρον δ' ἕνα τῶν ἑαυτοῦ θεραπόντων, ἐκτομίαν μέν, δραστήριον δέ γε καὶ ἐμβριθῆ καὶ ἄρχειν εἰδότα στρατιωτῶν, στρατοπεδάρχην ὀνομάσας κατέλιπεν, ἵν' ἐν Κιλικίᾳ δοίη χώραν τῇ στρατιᾷ τὸν χειμῶνα διαγαγεῖν. καὶ ὁ μὲν βασιλεὺς ἧκεν εἰς τὸ Βυζάντιον, ὁ δὲ Βούρτζης συνεχῶς ἐξελαύνων ἐκάκου τοὺς ἐν Ἀντιοχείᾳ Ἀγαρηνοὺς* B *καὶ διεσκόπει ὅπως ἕλοι τὴν πόλιν, εἰ δύναιτο, καὶ κλέος ἕξει. ἔλαθεν οὖν ποτε μέτρον τοῦ ὕψους ἑνὸς τῶν πύργων λαβών, καὶ πρὸς τόσον ὕψος ἀναλόγους ἡτοιμάσατο κλίμακας. φυλάξας οὖν νύκτα μίαν χειμέριον ἀσέληνόν τε καὶ νιφετώδη, πρόσεισιν ἠρέμα τῷ τείχει τῆς πόλεως, καὶ τὰς κλίμακας ἐρείσας αὐτῷ ἀνέβη μετὰ τριακοσίων, τοσούτους γὰρ ἐπήγετο, μηδενὸς αἰσθομένου, καὶ τοὺς μὲν τοῦ πύργου ἐκείνου φύλακας ἀνεῖλε, καὶ ἑτέρων πλησιαζόντων, στέλλει δ' αὐτίκα πρὸς τὸν στρατοπεδάρχην, δηλῶν*

αὐτῷ τὸ γενόμενον καὶ πρὸς βοήθειαν ἐκκαλούμενος.
ὁ δὲ ἀνεδύετο· λέγεται γὰρ ἐντείλασθαί οἱ τὸν βα-
σιλέα μὴ προσβαλεῖν τῇ Ἀντιοχείᾳ, ὅτι παρὰ πᾶσι
πεφήμιστο τῇ τῆς Ἀντιοχείας ἁλώσει ἕψεσθαι καὶ C
τοῦ κρατοῦντος τὸν ὄλεθρον. οἱ δὲ Ἀντιοχεῖς γνόν-
τες τῶν πύργων τὴν ἅλωσιν ἐκεῖ συνηθροίσθησαν,
ἐξελάσαι τοὺς Ῥωμαίους αὐτῶν προθυμούμενοι. πρὸς
δύο τοίνυν ἐναντία μαχόμενον ἔχων ὁ στρατοπεδάρ-
χης τὸν λογισμόν, τήν τε βασιλικὴν ἐντολὴν καὶ τὸν
ὄλεθρον τοῦ Βούρτζη καὶ τῶν σὺν αὐτῷ τριακοσίων
ἀνδρῶν, ἔθετο μὴ ἐᾶσαι τοσούτους ἄνδρας ἀπολέ-
σθαι, καὶ ἄρας σὺν παντὶ τῷ στρατεύματι προσβάλ-
λει τῇ Ἀντιόχου. καὶ αὐτίκα οἱ μὲν πολέμιοι παρεί-
θησαν τὰς χεῖρας καὶ τὰς ψυχάς, οἱ δὲ περὶ τὸν
Βούρτζην καὶ αὐτὸς ἐκεῖνος ἤδη ἀπειρηκότες ἀνε-
ζωώθησαν καὶ τὰ κλεῖθρα τῶν πυλῶν ὁ Βούρτζης
πελέκει διακόψας ἄνετον παρέσχε τῷ στρατοπεδάρχῃ D
τὴν εἴσοδον καὶ ἡ περιφανὴς Ἀντιόχεια ῥᾷον οὕτως
ὑπὸ Ῥωμαίους ἐγένετο. ὃ τῷ βασιλεῖ ἀγγελθὲν ἄλ-
γος, οὐ χαρμονὴν ἐνεποίησεν, ἐμηνία τε τῷ στρα-
τοπεδάρχῃ καὶ τῷ Βούρτζῃ τῆς σπουδῆς καὶ τοῦ
ἀνδραγαθήματος ἀμοιβὴν παρέσχεν ὕβρεις καὶ ἀπει-
λάς, ἀφείλετό τε αὐτοῦ τὴν ἀρχὴν καὶ παρὰ τῷ
οἴκῳ μένειν ἀπρόϊτον διωρίσατο.

Συνέβη δέ τι καὶ ἕτερον, ὃ τὸν δῆμον κατὰ τοῦ 27
βασιλέως ἐξέμηνε καὶ κατὰ τοῦ δήμου τὸν αὐτοκρά-
τορα. κατά τι παλαιὸν ἔθος ἐν μιᾷ τῶν δεσποτικῶν
ἑορτῶν εἰς τὸν ἐν τῇ Πηγῇ θεῖον ναὸν πρόοδον W III 164
ἐποιεῖτο ὁ βασιλεύς, καὶ συνέβη μέσον Ἀρμενίων καὶ P II 205
πλωίμων φιλονεικίαν προβῆναι, κἀκ ταύτης συμβο-
λὴν ἀλλήλων καὶ θροῦν καὶ κρότον πολὺν καὶ φό-
νον ἀνδρῶν ἑκατέρωθεν. τῆς δὲ φήμης τὸ γεγονὸς

τοῖς ἐν τῇ πόλει πρὸ τῆς ἐπανόδου τοῦ βασιλέως καταγγειλάσης, οἱ τοῦ δήμου ἀτάσθαλοι κατὰ συμμορίας γενόμενοι πολλαχοῦ καὶ τοῖς Ἀρμενίοις ἐπανιοῦσιν ὑπαντιάζοντες ξύλοις ἐκείνους συνέκοπτον. ὡς δὲ καὶ ὁ βασιλεὺς ἐφθάκει κατὰ τὴν ἀγορὰν τῶν Ἀρτοπρατείων, ὕβρεις κἀκείνου κατέχεον καὶ θόρυβος ἦρτο καὶ βοαί τε καὶ συνδρομαί, καὶ οἱ μὲν λίθους ἠφίουν κατὰ τοῦ βασιλέως, οἱ δὲ κόνιν ἔπατ-
B τον κατ' αὐτοῦ, καὶ ἐδυσφήμουν αὐτὸν μέχρι τῆς ἀγορᾶς, ἥτις ἔστρωται ταῖς πλαξὶ καὶ τὸν κίονα φέρει τὸν κυκλοτερῆ τε καὶ πορφυροῦν. καὶ εἰ μή τινες τῶν ἐντιμοτέρων πολιτῶν ἐκεῖσε τὸν βασιλέα δεξάμενοι τοὺς μὲν ἐφεπομένους αὐτῷ καὶ δυσφημοῦντας ἄλλως τε ἀτακτοῦντας ἀνεχαίτισαν, ἐκεῖνον δὲ κύκλῳ περιλαβόντες εὐφήμουν καὶ οὕτως αὐτὸν εἰς τὰ βασίλεια διεσώσαντο, τάχα ἄν τι μέγα συνέβη κακόν. ἐντεῦθεν διαδέδοτο λόγος ὡς ἐν ἱπποδρομίᾳ ὁ βασιλεὺς ἐγκοτῶν τῷ δήμῳ μέλλει αὐτὸν ἀμύνασθαι. ἁμίλλης οὖν τελουμένης ἵππων μετὰ καιρὸν στρατιώτας ὁ βασιλεὺς ἐνόπλους προήγαγεν εἰς μέσον τὸ θέατρον, ἐπιδειξομένους τάχα
C τῷ δήμῳ ὡς ἐν τύπῳ πολέμων οἷα τῆς μάχης ἡ συμβολή, ὡς δῆθεν κἀντεῦθεν αὐτῷ περιποιούμενος ἡδονὴν ἢ καὶ φόβον αὐτῷ ἐπισεῖσαι θέλων. ὡς οὖν οἱ στρατιῶται τὰ ξίφη ἐγύμνωσαν, ὁ ἐν τῷ θεάτρῳ λαὸς τοῦτ' ἐκεῖνο τὸ φημιζόμενον εἶναι νομίσαντες ἀποδιδράσκειν ἐκ τοῦ θεάτρου ὡρμήκεσαν, καὶ περὶ τὰς ἐξόδους στενοχωρούμενοι ὑπ' ἀλλήλων τε συμπατούμενοι ἀπώλοντο οὐ βραχεῖς. τάχα δ' ἂν καὶ πολλῷ πλείους ἐκινδύνευσαν, εἰ μὴ ὁ βασιλεὺς ἀμετακίνητος ἐπὶ τῆς ἰδίας ὦπτο καθέδρας. ἰδὼν γὰρ ὁ δῆμος ἐκεῖνον μηδόλως τῆς

ἕδρας μεταχωρήσαντα ἔστησαν τῆς φυγῆς. οἱ δὲ τοῖς θανοῦσι τότε προσήκοντες τοὺς οἰκείους θρηνοῦντες δημοσίᾳ πρὸς τὸν βασιλέα ἀπέσκωπτον. D
διὰ ταῦτα τοίνυν μισεῖσθαι παρὰ τῶν πολιτῶν ἐπιστάμενος, τείχει περιέζωσε τὰ βασίλεια· ἀλλ' ὅτε τοῦτο ἀπήρτιστο καί οἱ τῶν πυλῶν αἱ κλεῖδες ἀπεκομίσθησαν, τότε ὃν ἐφοβεῖτο φόβον ἦλθεν αὐτῷ καὶ οὐδὲν τῆς ἐπινενοημένης αὐτῷ ἀσφαλείας ἀπώνατο. τῶν δὲ Τούρκων, τῶν Οὔγγρων δηλαδή, τὰ Θρᾳκῷα ληιζομένων, τῷ Βουλγαρίας ἔγραψεν ἄρχοντι ὁ βασιλεὺς Νικηφόρος μὴ παραχωρεῖν αὐτοῖς διαβαίνειν τὸν Ἴστρον καὶ τῇ Ῥωμαίων λυμαίνεσθαι. ὁ δὲ οὐχ ὑπήκουσε, λέγων ὡς "ὅτε καθ' ἡμῶν οὗτοι ἐστράτευον, παρακαλούμενος συμμαχῆσαι ἡμῖν οὐκ ἠθέλησας. καὶ νῦν ὅτε βιασθέντες σπονδὰς ἐθέμεθα πρὸς αὐτούς, ἀξιοῖς ἡμᾶς παρα- PII206
σπονδῆσαι ὅπλα τε κατ' ἐκείνων ἄρασθαι καὶ κινῆσαι πόλεμον ἀπροφάσιστον." ἀποκρουσθεὶς τοίνυν ἐντεῦθεν εἰς τὸν ἄρχοντα Ῥωσίας τὸν Σφενδοσθλάβον διεπρεσβεύσατο, ἐξορμῶν κατὰ Βουλγάρων αὐτόν· διὸ καὶ τὸν υἱὸν τοῦ ἐν Χερσῶνι πρωτεύοντος τὸν Καλοκυρὸν πρὸς Ῥωσίαν ἐκπέπομφεν. ἐπιστρατεύει τοίνυν κατὰ Βουλγάρων σύνταγμα Ῥωσικόν, καὶ χώραν αὐτῶν πολλὴν ἐληίσατο καὶ λείαν οὐκ εὐαρίθμητον ἐκεῖθεν ἀπήλασε. καὶ τῷ ἐπιόντι δ' ἐνιαυτῷ οὐχ ἧττον τῶν προτέρων οἱ Ῥῶς τὰ Βουλγάρων ἐκάκωσαν.

Γέγονε δὲ τοῦ Φωκᾶ βασιλεύοντος καὶ κλόνος 28
τῆς γῆς φοβερώτατος, ἐξ οὗπερ ἡ μὲν Κωνσταντίνου οὐ πάνυ τι πέπονθε, πόλεις δ' ἕτεραι καὶ σφόδρα πεπόνθασιν. ἔπνευσαν δέ γε καὶ ἄνεμοι κατὰ B
Μάϊον μῆνα, δι' ὧν ἐφθάρησαν οἱ καρποὶ καὶ γέγονε

*λιμὸς ἰσχυρός, ὃν εἰς οἰκεῖον κέρδος ὁ Νικηφόρος
μετήνεγκε, τιμιουλκῶν τὸν σῖτον καὶ πολλοῦ τοῦ-
τον ἀποδιδόμενος τοῖς λιμώττουσι, μηδὲ φροντίζων*
W III 165 *ὅτι δημοκατάρατος ἦν, ἀλλ' αὐχῶν μᾶλλον ὡς εὐ-
εργετῶν τὸ ὑπήκοον, ὅτι δύο μεδίμνους ἐπίπρασκε
τῷ νομίσματι, καὶ ταῦτα παράδειγμα ἔχων τὸν Μα-
κεδόνα Βασίλειον, οὔπω πάνυ πρῴην μεγαλοπρέ-
πειαν πρὸς τοιαύτην ἔνδειαν ἐνδειξάμενον. ἀπῄει γάρ
ποτε ὁ αὐτοκράτωρ ἐκεῖνος, συνήθη ποιούμενος
πρόοδον εἰς τὸν τῶν ἁγίων Ἀποστόλων ναόν, καί*
C *τινας τῶν τῆς πόλεως ἄνδρας ὑπόσεμνον δεικνύν-
τας κατάστημα θεασάμενος σκυθρωπάζοντας, ἤρετο
τὴν αἰτίαν τῆς σκυθρωπότητος. οἱ δέ "καὶ πῶς οὐκ
ἂν σκυθρωπάζοιμεν" ἔφασαν "δέσποτα, ἐπηρτη-
μένον ἡμῖν ὁρῶντες τὸν θάνατον, οἵ γε δύο μεδί-
μνους σίτου εἰς νόμισμα χρυσοῦν ἐξωνούμεθα;" τοῦτο
ἀκούσας ἐκεῖνος ἀνῴμωξε, καὶ τοῖς μὲν χρήμασι
τὴν κατήφειαν ἔλυσε, τοῖς δὲ τὰς πολιτικὰς ἐγκε-
χειρισμένοις ἀρχὰς ἐλοιδορήσατό τε καὶ ἐπηράσατο,
ὅτι μὴ αὐτὸν τὰ τῆς ἐνδείας ἐδίδαξαν, καὶ εὐθὺς
τοὺς βασιλικοὺς σιτῶνας ἀνοιγῆναι ἐκέλευσε, καὶ
δώδεκα μεδίμνους σίτου νομίσματος ἑνὸς ἀποδίδο-*
D *σθαι. ἀλλ' ἐκείνῳ μὲν ἡ πρᾶξις αὕτη βασιλική,
τῷ δ' ἱστορουμένῳ νῦν βασιλεῖ καὶ λίαν καπηλική,
ὃς τῷ λιμῷ τὸ ὑπήκοον ὁρῶν πιεζόμενον οὐκ ἐπή-
μυνεν, ἀλλὰ μέντοι καὶ ἐνετρύφα ταῖς αὐτοῦ συμ-
φοραῖς καὶ τοῖς τοῦ λιμοῦ τραυματίαις ἐπιξαίνων
ὑπῆρχε τὰ τραύματα. καὶ ὁ τοῦ βασιλέως δὲ ἀδελ-
φὸς ὁ Λέων οὐχ ἧττον ἔθλιβε τόν τε δῆμον τῆς
πόλεως καὶ τοὺς οἰκήτορας τῶν χωρῶν, καπηλείας
καὶ αὐτὸς μετιών. οἱ μὲν οὖν οὕτω διέκειντο πρὸς
τοὺς πάσχοντας, οἱ δὲ πρὸς τὸν κρατοῦντα διὰ ταῦτα*

ἀπέσκωπτον. ποτὲ γὰρ νεολέκτους στρατιώτας ὁρῶντος τοῦ βασιλέως, ἐπεὶ καί τις τούτοις συνηρίθμητο πολιός, ἔφη πρὸς ἐκεῖνον ὁ αὐτοκράτωρ "πῶς τοῖς στρατιώταις, ἄνθρωπε, γέρων ὢν συγκαταλέγεις σαυτόν;" ὁ δ' αὐτίκα εὐφυῶς ἀντεφθέγξατο ὡς "πολὺ δυνατώτερος νῦν εἰμι ἢ ὅτε ἤκμαζον, δέσποτα· PII207 τότε γὰρ οὐδ' ἡμίσεος ἂν ἐπωμισάμην σῖτον νομίσματος, νῦν δὲ ῥᾷον καὶ δύο νομισμάτων σῖτον ἐπὶ τῶν ὤμων ἀρῶ." συνῆκε μὲν οὖν τὴν εἰρωνείαν ὁ βασιλεύς, ἀταράχως δὲ ταύτην ἐνεγκὼν μετέστη πρὸς ἕτερον. ἐρωτικῶς δὲ σφόδρα πρὶν διακείμενος ὁ Νικηφόρος πρὸς τὴν Θεοφανὼ μετέπειτα τῆς πρὸς αὐτὴν συνουσίας ἀπείχετο, ἢ κορεσθεὶς ταύτης ἢ καὶ δι' ἐγκράτειαν μίξεως ἀπεχόμενος· οὐδὲ γὰρ πάνυ τι καὶ νέος ὢν πρὸς ἔρωτας ἐτύγχανεν εὐκατάφορος. ἡ δὲ μισήσασα τὸν ἄνδρα διὰ τὸ ἀνομίλητον ἢ καὶ περὶ τοῖς υἱέσι δείσασα, ἦν γάρ τισιν ὑποτονθορυζόμενον βούλεσθαι τὸν Νικηφόρον τὰ βασιλείδια τῶν παιδογόνων στερῆσαι B μορίων καὶ τὸν ἀδελφὸν βασιλεῦσαι τὸν Λέοντα, εἰς λόγους ἦλθε λάθρα τῷ Τζιμισκῇ, ἢ ἔρωτι τοῦ ἀνδρὸς ἁλοῦσα, ἦν γὰρ τῷ κάλλει διαπρεπὴς καὶ τοῦ εἴδους χάριτας ἀφιείς, ἢ καὶ ἀξιόχρεων τοῦτον τῷ Νικηφόρῳ λογισαμένη ἀντίρροπον, ὡς δέ τινές φασι, καὶ εἰς συνουσίαν ἐλήλυθε τῷ ἀνδρὶ καὶ κατὰ τοῦ Νικηφόρου ἠρέθισε καὶ τὸ τῆς παροιμίας σφαῖραν ἀφῆκε κατὰ κρανοῦς. ἦν γὰρ καὶ ἄλλως ὁ Ἰωάννης τῷ βασιλεῖ μηνιῶν, ὅτι τῷ ἀδελφῷ πειθόμενος ἐκεῖνος βασκαίνοντι τούτῳ ὕποπτόν τε τὸν ἄνδρα ἐνόμιζε καὶ τῆς στρατιωτικῆς ἀρχῆς παύσας αὐτὸν εἰς πολιτικὴν μετατίθησι, λογοθέτην τοῦ δρόμου C προχειρισάμενος, ὃ οὐκ εἰς δυναστείαν, ἀλλ'

εἰς τιμωρίαν καὶ ταύτην βαρεῖαν ἐκείνῳ λελόγιστο. εἶτα τῇ κακώσει τοῦ ἀνδρὸς προστιθεὶς καὶ οἴκοι μένειν αὐτὸν ἐκέλευσε· διὰ ταῦτα ἐμηνία ὁ Ἰωάννης. ὡς δὲ καὶ τὴν μαχλάδα ἐκείνην εὕρηκεν αὐτὸν παραθήγουσαν, διαπραξαμένην δέ οἱ καὶ κάθοδον κελεύσει βασιλικῇ, τῇ τυραννίδι ἐπέθετο, συμπράττουσαν ἔχων καὶ τὴν βασίλισσαν, καὶ ἅμα τε οἷς
W III 166 ἐθάρρει τὸ ἀπόρρητον ἐξεκάλυψε καὶ ἅμα τῷ ἔργῳ ἐπικεχείρηκε καὶ προσλαβόμενος αὐτοὺς ἀωρὶ τῶν νυκτῶν ἐπὶ τὴν νοτίαν θάλασσαν τῶν βασιλείων
D ἀφίκετο· Βουκολέων ὁ τόπος ὠνόμασται, ὅτι λίθινος λέων ἐστὶν ἐν αὐτῷ βοὸς ἐπιβεβηκὼς ὁμοίου καὶ τῷ εὐωνύμῳ ποδὶ κατέχοντι τὸ κέρας αὐτοῦ περιστρέφων τὸν αὐχένα τὸν τοῦ βοός. ἔνθα γενόμενος σαργάνην τε καθειμένην ἄνωθεν καθορᾷ καὶ δι' αὐτῆς ἀνιμᾶται παρὰ θεραπαινῶν τῆς Θεοφανοῦς καὶ αὐτὸς καὶ οἱ σὺν αὐτῷ. ἦσαν δὲ ὁ Βούρτζης Μιχαὴλ ἐγκοτῶν τῷ βασιλεῖ καὶ αὐτὸς διὰ τὴν ὀργήν, ὡς εἴρηται, τὴν ἀλόγιστον, καὶ Λέων ὁ Ἀβαλάντης καὶ ὁ μελάγχρους Θεόδωρος, ὃν διὰ τὸ τοῦ εἴδους μελάντερον ἐκάλουν Ἀτζυποθεόδωρον, καὶ ἕτεροι δύο. ἀψοφητὶ τοίνυν ὑποδύντες τὸν κοιτῶνα τὸν βασίλειον, καὶ τοῦτο γὰρ αὐτοῖς ἡ Θεοφανὼ κατεπράξατο, εὗρον τὸν Νικηφόρον χαμαιεύνην
P II 208 ὑπνώττοντα, καί τις αὐτῷ λὰξ ἐνθορὼν καὶ ἐνυβρίσας διύπνισεν. ὡς δὲ τὴν κεφαλὴν ἐκεῖνος διυπνισθεὶς ἀνεκούφισε, δέχεται κατ' αὐτῆς εὐθὺς καιρίαν πληγήν, ἥτις αὐτῷ δεινῶς διέσεισε καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. εἶτα ὁ μὲν Τζιμισκῆς ἐπὶ τῆς βασιλείου κλίνης κεκάθικε, τὸν δὲ Φωκᾶν ἤδη παρειμένον ἑκατέρωθεν ὑπερειδόμενον αὐτῷ παρεστήσαντο. ὁ δὲ τὰς αἰτίας αὐτὸν ἠρώτα δι' ἃς κεκάκωτο παρ'

αὐτοῦ. ὡς δ' ἐκεῖνος πρὸς οὐδὲν ἀπεκρίνατο, μόνον δὲ τὸ "κύριε, βοήθει" ἐφθέγγετο, ἐγκελεύεται τοῖς περὶ αὐτὸν ταῖς λαβαῖς τῶν ξιφῶν τὰς γνάθους αὐτοῦ παίοντας συνθραῦσαι ἢ διασεῖσαι τοὺς ὀδόντας αὐτῷ. εἶτά τις ἐξόπισθεν δόρατι βάλλει κατὰ νῶτον αὐτόν, καὶ τὸ δόρυ διὰ τῶν στέρνων ἐξέπεσε. καὶ θορύβου παρὰ τῶν προκοιτούντων γεγενημένου, ἤδη γὰρ εἰς αἴσθησιν ἧκον τῆς ἐπιβουλῆς, B καὶ τὴν κεφαλὴν τοῦ ἀνδρὸς ἐκπεπνευκότος ἄρτι ἐκτέμνουσι, καὶ διὰ θυρίδος τοῖς σωματοφυλακοῦσι δεικνύουσι, καὶ οὕτω τὴν ἐκείνων ὁρμὴν καταπαύουσι. λέγεται δ' ὅτι πρὸ ἡμερῶν ὀλίγων ἔγγραφον εὗρεν ἐν τῷ κοιτῶνι ὁ Νικηφόρος δηλοῦν τὴν ἐπιβουλήν. ὁ δὲ τοῦ βασιλέως Νικηφόρου αὐτάδελφος ὁ Λέων τὸ γεγονὸς ἐγνωκὼς σὺν τῷ υἱῷ Νικηφόρῳ τῇ μεγάλῃ ἐκκλησίᾳ προσπέφευγεν. ἦν δὲ ὁ ἀναιρεθεὶς βασιλεὺς ἐτῶν πεντήκοντα καὶ ἑπτά, ἐξ ὧν ἓξ καὶ μῆνας τοσούτους τῶν σκήπτρων ἐκράτησε τῶν Ῥωμαϊκῶν. καὶ ὁ μὲν οὕτως ἀπέτισε τὸ χρεών.

Ὁ δὲ Τζιμισκῆς τῆς βασιλείας γενόμενος ἐγκρατὴς 1 καὶ τοὺς τοῦ Ῥωμανοῦ παῖδας κοινωνοὺς πεποίητο C τῆς ἀρχῆς παῖδας ἔτι τυγχάνοντας, τὸν δὲ παρακοιμώμενον Βασίλειον, ὃν ὁ Φωκᾶς τετίμηκε πρόεδρον, μήπω πρῴην ὄντος τοῦ ἀξιώματος, προσλαβόμενος ὡς ἐντριβῆ περὶ τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν, αὐτῷ τὴν πᾶσαν οἰκονομίαν ἀνέθετο. καὶ ὃς τοὺς τῷ Νικηφόρῳ προσήκοντας ἢ καὶ ἄλλως εὔνοιαν ἐκείνῳ τηρεῖν ὑποπτευομένους ἐκ μέσου πεποίηκε, τὸν μὲν κουροπαλάτην Λέοντα καὶ τὸν υἱὸν αὐτοῦ Νικηφόρον ἐν Λέσβῳ περιορίσας, τῷ δ' ἑτέρῳ τοῦ Λέοντος υἱῷ τῷ Βάρδᾳ ὅριον θέ- D

μενος περιγραπτὸν τὴν Ἀμάσειαν καὶ ἄλλους ἄλλως μετελθὼν καὶ οἰκονομησάμενος. τοὺς δὲ παρὰ τοῦ Νικηφόρου φυγαδευθέντας κατήγαγεν, οἷς καὶ ἀρχιερεῖς συνηρίθμηντο, ὅσοι μὴ ὑπογράψαι ἐν τῷ τόμῳ ὑπέκυψαν, δι' οὗ τεθέσπιστο μὴ ἄνευ ἐκείνου ἀρχιερέα τινὰ προχειρίζεσθαι. εἶτα ἄπεισιν ὁ Ἰωάννης εἰς τὴν μεγάλην ἐκκλησίαν ταινιωθησόμενος. ἀλλ' οὐκ εἰάθη παρὰ τοῦ Πολυεύκτου εἰς τὸν
W III 107 ναὸν εἰσελθεῖν, ὡς φόνῳ μεμιασμένος. πρᾴως δὲ τὴν ἐπιτίμησιν ὁ Τζιμισκῆς ἐνεγκὼν ἀπελογεῖτο μὴ αὐτὸς αὐτόχειρ γενέσθαι τοῦ φόνου, ἔλεγε δὲ τὸν Ἀβαλάντην καὶ τὸν Ἀτζυποθεόδωρον ἐπιτροπῇ τῆς
P II 209 Θεοφανοῦς τὸν Νικηφόρον διαχειρίσασθαι. τὴν μὲν οὖν Θεοφανὼ ὁ πατριάρχης ἀπῄτησε τῶν βασιλείων ἀπελαθῆναι καὶ περιορισθῆναι καὶ τοὺς αὐτόχειρας τοῦ Νικηφόρου ἐκδιωχθῆναι, τὸν δὲ τόμον, οὗπερ ἐμνήσθημεν, διαρραγῆναι καὶ αὐτὸν τὸν Ἰωάννην δέξασθαι ἐπιτίμια. ὁ δὲ πάντα ποιῆσαι ὑπέσχετο, καὶ αὐτίκα στέλλει καὶ κατάγει τὴν βασιλίδα τῶν ἀνακτόρων καὶ τὸν τόμον ἐκεῖ κομισθέντα διέρρηξε, καὶ ἣν ἐν ἰδιώταις τελῶν εἶχε περιουσίαν, διανεῖμαι πένησιν ἐπηγγείλατο. τούτων δὲ γενομένων κατὰ τὴν γενέθλιον τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ ἑορτήν, ἅμα τε τὴν εἰς τὴν ἐκκλησίαν ἐπιτρέπεται εἴσοδον καὶ ἅμα τῷ διαδήματι στέφεται, τὴν δὲ Θεοφανὼ εἰς Προικόνησον περιώρισεν. οὕτω
B μέντοι ἀναρρηθείς, ἐπεὶ ἀρχιερέως ἡ μεγάλη Ἀντιόχεια χηρεύουσα ἦν, προχειρίζεταί τινα μοναχὸν Θεόδωρον, ὃς αὐτῷ προέφη τῆς βασιλείας τυχεῖν, καὶ μὴ σπεῦσαι μηδ' ἁρπάσαι αὐτήν, ἀλλὰ μεῖναι ὥσπερ τὴν ἐκ τοῦ θείου προχείρισιν. ὅσπερ τὴν ἀρχιερωσύνην καταδεξάμενος ἀξίωσιν ἔθετο πρὸς τὸν

Ἰωάννην τοὺς Μανιχαίους ἐκ τῆς ἑῴας μετοικίσαι πρὸς τὰ ἑσπέρια, πολλοὺς τῇ αὐτῶν μυσαρᾷ αἱρέσει διαφθείροντας. οὗ τὴν ἀξίωσιν πληρῶν εἰς Φιλιππούπολιν μετήγαγε τὸ γένος τῶν Μανιχαίων. ὁ δὲ πατριάρχης Πολύευκτος τῇ τοῦ Τζιμισκῇ ἀναρρήσει τριάκοντα καὶ πέντε ἡμέρας ἐπιβιοὺς τὸν βίον μετήλλαξε, καὶ ἀντεισήχθη εἰς τὸν ἀρχιερατικὸν θρόνον τῆς βασιλευούσης τῶν πόλεων ὁ μοναχὸς Βασίλειος ὁ Σκαμανδρηνός. οἱ δ' ἐκ τῆς Ἄγαρ, μὴ C ἀνεκτὸν ἡγούμενοι στερεῖσθαι τῶν πόλεων ἃς ἤδη ἀφῄρηντο, συνελέγησαν πανταχόθεν καὶ συνθήκας περὶ ὁμαιχμίας πεποιηκότες καὶ τοῖς Καρχηδονίοις τὴν σφῶν ἡγεμονίαν προσνείμαντες ἐξεστράτευσαν κατὰ τῆς ἐν Δάφνῃ Ἀντιοχείας καὶ ταύτην ἐπολιόρκουν. τῶν δ' ἐν τῇ πόλει ἀνθισταμένων αὐτοῖς κραταιότερον ἠγγέλθη τῷ βασιλεῖ τῶν ἐθνῶν ἡ συνέλευσις. ὁ δὲ κελεύει τῷ στρατηγῷ Μεσοποταμίας ἐπικουρῆσαι τοῖς πολιορκουμένοις· καὶ πολέμου πρὸς τοὺς Ἀγαρηνοὺς συρραγέντος οἱ βάρβαροι, καίτοι πολλαπλάσιοι πρὸς τοὺς Ῥωμαίους ὄντες, τρέπονταί τε καὶ σκίδνανται. οἱ δέ γε Ῥώς, τὸ τῶν Βουλγάρων ἔθνος καὶ τὴν χώραν αὐτῶν ὑφ' ἑαυτοὺς ποιησάμενοι καὶ τοὺς ἡγεμόνας τοῦ ἔθνους τὸν Βορί- D σην τε καὶ τὸν Ῥωμανόν, οὐκέτι τῶν οἴκοι ἐμέμνηντο, ἀλλ' ἤθελον αὐτοῦ που μένειν τὴν χώραν κατέχοντες. πρὸς τοῦτο δ' αὐτοὺς καὶ ὁ Καλοκυρὸς ἀνηρέθιζεν· "εἰ γὰρ βασιλεὺς Ῥωμαίων ἀναρρηθήσομαι παρ' ὑμῶν", ἔλεγε "τῆς τε τῶν Βουλγάρων χώρας παραχωρήσω ὑμῖν καὶ διαθήσομαι πρὸς ὑμᾶς εἰρήνην διαιωνίζουσαν καὶ τὰ ὑπεσχημένα παρέξω κατὰ τὸ πολλαπλάσιον." οἱ δὲ τῇ τε τῶν χωρῶν ἀρετῇ θελχθέντες καὶ τοῖς λόγοις τοῦ Καλοκυροῦ χαυνω-

θέντες οὔτε τῷ βασιλεῖ πάντα ποιήσειν ἐπιτελῆ τὰ
παρὰ τοῦ Νικηφόρου σφίσιν ὑπεσχημένα ἐπείθοντο
γράφοντι καὶ τοῖς πρέσβεσιν ὡμίλησαν ἀλαζονικώ-
P II 210 τερον. ἐντεῦθεν ἄρασθαι κατ᾽ αὐτῶν ὅπλα ἠνάγ-
καστο, καὶ ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπιστήσας
στρατάρχην, ὃν στρατηλάτην ὠνόμασε, Βάρδαν μά-
γιστρον τὸν Σκληρόν, τῆς ἤδη θανούσης αὐτοῦ γα-
μετῆς αὐτάδελφον ὄντα, ὁρμῆσαί οἱ κατὰ τῶν Ῥὼς
ἐνετείλατο. καὶ ὁ μὲν ἀπῄει· οἱ βάρβαροι δὲ τοῦτο
μαθόντες καὶ ὁ τούτων ἔξαρχος ὁ Σφενδοσθλά-
βος, τούς τε Βουλγάρους ὁπλίσαντες καὶ συμμάχους
προσειληφότες Σκύθας, οἳ Πατζινάκαι κικλήσκον-
ται, καὶ τοὺς τὴν Παννονίαν οἰκοῦντας Τούρκους,
καὶ στρατιὰν εἰς τριάκοντα μυριάδας ἀριθμουμένην
συστησάμενοι, τὴν Θρᾴκην ἅπασαν ἐληΐζοντο. τού-
W III 168 τοις οὖν μὴ θαρρῶν ὁ Σκληρὸς συμμῖξαι καὶ
κατὰ συστάδην μαχέσασθαι, πολλοστὸν γὰρ ἦν πρὸς
τὸ πλῆθος ἐκείνων τὸ μετ᾽ αὐτοῦ στρατιωτικόν,
B στρατηγικαῖς μεθόδοις τοὺς βαρβάρους κατηγωνί-
σατο. καὶ πρῶτον μὲν λόχους καθίσας καὶ μόνοις
τοῖς Πατζινάκαις ἐπελθὼν καὶ εὐφυῶς αὐτοὺς πε-
ριαγαγὼν εἰς τοὺς λόχους, τοὺς μὲν ἀνεῖλε, τοὺς δ᾽
εἷλε ζῶντας· εἶτα καὶ τοῖς ἄλλοις συμμίξαντι μέχρι
μέν τινος ἰσόρροπος ἦν ἡ μάχη αὐτῷ· ὡς δέ τις τῶν
Σκυθῶν καὶ ὄγκῳ σώματος καὶ ψυχῆς παραστήματι
γενναῖος εἶναι δοκῶν καὶ τῶν ὁμογενῶν ἁπάντων
ὑπερτερεῖν, ὁρῶν τὸν Σκληρὸν ἔφιππον διιόντα τὰς
ὑφ᾽ ἑαυτὸν τάξεις καὶ ταύτας εἰς ἀλκὴν διεγεί-
ροντα, ὥρμησε κατ᾽ ἐκείνου, καὶ κατήνεγκε τὸ ξί-
φος κατὰ τῆς κεφαλῆς τοῦ ἀνδρός· τὸ δὲ τῇ τοῦ
κράνους ἰσχύϊ καὶ τῇ λειότητι οὐχ ἥψατο αὐτοῦ. ὁ
δὲ Σκληρὸς αὖθις κατὰ τῆς κεφαλῆς τὸν Σκύθην

ἀντέπληξε, καὶ ἡ τοῦ ξίφους καταφορὰ εἰς τοσοῦτον γέγονεν ἐνεργὸς ὡς διχῇ τμηθῆναι τὸν βάρβαρον καὶ ἡμίτομα τοῦ ἵππου τὰ μέρη αὐτοῦ ἐκπεσεῖν. C οἱ βάρβαροι δὲ τὸ ἔργον ἐκπλαγέντες εἰς δειλίαν ἐνέπεσον καὶ εἰς φυγὴν αὐτίκα ἐτράπησαν, οἷς οἱ Ῥωμαῖοι κατόπιν ἐλαύνοντες πολλοὺς μὲν ἀνῄρουν, πολλοὺς δ' ἐζώγρουν. ἔπαυσε δὲ τῆς διώξεως τοὺς περὶ τὸν Σκληρὸν ἐπελθοῦσα ἡ νύξ· τέως δὲ καὶ ὅσοι περιελείφθησαν τραυματίαι ἦσαν.

Καὶ τὰ μὲν κατὰ τοὺς Ῥῶς ἐν τούτοις ἦσαν. 2 Βάρδας δὲ ὁ Φωκᾶς ὁ τοῦ Λέοντος παῖς, ἐξ Ἀμασείας φυγών, ἐν ᾗ περιώριστο, τὴν τῶν Καππαδοκῶν κατειλήφει Καισάρειαν, πολλοὺς προσεταιρισάμενος, καὶ τυραννίδι ἐπικεχείρηκεν, ἑαυτῷ περιθέμενος τὰ τῆς βασιλείας παράσημα. καὶ ὁ πατὴρ δὲ τούτου ὁ Λέων σὺν τῷ ἑτέρῳ υἱῷ τῷ Νικηφόρῳ ἐκ Λέσβου πρὸς Θρᾴκην ἐβουλεύσατο διαβῆναι, ἔχων συμπράττοντά οἱ καὶ τὸν Ἀβύδου ἀρχιεπίσκοπον· D γνωσθεὶς δὲ τοὺς ὀφθαλμοὺς πηρωθῆναι καταδικάζεται σὺν τῷ υἱῷ Νικηφόρῳ. λέγεται δὲ τὸν βασιλέα κατὰ τὸ λεληθὸς ἐντείλασθαι τοῖς ἐπιτραπεῖσι τὴν πήρωσιν τῶν ἀνδρῶν μὴ ἐκκόψαι τούτοις τὰ ὄμματα, ἀλλὰ δόκησιν μὲν παρασχεῖν ἐκτυφλώσεως, παραφυλάξαι δὲ τοῖς ἀνθρώποις ἀλώβητον τὸ ὁρᾶν. τούτων οὖν οὕτω συνενεχθέντων, γραφὴ καταλαμβάνει βασίλειος τὸν Σκληρὸν ἄρτι τοὺς Σκύθας τρεψάμενον διαπεραιωθῆναι πρὸς τὴν ἑῴαν καὶ τῷ Βάρδᾳ τῷ Φωκᾷ ἀντικαταστῆναι. καὶ αὐτίκα ἀπῄει καὶ πρὸς Καισάρειαν γέγονε, καὶ οἱ περὶ τὸν Φωκᾶν ἐκεῖνον λιπόντες τῷ Σκληρῷ προσερρύησαν, μόνος δὲ μετὰ τῶν θεραπόντων περιλειφθεὶς πρὸς τὸ φρούριον κατέφυγε τὸ Τυροποιόν. ἤδη δ' PII211

ἐγγὺς ὄντα τοῦ εἰρημένου φρουρίου καταλαμβάνουσιν αὐτὸν ἱππεῖς πεμφθέντες πρὸς τοῦ Σκληροῦ, ὧν εἷς Κωνσταντῖνος ὁ Χάρων, θρασύτερος τῶν ἄλλων, ὡς ἔοικεν, ὤν, προφθάσας τοὺς συστρατιώτας μεθ᾽ ὁρμῆς συντονωτέρας ἐπήρχετο τῷ Φωκᾷ· ὁ δὲ οὐράγει καὶ τοὺς σὺν αὐτῷ περιεῖπε, καὶ ὁ Χάρων ὕβρεσι τοῦτον ἔβαλλε. καὶ ὁ Φωκᾶς "οὐκ ἔδει σε" εἶπεν "ἄνθρωπον ἐν συμφοραῖς τοιαύταις γενόμενον ἐπιπλήσσειν." τοῦ δὲ Χάρωνος ἐν τούτοις ἐγγίσαντος τῷ Βάρδᾳ καὶ βαλεῖν ἐπιχειροῦντος αὐτόν, ἐκεῖνος τὴν κορύνην ἀνατείνας παίει τὸν Κωνσταντῖνον κατὰ τῆς κόρυθος, καὶ ταύτην συνέτριψε μετὰ τῆς κεφαλῆς τοῦ ἀνδρός, καὶ εὐθὺς
B εἷλε τὸν πεπληγμένον πορφύρεος θάνατος, μιᾷ θανατωθέντα πληγῇ. οἱ δὲ κατόπιν ἐλαύνοντες ὁρῶντες τὸν πεσόντα ἀφίστανται τῆς διώξεως, καὶ ὁ Φωκᾶς εἰσέδυ τὸ φρούριον. εἶτα καὶ ὁ Σκληρὸς παρεγένετο, καὶ πέπεικεν αὐτὸν προσχωρῆσαι τῷ βασιλεῖ· καὶ προσελθόντα κληρικόν τε γενόμενον εἰς τὴν Χίον περιορίζει ὁ Τζιμισκῆς. καὶ ὁ Σκληρὸς αὖθις προστάττεται μεταβῆναι εἰς τὰ ἑσπέρια. νυμφεύεται δ᾽ ἑαυτῷ γυναῖκα ὁ βασιλεὺς σπουδῇ
W III 169 Βασιλείου τοῦ παρακοιμωμένου Θεοδώραν θυγατέρα Κωνσταντίνου τοῦ Πορφυρογεννήτου. ἔτει δὲ δευτέρῳ τῆς αὐτοῦ βασιλείας ἔαρος ἀναλάμψαντος ἐκστρατεύει κατὰ τῶν Ῥῶς σὺν στρατεύμασι πλείοσι καὶ στόλῳ περιφανεῖ, καὶ ἀπιόντι συναντῶσιν αὐτῷ πρεσβευταὶ δῆθεν τῶν Σκυθῶν· οἱ δὲ
C κατοπτῆρες ἦσαν καὶ τῆς τῶν Ῥωμαίων ἰσχύος κατάσκοποι, ὃ οὐδὲ τὸν βασιλέα διέλαθε. προστάξας οὖν περιαχθῆναι αὐτοὺς κατὰ πᾶν τὸ στρατόπεδον καὶ τοῦτο καταμαθεῖν, ἐκέλευσεν ἀπαλλάττεσθαι.

ἐκείνων δὲ ἀπιόντων καὶ αὐτὸς εὐζώνους παραλαβὼν πεζοὺς ἐς χιλιάδας πέντε καὶ ἱππότας τετρακισχιλίους ὀπίσω τῶν πρέσβεων ἀπῄει, καὶ ἀθρόον ἐγγὺς τῆς μεγάλης Περσθλάβας γίνεται, καὶ βάλλεται χάρακα, ὃ τοὺς Ταυροσκύθας εἰς ἀμηχανίαν ἐνέβαλε. Καλοκύρης δὲ ὁ τῶν κακῶν πρωτουργὸς ἐκεῖ τότε παρών, καὶ γνοὺς τὸν βασιλέα παραγενόμενον, πρὸς τὴν τῶν Ῥὼς ἀπέδρα παρεμβολήν, ἀφ' οὗ τὴν τοῦ βασιλέως παρουσίαν μαθόντες ἐτεθορύβηντο, ὅμως μέντοι παραστρατοπεδεύονται τοῖς Ῥωμαίοις. οἱ δὲ περὶ τὸν βασιλέα ἐλθόντες εἰς τὸ τῆς Περσθλάβας ἄστυ, ὡς εἴρηται, καταλαμβάνουσιν D ἐκτὸς γυμναζομένους ὡς ὀκτακισχιλίους, κἀκείνοις συνέμιξαν. οἱ δὲ πρὸς μὲν ὀλίγον ἀντέσχον, εἶτα νῶτα τρέψαντες ἔφευγον. καὶ οἱ ἐντός, ὡς ἕκαστος ἠδύνατο ὁπλισάμενοι, ἐπικουρήσοντες τοῖς ὁμοφύλοις ἐξῄεσαν, καὶ ἀσυντάκτως αὐτοῖς χωροῦσιν ὑπαντιάζοντες οἱ Ῥωμαῖοι ἀνῄρουν πολλούς, οἱ δὲ εἰς τὴν πόλιν αὖθις ἀνθυπενόστουν. ἀλλ' ἱππέων τινῶν ἐξιππασαμένων καὶ τὴν εἰς τὴν πόλιν ἀπάγουσαν ἀτραπὸν ἐπιτειχισάντων, οἱ βάρβαροι ἀνὰ τὸν ἐκτὸς τοῦ ἄστεος χῶρον ἐσκίδναντο· ἔνθα οἱ μὲν ἐζωγροῦντο, οἱ δὲ καὶ ἐκτείνοντο, οἱ δ' ἐν τῇ πόλει τὰς πύλας κλείσαντες ἐπολιορκοῦντο. τῇ δ' ἑξῆς τοῦ παρακοιμωμένου Βασιλείου μετὰ πάσης PII 212 τῆς στρατιᾶς ἐλθόντος, ἐρρωμενέστερον ὁ βασιλεὺς τῇ πολιορκίᾳ ἐπικεχείρηκε, καί τινες διὰ κλιμάκων εἰς τὸ τεῖχος ἀναβεβήκασι, καὶ τοὺς ἐκεῖ τῶν βαρβάρων καταληφθέντας συγκόψαντες ξίφεσι τὰς πύλας ἠνέῳξαν καὶ τῇ Ῥωμαϊκῇ στρατιᾷ πάσῃ ῥᾳδίαν παρέσχον τὴν εἴσοδον. καὶ οὕτω μὲν τὸ τῆς Περσθλάβας ἄστυ Ῥωμαίοις κατέστη ἁλώσιμον, ἔνθα

καὶ ὁ τῶν Βουλγάρων βασιλεὺς ὁ Βορίσης ἑάλω, ᾧ
καὶ πᾶσι δὲ τοῖς Βουλγάροις ἐπιεικῶς ὁ αὐτοκρά-
τωρ ἐχρήσατο, ἀνέτους αὐτοὺς ἀφιείς, οὐ κατὰ Βουλ-
γάρων λέγων ἄρασθαι ὅπλα, κατὰ δέ γε τῶν Ῥώς.
πολλῶν δὲ Σκυθῶν εἰς ὀχύρωμά τι προσπεφευγό-
των, ἐξελεῖν καὶ τοῦτο ὁ βασιλεὺς ἐκέλευσεν. οἱ δὲ
B στρατιῶται διὰ τὸ τοῦ τόπου δυσάλωτον ἦσαν ἀπρό-
θυμοι. ὃ γνοὺς ὁ Ἰωάννης αὐτὸς πρὸ τῶν ἄλλων
πεζὸς ἀπῄει πρὸς τὸ ὀχύρωμα, κἀντεῦθεν ἐκεῖ συν-
έθεον ἅπαντες· καὶ ἥλω κἀκείνων σπουδῇ τὸ ὀχύ-
ρωμα καὶ τῶν ἐν αὐτῷ οἱ μὲν διεφθάρησαν, ἔνιοι
δὲ καὶ ἁλωτοὶ Ῥωμαίοις ἐγένοντο. τούτῳ μὲν οὖν
τῷ ἄστει φρουρὰν ἐγκατέστησεν ὁ βασιλεὺς ἀξιό-
μαχον, ἐκεῖνος δὲ ἀπῄει πρὸς τὸ Δορόστολον, ὃ καὶ
Δρίστρα καλεῖται, καί τινας πόλεις ἑλὼν κατὰ πά-
ροδον καὶ φρούρια ἐκπορθήσας ἐφθάκει πρὸς τὸ
Δορόστολον. ἦν δὲ πρὸ τῆς πόλεως ταύτης ἐστρα-
τοπεδευκὼς ὁ τῶν Ῥὼς ἀρχηγὸς ὁ Σφενδοσθλάβος.
ὡς οὖν εἶδον ἀλλήλας αἱ στρατιαί, συνερράγησαν ἐπ'
ἀλλήλας εὐθύς, καὶ τὸ μὲν πολὺ τῆς ἡμέρας ἀγχω-
C μάλως ἐμάχοντο, περὶ δὲ δείλην ὀψίαν ἀπειρηκότες
οἱ Ῥὼς ἐνέκλιναν πρὸς φυγήν, καὶ οἱ Ῥωμαῖοι ἐδί-
ωκον, πλεῖστοι μὲν οὖν τῶν βαρβάρων ἀπώλοντο,
οὐ μείους δὲ ἐξωγρήθησαν, οἱ δ' εἰς τὸ Δορόστο-
λον ἐπανήλθοσαν· καὶ ὁ βασιλεὺς πρὸ τῆς πόλεως
πηξάμενος χάρακα τὰς τριήρεις τὸν Ἴστρον φυλα-
ξούσας προσέμενεν, ἵνα μὴ οἱ Ῥὼς ἀποδράσαιεν. ὁ
δὲ Σφενδοσθλάβος οὓς κατεῖχε Βουλγάρους, εἰς εἴ-
κοσι χιλιάδας ὄντας, ὡς λέγεται, πάντας ὑπὸ δεσμοῖς
W III 170 ἐποιήσατο, δείσας μὴ ἐπανασταῖεν αὐτῷ ἢ τῷ βα-
σιλεῖ προσχωρήσωσιν. ὡς δὲ καὶ ὁ στόλος παρῆν,
ἐπολιόρκει τὴν πόλιν ὁ βασιλεύς. ἐκ Κωνσταντείας

δὲ καὶ φρουρίων ἑτέρων πρέσβεις πρὸς τὸν βασιλέα ἀφίκοντο αἰτοῦντες συγγνώμην καὶ ἑαυτοὺς παραδιδόντες αὐτῷ καὶ τὰ φρούρια. καὶ ταῦτα μὲν D *οἱ Ῥωμαῖοι παρέλαβον, ἡ δὲ τοῦ Δοροστόλου πολιορκία ἐφ' ἡμέρας διήρκεσε πλείονας, τῶν βαρβάρων εὐψύχως ἀνταγωνιζομένων. ὡς δ' ἐκ τῶν πολέμων τῶν συνεχῶν πολλοὶ τραυματίαι γεγόνασιν, ἤδη δὲ αὐτοὺς καὶ τὰ ζωαρκῆ ἐπιλέλοιπεν, ἤρξαντο σφίσι θραύεσθαι τὰ φρονήματα. ἀλλ' ὁ Σφενδοσθλάβος νύκτα φυλαξάμενος ἀσέληνον καὶ χειμέριον, ἐν μονοξύλοις ἄνδρας ἐμβιβάσας ὡσεὶ δισχιλίους, καὶ αὐτὸς ἐκείνοις συνεμβεβηκώς, ἀπῆλθεν ἐπισιτίσασθαι, καὶ συλλέξαντες τὰ χρειώδη εἰς τὸ Δορόστολον ἐπανήεσαν. καί τινας τῶν Ῥωμαίων θεράποντας περὶ τὸν ποταμὸν ἐσκεδασμένους κατ' ἄλλας καὶ ἄλλας χρείας ἰδόντες, ἐκβάντες τῶν πλοίων ἐνίους ἀπέκτειναν, καὶ λαθόντες αὖθις εἰς τὸ Δορόστολον ἐπανήλθοσαν. τοῦτο πάνυ τὸν βασιλέα* PII213 *ἐλύπησε, καὶ τοῖς τοῦ στόλου κατάρχουσιν ἐπιχόλως εἶχε, καὶ εἰ ἔτι λάθοιεν αὐτοὺς οἱ βάρβαροι ἀποπλεύσαντες, ἠπείλησε θάνατον εἶναι σφίσι τὸ ἐπιτίμιον. ἐφ' ὅλαις δὲ ἡμέραις ἑξήκοντα πολιορκήσας τὴν πόλιν, καὶ μήπω ταύτην ἑλών, ἔγνω λιμῷ τοὺς ἔνδον καταγωνίσασθαι, καὶ περικάθηται ταύτην, ἐπιτηρῶν ἀκριβῶς ἵνα μήποθεν αὐτοῖς χρειῶδές τι κομισθῇ. οἱ δὲ βάρβαροι πολλάκις ἐκδρομὰς ποιησάμενοι ἥττηντο· ἐπεὶ δὲ καὶ τῷ λιμῷ ἐπιέζοντο, καὶ οὔτε τῆς τῶν ἀναγκαίων ἦν αὐτοῖς χορηγίας ἐλπίς, οὐδὲ μέντοι γε συμμαχίας, οἱ μὲν ἀποδρᾶναι νυκτὸς συνεβούλευον, οἱ δὲ Ῥωμαίοις ἑαυτοὺς πιστεῦσαι, καὶ οὕτως ἐπανελθεῖν εἰς τὰ ἴδια, οἱ δ' ἄλλο τι ὑπετίθουν.*

3 Ὁ δέ γε Σφενδοσθλάβος ἔτι ἅπαξ Ῥωμαίοις παρ- B ῄνει μαχέσασθαι, καὶ ἢ περιγενέσθαι τε καὶ σωθήσεσθαι ἢ προτιμῆσαι θάνατον εὐκλεᾶ ζωῆς δυστυχοῦς. ταῦτα ὁ μὲν εἶπε, τὸ δὲ πλῆθος ἐπῄνεσε, καὶ τῇ ἑξῆς θανατῶντες τοῖς Ῥωμαίοις προσπλέκονται, καὶ μέχρι πολλοῦ ποτὲ μὲν οἱ Ῥωμαῖοι περιεγίνοντο τῶν Σκυθῶν, ποτὲ δὲ τῶν Ῥωμαίων οἱ βάρβαροι. ὡς δ' ἐφράσατο τὴν τοῦ τόπου στενοχωρίαν ὁ βασιλεὺς τοῖς ἐναντίοις εἶναι πρὸς λυσιτέλειαν, μὴ οἵων τε ὄντων τῶν Ῥωμαίων ἐπιέναι αὐτοῖς ἀθρόων, τοῖς στρατηγοῖς ὑπέθετο τὰ τάγματα πρὸς τὸ πεδίον ἠρέμα ὑπάγειν χωροῦντα κατὰ βραχύ. τοῦτο γενόμενον τοῖς βαρβάροις δειλίας τῶν Ῥωμαίων καὶ C φυγῆς παρέσχετο δόκησιν, καὶ εἵποντο ἀλαλάξαντες. ὡς δὲ πρὸς εὐρύτερον πεδίον ἐγένοντο, σύνθημα τοῖς Ῥωμαίοις ὁ βασιλεὺς ἐπιστροφῆς δέδωκε, καὶ ἀναστρέψαντες προσβάλλουσι τοῖς βαρβάροις, καὶ γίνεται φρικώδης ὁ πόλεμος. ὁ βασιλεὺς δὲ τὸν μάγιστρον Βάρδαν τὸν Σκληρὸν μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων ἀποκλεῖσαι τὴν πρὸς τὴν πόλιν εἴσοδον τοῖς βαρβάροις ἐκπέπομφεν. ἡ δὲ μάχη μέχρι πολλοῦ ἰσόρροπος ἦν. λέγεται δὲ θειοτέρας ἐπικουρίας τότε τοὺς Ῥωμαίους τυχεῖν. θύελλα γὰρ κατὰ πρόσωπον τοῖς Σκύθαις προσέβαλλε καί τις ἔφιππος ὡρᾶτο πολλοῖς τῶν Ῥωμαίων ὑπεραγωνιζόμενος καὶ συγκλονῶν τῶν βαρβάρων τὰς φάλαγ- D γας. ἦν δὲ κατὰ τὴν ἡμέραν τῆς μάχης ἐκείνης ἡ τοῦ στρατηλάτου Θεοδώρου τοῦ περιωνύμου ἐν μάρτυσι τελουμένη μνήμη. τρέπονται οὖν οἱ Σκύθαι, καὶ πρὸς τὴν πόλιν ὡρμήκεσαν· ἀλλ' ἦν ἐκείνη αὐτοῖς οὐκ εἰσιτητή, ἤδη γὰρ παρὰ τοῦ Σκληροῦ ἀπεκέκλειστο ἡ εἰς ταύτην εἰσέλευσις, καὶ λοιπὸν

ἐπὶ τὰ ταύτης προάστεια διεσκίδναντο καὶ καταλαμ-
βανόμενοι διεφθείροντο καὶ ὑπ' ἀλλήλων ἀπώλ-
λυντο συνωθούμενοί τε καὶ συμπατούμενοι, ὡς δυσ-
αρίθμους τοὺς ἀνῃρημένους εἶναι. οἱ δὲ περιλει-
φθέντες τραυματίαι γεγόνασι ξύμπαντες. ἐγνώσθη
δὲ ὅτι ὁ στρατηλάτης Θεόδωρος ἦν, ὃς τοῖς Ῥωμαίοις
τότε κατὰ τῶν βαρβάρων ἐπεκούρησέ τε καὶ συνε- W III 171
μάχησεν. ἐντεῦθεν γύναιόν τι εὐλαβείᾳ συνεζηκὸς
καὶ σεμνότητι κατὰ τὸ Βυζάντιον μιᾷ πρὸ τῆς μά-
χης ταύτης ἡμέρᾳ ἔδοξε καθ' ὕπνους τὴν ἁγίαν
θεοτόκον ὁρᾶν προϊοῦσαν καὶ προπεμπομένην ὑπὸ P II 214
πολλῶν, ἀκοῦσαί τε τῆς θεομήτορος λεγούσης πρὸς
ἕνα τῶν προϊόντων αὐτῆς "κύριε Θεόδωρε, ὁ ἐμὸς
καὶ σὸς Ἰωάννης ἀγῶνας ἔχει βαρεῖς· σπεῦσον οὖν,
αὐτῷ ἐπικούρησον." ἐξέφηνεν οὖν τισιν ἡ γυνὴ τὸ
ἐνύπνιον. οἱ δὲ τὴν ἡμέραν ἐσημειώσαντο, καὶ ἦν
ἡ πρὸ τῆς τελευταίας μάχης. τὸν μάρτυρα δ' ὁ
βασιλεὺς τῆς βοηθείας ἀνταμειβόμενος ναὸν αὐτῷ
κατὰ τὴν Εὐχάνειαν ἢ Εὐχάϊτα περικαλλῆ ἐδομή-
σατο, τὸν πρῴην καταβαλών, ἐν ᾧ τὸ πολύαθλον
ἐκείνου σῶμα κατέθετο, καὶ τὴν πόλιν ἀντὶ τῆς
προτέρας αὐτῆς κλήσεως Θεοδωρόπολιν ἐπωνόμα-
σεν. ὁ δὲ βάρβαρος Σφενδοσθλάβος πάντοθεν ἀπο-
γνοὺς διεπρεσβεύσατο πρὸς τὸν βασιλέα, συγγνώ-
μην αἰτῶν καὶ εἰς τὰ οἰκεῖα ἐπανελθεῖν ἐξαιτούμε- B
νος καὶ τοῖς συμμάχοις Ῥωμαίων συντάττεσθαι καὶ
τὸν βουλόμενον Σκύθην ἰέναι πρὸς τὰ Ῥωμαίων ἤθη
καὶ ἐν αὐτοῖς ἐμπορεύεσθαι. καὶ ὁ βασιλεὺς τὰς αἰ-
τήσεις προσήκατο καὶ πάσας ἐπλήρωσεν· εἶτα καὶ
αὐτὸς ὁ Σφενδοσθλάβος ἀφίκετο πρὸς τὸν αὐτο-
κράτορα καὶ αὐτῷ συνωμίλησεν, ᾐτήσατό τε τοῖς
Πατζινάκαις δηλῶσαι μὴ κωλῦσαι τοῖς Ῥὼς οἴκαδε

ἀπιοῦσι διὰ τῆς σφετέρας χώρας τὴν δίοδον. καὶ ὁ βασιλεὺς τοῦτ' ἐκείνους ποιῆσαι ἠξίωσε καὶ συμμάχους ἔχειν αὐτούς, μηδὲ διαβαίνειν τὸν Ἴστρον καὶ τὴν Βουλγαρίαν ληΐζεσθαι. οἱ δὲ τοῖς μὲν C ἄλλοις συνέθεντο, πρὸς δὲ τὴν δίοδον τῶν Ῥῶς ἀπηγόρευσαν.

4 Τοιούτῳ δὲ τέλει τοῦ πρὸς τοὺς Ῥῶς πολέμου καταλυθέντος ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε, καὶ ὑπεδέχθη λαμπρῶς ὑφ' ὅλου τοῦ πολιτεύματος. ὅ τε γὰρ πατριάρχης προϋπηντήκει αὐτῷ μετὰ τοῦ κλήρου παντὸς καὶ οἱ τῆς γερουσίας καὶ οἱ τοῦ δήμου, στεφάνους προσάγοντες καὶ τέθριππον ἅρμα, οἱ δ' ἵπποι τούτου λευκοί, ἐδέοντό τε τοῦ ἅρματος ἐπιβεβηκότα τελέσαι τὸν θρίαμβον. ὁ δὲ τοὺς μὲν στεφάνους ἐδέξατο, ἵππῳ τε κέλητι καὶ τούτῳ λευκῷ ἐθριάμβευσε, τῷ δέ γε τεθρίππῳ τὰς βασιλικὰς στολὰς τῶν Βουλγάρων βασιλέων D ἐπέθετο, καὶ τούτων ἄνωθεν εἰκόνα τῆς θεομήτορος, καὶ προήει τὸ ἅρμα. κατὰ δὲ τὴν Πλακωτὴν λεγομένην γενόμενος ἀγορὰν ἀπέδυσε τὸν Βορίσην τὰ τῆς παρὰ τοῖς Βουλγάροις βασιλείας παράσημα καὶ τῷ τῶν μαγίστρων ἐτίμησεν ἀξιώματι. ὁ μέντοι Σφενδοσθλάβος μετὰ τῶν Ῥῶς ἐπ' οἴκου ἀναζευγνὺς λόχοις περιπίπτει τῶν Πατζινάκων, καὶ πάντες ἀθρόοι ἀπώλοντο. οὗτος ὁ βασιλεὺς τὸν ἐν τῇ Χαλκῇ ναὸν τοῦ σωτῆρος Χριστοῦ μεγαλοπρεπῶς ἐδομήσατο. τοῦ δὲ πατριάρχου Βασιλείου ἐπί τισι κατηγορηθέντος ἐγκλήμασι, καὶ καθαιρεθέντος συνοδικῶς μετὰ τέσσαρας ἐνιαυτοὺς τῆς αὐτοῦ προχειρίσεως, ἐχειροτονήθη πατριάρχης ὁ Στουδίτης Ἀντώνιος. ὅτι δὲ αἱ PII215 προσκτηθεῖσαι Ῥωμαίοις πόλεις κατὰ τὴν ἕω πρὸς ἀποστασίαν ἀπεῖδον καὶ τὸν τῆς δουλείας ζυγὸν

ἀπεσείσαντο καὶ τοὺς δεσμοὺς διέρρηξαν τῆς τῶν Ῥωμαίων ἀρχῆς, ἐξεστράτευσεν ὁ βασιλεὺς κατ' αὐτῶν, καὶ οὓς μὲν ἀπραγμόνως ὑποκύψαντας αὖθις, οὓς δὲ σιδήρῳ καὶ ἀνάγκῃ πολλῇ τῷ ζυγῷ τῆς τῶν Ῥωμαίων ἀρχῆς ὑπηγάγετο. ἀναζευγνὺς δ' ἐκεῖθεν, καὶ γενόμενος κατὰ τὴν Ἀνάβαρζαν καὶ τὸ Ποδανδόν, ὁρῶν τε κἀνταῦθα καὶ ἐν ἄλλαις χώραις πολλαῖς χωρία πολυάνθρωπά τε καὶ πάμφορα, ἠρώτα οὗ εἶεν. καὶ μανθάνων ὅτι τοῦ παρακοιμωμένου εἰσὶ Βασιλείου, τὰ μὲν παρὰ τοῦ βασιλέως Νικηφόρου τοῦ Φωκᾶ, τὰ δὲ παρ' αὐτοῦ δομεστίκου τυγχάνοντος τῶν σχολῶν, τὰ δὲ παρ' ἑτέρων προσκτηθέντα τῇ βασιλείᾳ καὶ δωρηθέντα αὐτῷ, ἤλγησέ τε B καὶ δεινὸν εἶπεν εἰ τῶν δημοσίων κτημάτων καὶ ἐφ' οἷς πολλοὶ μὲν ἔπεσον ἀγαθοὶ ἄνδρες, πολλοὶ δὲ W III 172 ἐκακουχήθησαν, εἷς ἐκτομίας καταπολαύει. ταῦτα παρά του τῷ παρακοιμωμένῳ καταγγελθέντα πρὸς ἐπιβουλὴν τοῦ βασιλέως αὐτὸν ἀνηρέθισαν, καί τι δηλητήριον κερασάμενος φάρμακον, οὐ δραστήριον οὐδ' ὠκύμορον, ἀβληχρὸν δὲ καὶ χρόνῳ τὸν πεπωκότα κατεργαζόμενον, καὶ ὑπελθὼν δώροις τὸν οἰνοχοεύειν εἰωθότα τῷ βασιλεῖ, ἐγχεῖ τοῦτο τοῦ κρατοῦντος τῇ κύλικι, ὃ ποθὲν κατὰ βραχὺ τὴν τοῦ πιόντος ἐσίνετο δύναμιν καὶ διέφθειρε τὴν ἕξιν τοῦ σώματος, ἕως συνήλασε καὶ εἰς τὸν μόρον τὸν αὐτοκράτορα. οὕτως οὖν τῶν τῇδε μεταστὰς ὁ Τζιμισκῆς Ἰωάννης καταλείπει τὴν βασιλείαν τοῖς κληρονόμοις αὐ- C τῆς τῷ Βασιλείῳ δηλαδὴ καὶ τῷ Κωνσταντίνῳ τοῖς υἱέσι τοῦ Ῥωμανοῦ, βασιλεύσας ἓξ πρὸς τῷ ἡμίσει ἐνιαυτούς. ὃ δέ γε μικροῦ διέλαθεν ἄν, ἥκω διηγησόμενος. ὅπως μὲν οὖν ὁ κουροπαλάτης Λέων ὁ Φωκᾶς καὶ ὁ ἐκείνου υἱὸς ὁ Νικηφόρος κατακρι-

θέντες ἐκτύφλωσιν οὐκ ἐστερήθησαν τοῦ φωτός, λάθρα τοῦτο τοῦ βασιλέως περὶ αὐτῶν ἐπισκήψαντος, ἤδη ἱστόρηται. ἔχοντες δ' ἔτι τὰ ἑαυτῶν ἀλώβητα ὄμματα οὐκ ἠγάπων σωζόμενοι, ἀλλὰ τῇ βασιλείᾳ καὶ πάλιν ἐπιθέσθαι διεμελέτων, πολλοὺς τῶν περὶ τὴν πόλιν καὶ τὰ βασίλεια ἑαυτοῖς ὁμοφρονοῦντας κτησάμενοι. ἀλλ' ἐφωράθησάν τε καὶ συνεσχέθησαν, ἑνὸς τῶν συνωμοτῶν τὸ μελέτημα καταγγεί-
D λαντος. οὐκέτι γοῦν φιλανθρωπίας ἠξίωντο, ἀλλ' ἀσυμπαθῶς τοὺς ὀφθαλμοὺς ἐξωρύχθησαν, καὶ τοῦτο τέλος αὐτοῖς τῆς εὐτυχίας καὶ τοῦ περὶ τὴν βασιλείαν ἐγένετο ἔρωτος.

5 Ἀποκατέστη τοίνυν τὸ τῶν Ῥωμαίων σκῆπτρον τοῖς τούτῳ κατὰ γένος προσήκουσι, τῷ Βασιλείῳ καὶ τῷ Κωνσταντίνῳ φημί, ὧν ὁ μὲν εἰκοστὸν ἤνυε τῆς ἡλικίας ἐνιαυτόν, ὁ δέ γε Κωνσταντῖνος ἑπτακαιδέκατον. ἀλλ' οὗτοι μὲν τὰ τῆς βασιλείας περιέκειντο σύμβολα, τὴν δ' ἐξουσίαν ὁ πρόεδρος Βασίλειος περιέζωστο ἀτεχνῶς. ἠνείχετο δὲ ὁ Βασίλειος μήπω πεποιθὼς ἑαυτῷ, καὶ οἷον παιδοτρίβῃ τῷ παρακοιμωμένῳ προσεῖχε καὶ ἑαυτὸν ἐρρύθμιζε πρὸς τὴν ἐκείνου τῶν δημοσίων πραγμάτων μεταχείρισιν καὶ διοίκησιν, ὡς ἂν καιροῦ καλοῦντος οὕτω
PII216 καὶ αὐτὸς τὰ περὶ τοὺς στρατιωτικοὺς καταλόγους καὶ τὰ τῆς πολιτικῆς εὐνομίας μεταχειρίσηται. ἦν γὰρ τὸ ἦθος ἐγρηγορὼς καὶ δραστήριος, ἀλλ' οὐκ ἀνειμένος κατὰ τὸν ἀδελφὸν καὶ περὶ τὸν ἀργὸν βίον ἐσχολακώς. ἄρτι γοῦν εἰς τοὺς ὁμαίμονας τούτους περιέστη τὸ κράτος καὶ αὐτίκα ἐκ τῆς ὑπερορίας τὴν τούτους κατάγει τεκοῦσαν ὁ πρόεδρος καὶ τοῖς υἱοῖς ἀποδίδωσιν. ὑποπτεύων δὲ τὸν μάγιστρον Βάρδαν τὸν Σκληρόν, στρατηλάτην ὄντα καὶ πάσας

ὑφ' ἑαυτὸν ἔχοντα τὰς ἑῴας δυνάμεις, ἀφαιρεῖται μὲν αὐτοῦ τὴν τοῦ στρατηλάτου ἀρχήν, δοῦκα δὲ Μεσοποταμίας αὐτὸν προχειρίζεται. τοῦτο σφόδρα ἠνίασε τὸν Σκληρόν, καὶ ἄλλως ἀεὶ τρέφοντα παρ' ἑαυτῷ τῆς βασιλείας τὸν ἔρωτα πρὸς ἀποστασίαν ἠρέθισε. καταλαβὼν οὖν τὴν ἀρχὴν εἰς ἣν προε- B βέβλητο πολλοῖς ἀνεκάλυψε τὸ ἀπόρρητον. φιλούμενος δὲ διὰ τὰς ἀριστείας ὑπὸ παντὸς τοῦ στρατεύματος πειθηνίους εἶχε σχεδὸν ἅπαντας. ὅτι δ' ἦν ἐν τῇ βασιλίδι τῶν πόλεων ὁ παῖς αὐτοῦ Ῥωμανός, ἔσπευσε σχεῖν κἀκεῖνον παρ' ἑαυτῷ, καὶ ᾽στείλας λάθρᾳ τινὰ ἠδυνήθη καὶ τὸν υἱὸν λαθόντα ὑπαγαγέσθαι, καὶ αὐτίκα τῇ τυραννίδι ἐπικεχείρηκε, ταινίᾳ τε βασιλείῳ τὴν κεφαλὴν ἀναδεῖται καὶ φοινικοῖς πεδίλοις τοὺς πόδας ὑποδεῖται, καὶ εὐφημεῖται ὡς βασιλεύς, καὶ χρήματα συλλέξαι ποιεῖται σπουδήν, καὶ συμμάχους προσειλήφει, τόν τε τῆς Ἀμίδης ἀμηρᾶν, οὕτω γὰρ τὸ Ἐμὲτ καλεῖται, καὶ C τὸν τῆς Μαρτυρουπόλεως, ἡ δὲ Μιεφερκεὶμ ὀνομάζεται, ἀλλὰ μέντοι καὶ Ἄραβας. τούτους οὖν WIII 173 συμπαραλαβὼν ἠπείγετο πρὸς τὴν Κωνσταντίνου, ἐλπίσι χρησταῖς αἰωρούμενος, ἃς καὶ ἄλλοθεν ἔθαλπε, μᾶλλον μέντοι ἐξ ὀνείρου τινὸς μοναχοῦ ἀρετὴν μετιόντος. ἔδοξε γὰρ ἐκεῖνος ὁρᾶν τὸν Σκληρὸν γυναικί τινι ἐφ' ὑψηλῆς καθημένῃ περιωπῆς προσελθεῖν, τὴν δὲ μάστιγα αὐτῷ ἐγχειρίσαι βασιλικήν. ἡ μάστιξ δ', ὡς ἔοικεν, ἦν σύμβολον τῆς θείας ὀργῆς καὶ τῆς ἐκ τῶν ἐμφυλίων πολέμων τῶν Ῥωμαίων φθορᾶς, ἣν ὁ Σκληρὸς δηλοῦν τὴν βασιλείαν ἐνόμιζε, πρὸς τὴν οἰκείαν ἔφεσιν κρίνων τὸ ὄραμα. τῆς δὲ περὶ τῆς τυραννίδος τοῦ Σκλη- D ροῦ φήμης φθασάσης πρὸς τοὺς κρατοῦντας ἡτοι-

μάζετο τὸ περιλειφθὲν στρατιωτικὸν ἀντικαταστῆναι τῷ ἀποστάτῃ. ἐν τοσούτῳ δὲ στέλλεται πρὸς ἐκεῖνον ὁ Νικομηδείας ἀρχιερεὺς πρεσβεύσων, καὶ πολλὰ μὲν ἐπαγωγὰ πρὸς εἰρήνην διειλέχθη αὐτῷ, ἀλλ' οὐκ ἔπεισε. δείξας γὰρ αὐτῷ ὁ Σκληρὸς τὸ κοκκοβαφὲς πέδιλον ἀδύνατον εἶπε τὸν ἅπαξ τοῦτο ὑποδησάμενον ῥᾷον ἀποβαλεῖν. ταύτην τὴν ἀπόκρισιν ὡς ἔγνων οἱ περὶ τὰ βασίλεια, ἐξ ἀνάγκης πρὸς μάχην ὡρμήκεσαν. ἦν δὲ τῆς βασιλικῆς δυνάμεως στρατοπεδάρχης ὁ ἐκτομίας Πέτρος ὁ τοῦ Φωκᾶ, οὗ καὶ πρῴην ἐμνήσθημεν. ὡς γοῦν ἀλλήλοις ἀντεστρατοπεδεύσαντο τὰ στρατεύματα παρὰ Λιπάραν, ἣ καὶ Λυκανδὸν ὠνομάζετο, καὶ πρὸς ἄλληλα συνερράγησαν, ἐπὶ μέν τινα καιρὸν ἀντεῖχον οἱ βασιλικοὶ γενναίως, ἔπειτα τρέπονται καὶ ἀναιροῦνται πολλοί, καὶ τὸ στρατόπεδον ὑπὸ τοὺς ἐναντίους
PII217 γενόμενον διαρπάζεται. εἶτα καὶ τὴν Τζαμανδὸν πολυπληθῆ πόλιν ἐκ προσελεύσεως τῶν οἰκούντων αὐτὴν εἰληφὼς χρημάτων ἑσμὸν ἐξ αὐτῆς συνηθροίκει. οὕτω δὲ περιγενόμενος τοῦ στρατεύματος τοῦ βασιλικοῦ πολλοὺς ἐκ τούτου πρὸς ἑαυτὸν ἐπεσπάσατο, ἀπεγνωκότας ἤδη τὰς σωζούσας ἐλπίδας περὶ τοῖς βασιλεῦσι, καὶ αὐτῷ προσερρύησαν οὐ τῶν ἀνωνύμων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν περιωνύμων πολλοί. ὡς δὲ ταῦτα τῷ παρακοιμωμένῳ ἠγγέλθησαν, στέλλεται αὖθις Λέων ὁ πρωτοβεστιάριος, ἄκρατον ἐξουσίαν ἐμπιστευθεὶς καὶ πάντα πράττειν ὅσα καὶ βασιλεῦσιν ἀνεῖται ἄδειαν εἰληφώς, εἶπεν ἄν τις τῇ Λατίνων φωνῇ τὸν ἄνδρα
B δικτάτωρα, καὶ συνελθὼν τῷ στρατοπεδάρχῃ ὁ πρωτοβεστιάριος ἐπειράθη μὲν ὑποσχέσεσι καὶ τιμαῖς τοὺς περὶ τὸν Σκληρὸν ἐπισπάσασθαι· ὡς δ' ἀνη-

νύτοις ἔγνω ἐπιχειρεῖν, παρελάσας νυκτὸς τὸν Σκλη-
ρὸν ἐχώρει πρὸς τὴν Ἀνατολήν. ἐντεῦθεν δέος τοὺς
περὶ τὸν Σκληρὸν εἷλε περὶ τῶν φιλτάτων αὐτῶν,
καὶ τὸν ἀποστάτην καταλιμπάνοντες τῷ πρωτοβε-
στιαρίῳ προσῄεσαν. κἀκ τούτου δείσας ὁ Σκληρὸς
τὸν μάγιστρον Μιχαὴλ τὸν Βούρτζην προσκεχωρη-
κότα αὐτῷ καὶ Ῥωμανὸν πατρίκιον τὸν Ταρωνίτην
μετὰ στρατιᾶς ἔπεμψε κατὰ τοῦ πρωτοβεστιαρίου,
οἳ προσβαλόντες ἐκείνῳ ἡττήθησαν. ὡς δ' ἐγνώ-
σθη τῷ Σκληρῷ ἡ τῶν πεμφθέντων ἧττα, αὐτὸς
σὺν παντὶ τῷ ὑπ' αὐτὸν στρατεύματι κατὰ τοῦ
πρωτοβεστιαρίου χωρεῖ, καὶ συρρήγνυται τῇ μετ' C
αὐτοῦ στρατιᾷ καὶ νικᾷ. καὶ ὁ μὲν στρατοπεδάρ-
χης Πέτρος ἀνῄρητο, ὁ δὲ πρωτοβεστιάριος ἑαλώ-
κει. αὕτη ἡ νίκη ἐπὶ μέγα μὲν ἦρε τὰ τοῦ Σκλη-
ροῦ, τὰ δὲ τῶν βασιλέων εἰς ἀπόγνωσιν ἤνεγκε,
καὶ μᾶλλον ὅτι καὶ ἐθαλασσοκράτει ὁ ἀποστάτης.
στόλον οὖν ὁ παρακοιμώμενος ἑτοιμάσας ἐκπέμπει
κατὰ τοῦ στόλου τοῦ ἀποστάτου, καὶ ναυμαχίας
γενομένης ὁ στόλος ὁ τοῦ Σκληροῦ κατεναυμαχήθη
καὶ διεσκέδαστο. ὡς οὖν ἠρέμει τὰ κατὰ τὴν θά-
λασσαν, τὰ κατὰ τὴν ἤπειρον ὁ παρακοιμώμενος
διετίθετο, καὶ τὸν Ἐρωτικὸν εἰς Νίκαιαν ἔπεμψε
τὴν τῆς Βιθυνίας μητρόπολιν, ταύτην φρουρήσοντα,
ᾗ προσβαλὼν ὁ Σκληρὸς ἀπεκρούσθη, καὶ λιμῷ τοὺς
ἐν αὐτῇ προδοῦναι ταύτην ἠλπίκει, καὶ μέντοι ἐχρο- D
νοτριβήθη ἐκεῖ, σιτοδείᾳ τοὺς ἔνδον πιέζεσθαι παρε-
σκεύασεν. ἔγνω γοῦν ὁ Ἐρωτικὸς ἀπάτῃ κατα- W III 174
στρατηγῆσαι τὸν ἐναντίον, καὶ τοὺς σιτῶνας ψάμμου
ἐπλήρωσε, καὶ τὴν ψάμμον σίτῳ ἐπέχρωσεν, ὡς δο-
κεῖν τὸν ὄγκον ἅπαντα σῖτον εἶναι. ἔχων οὖν τινας
ἁλωτοὺς ἐκ τοῦ στρατοπέδου τῶν ἐναντίων, αὐτοῖς

τοὺς σιτῶνας οὐδ' ἡμιδεεῖς ὄντας ὑπέδειξε, καὶ δι' αὐτῶν ἐδήλωσε τῷ Σκληρῷ μὴ δεδιέναι τὴν πολιορκίαν τὴν ἐκ λιμοῦ. "εἰ δέ μοι" ἔφη "πίστεις δοίης μεθ' ὧν βούλομαι παραχωρῆσαί μοι ἀπελθεῖν, ὑπεκστήσομαί σοι τῆς πόλεως τὰ σὰ φρονῶν." περιχαρῶς τούτων ἤκουσεν ὁ Σκληρὸς καὶ πίστεις αὐτῷ παρέσχε, κἀκεῖνος τούς τε πλείους τῆς πόλεως καὶ τοὺς σὺν αὐτῷ στρατιώτας παρειληφὼς τῆς πόλεως ἔξεισι, καὶ πρὸς τὴν μεγαλόπολιν ἄπεισι,
PII218 καὶ ὁ Σκληρὸς εἴσεισιν εἰς τὴν Νίκαιαν, καὶ τότε ἔγνω καταστρατηγηθείς. ὁ δέ γε παρακοιμώμενος, τοῦ Σκληροῦ ἐκεῖθεν ἀπάραντος καὶ τῇ βασιλευούσῃ τῶν πόλεων πλησιάζοντος, ἀμηχανῶν ἦν. γνωσιμαχήσας οὖν τὸν Φωκᾶν Βάρδαν ἐκ τῆς ὑπερορίας ἀνεκαλέσατο, καὶ ὅρκοις αὐτὸν φρικώδεσιν ἐνδησάμενος καὶ παλαμναιοτάταις ἀραῖς μὴ ἄν ποτε τῇ βασιλείᾳ ἐπιθέσθαι μηδὲ κατὰ τῶν βασιλευόντων βουλεύσασθαι, ταῖς περιλοίποις δυνάμεσι τὸν ἄνδρα ἐφίστησι, μάγιστρόν τε τιμήσας καὶ χρήματα δαψιλῆ παρασχόμενος καὶ τὴν κατὰ τοῦ Σκληροῦ μάχην αὐτῷ ἀναθέμενος. ἄπεισιν οὖν ὁ Φωκᾶς. ὁ Σκληρὸς δὲ τοῦτο μαθὼν τότ' ἔγνω μέλλων μαχέσα-
B σθαι πρὸς ἀνταγωνιστὴν ἀξιόμαχον, καὶ ἄρας ἀπῄει, καὶ περὶ τὸ Ἀμόριον συμπλέκεται τῷ Φωκᾷ, καὶ γίνεται μάχη τῶν στρατευμάτων, καὶ ἦσαν ὑπερτεροῦντες οἱ τοῦ Σκληροῦ, οἱ δὲ περὶ τὸν Φωκᾶν τὰ νῶτα ἔτρεψαν. καὶ οὕτω μὲν τὰ τῆς μάχης ταύτης συμβέβηκε. τῇ δ' ἑξῆς οἱ τῶν στρατευμάτων ἐξάρχοντες αὐτοὶ πρὸς ἀλλήλους μαχέσασθαι εἵλοντο καὶ τὸν ἀγῶνα τὸν ὑπὲρ τοῦ παντὸς ἀναδέξασθαι. ἐπῆλθον οὖν ἀλλήλοις, καὶ πρῶτος ἔφθη παίσας τὸν Φωκᾶν ὁ Σκληρός, ὡς μὲν ἔνιοι λέγουσι, κορύνῃ κατὰ

τῆς κεφαλῆς, ὡς δ' ἕτεροι, ξίφος ἐπανετείνετο κατ' αὐτοῦ, τοῦ δὲ κλιθέντος πρὸς θάτερον μέρος καὶ τὴν πληγὴν ἐκκλίναντος, ἔφθασε τὸ τοῦ ξίφους ἄκρον τὸ οὖς ἐκτεμεῖν τοῦ ἵππου τοῦ τοῦ Φωκᾶ. ὁ C δέ γε Φωκᾶς ἀντέπληξε τὸν Σκληρὸν κορύνῃ κατὰ τῆς κεφαλῆς, καὶ ὁ πληγεὶς σκοτοδινιάσας τῷ τοῦ ἵππου τραχήλῳ ἐπέπεσεν, ὃν οἱ περὶ αὐτὸν κακῶς ἔχοντα θεασάμενοι καὶ τῷ ἐκ τῆς πληγῆς αἵματι πεφυρμένον, περιστάντες συνέσχον καὶ ἀπήγαγον εἰς πηγήν, ἀνακτησόμενοί τε λειποψυχοῦντα τὸν ἄνδρα τῷ ὕδατι καὶ τὸ καταρρεῦσαν τοῦ αἵματος ἀπορρύψοντες, καὶ τοῦ ἵππου ἐκεῖνον ἀποβιβάσαντες ἐποίουν τὰ εἰρημένα. ἐν τούτῳ δ' ὁ ἵππος ὁ τοῦ Σκληροῦ τὸν κατέχοντα ἐκφυγὼν καὶ ἀποσκιρτήσας ἐπιβάτου χωρὶς ἐκρόαινεν ἀνὰ τὸ στρατόπεδον αἵματι τὴν χαίτην διάβροχος, ὃν ἰδόντα τὰ τοῦ Σκληροῦ στρατεύματα, ἐπίσημος γὰρ ἦν ὁ ἵππος, κεκλημένος Αἰ- D γύπτιος, καὶ οἰηθέντα πεσεῖν τὸν ἑαυτῶν ἡγεμόνα, ἀκρατῶς ὡρμήκεσαν πρὸς φυγήν. κατανοήσας δὲ τὸ γινόμενον ὁ Φωκᾶς ἔπεισι τοῖς φεύγουσι τοὺς οἰκείους παραθαρρύνας, καὶ πολλοὶ μὲν ἀνῄρηντο ὑπὸ τῶν ἀντιπολέμων, πολλοὶ δὲ καὶ ἡλίσκοντο, πλείους δ' ὑπ' ἀλλήλων ἐκτείνοντο συμπατούμενοι. ἐντεῦθεν ὁ Σκληρὸς ἐξαπορηθεὶς μετὰ τῶν περιλειφθέντων καταφεύγει πρὸς Χοσρόην τὸν Βαβυλώνιον. τοῦτο μαθὼν ὁ βασιλεὺς ἔπεμψε πρὸς Χοσρόην, ἀξιῶν μὴ προσδέξασθαι τὸν τυραννήσαντα καὶ κατὰ τοῦ οἰκείου δεσπότου γενόμενον, ἵνα μὴ καὶ καθ' ἑαυτοῦ ὑπόδειγμα δοίη οὐκ ἀγαθόν. ἔφερε δ' ὁ πεμφθεὶς καὶ πρὸς τὸν Σκληρὸν καὶ τοὺς μετ' αὐτοῦ ἔγγραφα τῇ βασιλικῇ βεβαιωθέντα χειρί, ἀμνηστίαν αὐτοῖς τῶν πεπραγμένων

βραβεύοντα, εἰ ἀποσταῖεν τῆς ἐγχειρήσεως καὶ τῷ
βασιλεῖ ὑποκύψαιεν. ταῦτα τὰ πρὸς τὸν Σκληρὸν
καὶ τοὺς μετ' ἐκείνου βασίλεια γράμματα ὡς ἔγνω
PII219 ὁ Βαβυλώνιος, αὐτόν τε τὸν τὴν πρεσβείαν πλη-
ροῦντα καὶ τὸν Σκληρὸν καὶ τοὺς μετ' αὐτοῦ στρα-
τιώτας καθείργνυσιν. ἐνταῦθα μὲν οὖν τότε τὰ
τῆς ἀποστασίας ἔληξε τῷ Σκληρῷ.

6 Ἀντωνίου δὲ τοῦ πατριάρχου τὴν ἱερωσύνην
ἀπειπαμένου, ἣν ἐπὶ ἔτη ἤνυσεν ἕξ, καὶ μετὰ μι-
κρὸν τελευτήσαντος τέσσαρσι πρὸς τῷ ἡμίσει ἐνι-
W III 175 αυτοὺς ἀρχιερέως ἡ ἐκκλησία ἐχήρευεν, εἶτα ὁ
Χρυσοβέργης Νικόλαος προκεχείριστο. τὰ δὲ Βουλ-
γάρων αὖθις κεκίνητο· ὡς γὰρ ἡ τοῦ Τζιμισκῆ κα-
τήγγελτο τελευτή, τέσσαρσιν ἀδελφοῖς ἀνατιθέασι
τὴν σφετέραν ἀρχήν, Δαβίδ, Μωυσῇ, Ἀαρών τε
καὶ Σαμουήλ, οἳ κομητόπωλοι ὠνομάζοντο, ὅτι υἱοὶ
γεγόνασιν ἑνὸς τῶν παρ' αὐτοῖς ἐπισήμων καὶ λε-
B γομένων κομήτων. οἱ γὰρ ἐκ τοῦ βασιλείου γένους
σφίσιν ἐπιλελοίπασι, μόνου περιλειφθέντος ἑνὸς τῶν
παίδων τοῦ Πέτρου, φημὶ δῆτα τοῦ Ῥωμανοῦ, ὃς
ἐκτομίας ἦν, τῶν δὲ τεσσάρων συγγόνων τῶν κο-
μητοπώλων ὁ μὲν Δαβὶδ τάχιστα τὴν ζωὴν ἐξεμέ-
τρησεν, ὁ δέ γε Μωυσῆς τὰς Σέρρας πολιορκῶν
λίθῳ βάλλεται, καὶ θνήσκει εὐθύς. τὸν δ' Ἀαρὼν
παγγενῆ τοῦ βίου ἐξήγαγεν ὁ ἀδελφὸς Σαμουήλ,
ἢ τὴν ἀρχὴν ἑαυτῷ μόνῳ περιποιούμενον ἢ τὰ Ῥω-
μαίων αἱρούμενον, λέγεται γὰρ καὶ ἀμφότερα, ἑνὸς
μόνου τῶν παίδων ἐκείνου περισωθέντος, ὃς Σφεν-
C δοσθλάβος καὶ Ἰωάννης διωνύμως ἐκέκλητο. καὶ ἡ
τῆς Βουλγαρίας ἀρχὴ εἰς μόνον περιέστη τὸν Σα-
μουήλ, ὃς τῶν Ῥωμαϊκῶν στρατευμάτων τοῖς ἐμ-
φυλίοις ἀσχολουμένων ἄδειαν εὑρηκὼς τὰ τῆς Ῥω-

μαϊκῆς ἡγεμονίας ἑσπέρια ξύμπαντα περιήει, οὐ ληιζόμενος μόνον, ἀλλὰ καὶ τὰς χώρας ἅμα καὶ τὰς πόλεις περιποιούμενος ἑαυτῷ. ἐπεὶ δέ, ὡς ἱστόρηται, τὴν τοῦ Σκληροῦ τυραννίδα ὁ βασιλεὺς ἀπεσείσατο, ὥργα πρὸς ἄμυναν τοῦ βαρβάρου, καὶ δι' ἑαυτοῦ ἔδοξεν αὐτῷ τὴν ἐκστρατείαν ποιήσασθαι. ἔξεισιν οὖν μήτε τῷ μαγίστρῳ Βάρδᾳ τῷ Φωκᾷ, καίτοι δομεστίκῳ ὄντι τῶν σχολῶν τῆς ἀνατολῆς, περὶ τῆς πράξεως κοινωσάμενος μήτε μὴν ἑτέρῳ τῶν ἑῴων στραταρχούντων δυνάμεων. ἤδη δὲ πρὸς τὰ Βουλγάρων εἰσιὼν τὸν μάγιστρον Λέοντα τὸν D Μελισσηνὸν κατόπιν ἐκέλευσεν εἶναι καὶ τὰς δυσχωρίας τηρεῖν· αὐτὸς δ' εἰσελθὼν τῇ πολιορκίᾳ τῆς Σαρδικῆς, αὕτη δ' ἐστὶν ἡ Τριαδίτζα, ἐπιχειρεῖν ἡτοιμάζετο. τῶν δυτικῶν δὲ ταγμάτων δομέστικος ὢν ὁ Κοντοστέφανος Στέφανος, καὶ λογισάμενος ὡς εἰ εὐτυχηθείη τὰ τῆς στρατείας τῷ βασιλεῖ, οὐκ ἄν ποτε παύσαιτο δι' ἑαυτοῦ τοὺς πολέμους διατιθέμενος, καὶ οὔτ' αὐτὸς οὔθ' οἱ λοιποὶ στρατιάρχαι ἔτι αὐτῷ λόγου πολλοῦ νομισθήσονται ἄξιοι, σφῆλαί οἱ διεμελέτησε τὴν ἐπιχείρησιν καὶ τὴν ὁρμὴν ἀνακόψαι. προσελθὼν οὖν φησι τὸν Μελισσηνὸν τυραννίδι ἐπιχειρεῖν καὶ ἀπιέναι σὺν ταχυτῆτι πρὸς τὸ Βυζάντιον τὴν βασιλείαν καθέξοντα, καὶ ἠξίου μὴ μέλλειν, ἀναζευγνύειν δὲ καὶ μὴ ὑπερτίθεσθαι. τοῦτο τὸν βασιλέα ἐτάραξε καὶ ἐπάνοδον ἐσήμανε τῷ λαῷ. ὁ δέ γε Σαμουὴλ ταῖς τῶν ὀρέων ἐμφιλοχωρῶν PII220 κορυφαῖς, οὐ γὰρ ἐθάρρει κατὰ συστάδην μαχέσασθαι, καὶ τὴν ἀθρόαν ἀναζυγὴν ἰδών, δειλίαν ἔκρινε τὸ πραττόμενον, καὶ ἔπεισι τοῖς Ῥωμαίοις, καὶ τῷ ἀνελπίστῳ ἅπαντας κατεθρόησε καὶ εἰς φυγὴν ἔτρεψε, καὶ τῆς τε παρεμβολῆς ἐκράτησε

καὶ τῆς σκηνῆς τῆς βασιλικῆς καὶ τῶν παρασήμων τῆς βασιλείας. ὁ δὲ βασιλεὺς μόλις εἰς Φιλιππούπολιν διασέσωστο, κἀκεῖ τὸν Μελισσηνὸν εὑρηκὼς κατὰ τοῦ Κοντοστεφάνου ἐξώργιστο καὶ ὕβρεις κατέχεε τοῦ ἀνδρός. ὁ δὲ δυσανασχετῶν ἐτραχύνετο, καὶ ἀναζέσας ὁ βασιλεὺς τῷ θυμῷ ἀνέθορέ τε τοῦ θρόνου καὶ τῆς κόμης τοῦ Κοντοστεφάνου δραξάμενος καὶ τοῦ πώγωνος προσήραξε τὸν ἄνδρα τῇ B γῇ. ἐντεῦθεν οἱ τῶν δυνάμεων τῶν Ῥωμαϊκῶν προεξάρχοντες μηνιῶντες τῷ βασιλεῖ, ὁ μὲν Φωκᾶς, ὅτι αὐτῷ αἱ ἐλπίδες ὑπέρρεον καὶ τὸ τῆς παροιμίας ἐπὶ τὰ Μανδραβόλου ἐχώρουν, οἱ δὲ ὅτι ὑπερηφάνως αὐτοῖς προσεφέρετο καὶ οὐκ ἐκοινώνει σφίσι τῶν βουλευμάτων, οἱ δὲ δι᾽ ἕτερ᾽ ἄττα, ἐν τῷ Χαρσιανῷ συναθροίζονται, καὶ τῷ Φωκᾷ Βάρδᾳ διάδημα περιέθεντο καὶ τῆς βασιλείας ἠξίωσαν. καὶ οἱ μὲν τὰ W III 176 τῆς ἀποστασίας, ὡς αὐτοῖς ἐδόκει, εὖ διετίθεντο. ὁ δέ γε Σκληρὸς ἐν Βαβυλῶνι φρουρούμενος ἀνελπίστως ἐξάγεται τῆς φρουρᾶς. τῆς γὰρ τῶν Περσῶν ἀρχῆς καταλυθείσης ὑπὸ Σαρακηνῶν, ἀνήρ τις Πέρσης, Ἴναργος ὄνομα, λόγοις παρακινήσας τὸ C Περσικὸν πείθει ἀποστατῆσαι τῆς τῶν Σαρακηνῶν δουλείας καὶ ὅπλα ἄρασθαι κατ᾽ αὐτῶν, αὐτοῦ τοῦ Ἰνάργου στρατηγοῦντος αὐτῶν. πολλάκις μὲν οὖν ὁ Χοσρόης τοῖς Πέρσαις ἀντηγωνίσατο, τοσαυτάκις δ᾽ ἡττήθη ὁσάκις σφίσι προσέμιξε, καὶ ἀπογνοὺς πρὸς τοὺς ἐμφρούρους καταφεύγει Ῥωμαίους καὶ ἀνίησι μὲν αὐτοὺς τῆς εἱρκτῆς, διαλέγεται δὲ τῷ Σκληρῷ περὶ τοῦ πολέμου καὶ μὴ μνησικακῆσαι τῆς κακώσεως αὐτῷ ἀξιοῖ. ὁ δὲ πρότερον μὲν παρῃτεῖτο τὸν πόλεμον, εἶτ᾽ ἐγκειμένου τοῦ Βαβυλωνίου κατανεύει μέν, σὺν μόνοις δὲ τοῖς Ῥωμαίοις ὑπέσ-

χετο τὸν πόλεμον ὑπελθεῖν. καὶ ἠρευνῶντο τοίνυν τὰ δεσμωτήρια, καὶ ὅσοι εὕρηντο ἐν αὐτοῖς Ῥωμαῖοι, ἐξήγοντο καὶ ὡπλίζοντο, καὶ ὡσεὶ τρισχί- D λιοι συνηθροίσθησαν, οὓς παρειληφὼς ἐχώρησε κατὰ τῶν Περσῶν, καὶ συμβαλὼν νικᾷ· ἀναζεῦξαι δὲ πρὸς τὸν Χοσρόην οὐκέτ' ἔκρινεν οὔτ' αὐτὸς οὔθ' οἱ μετ' αὐτοῦ· ἐδεδοίκεσαν γὰρ μὴ καὶ αὖθις αὐτοὺς καθείρξει ὁ βάρβαρος, καὶ μᾶλλον ὅτι ἐν πείρᾳ γέγονε τῆς αὐτῶν γενναιότητος. εἴχοντο γοῦν τῆς φυγῆς, καὶ ὁ Χοσρόης πλῆθος εἰς αὐτῶν ἐπιδίωξιν ἔστειλε, καὶ οἱ σταλέντες κατειληφότες τοὺς φεύγοντας, ἐκείνων ὑπάρχοντες πολλαπλάσιοι, μείους τῶν φευγόντων ἀποδρᾶναι δεδύνηντο, τῶν ἄλλων ἐκεῖ πεσόντων καὶ Ῥωμαϊκαῖς δαμέντων χερσίν.

7 Ὁ μὲν οὖν Σκληρὸς καὶ οἱ σὺν αὐτῷ εἰς τὰ Ῥωμαίων ἐπανεληλύθεσαν ὅρια. μαθὼν δὲ καὶ τὸν Φωκᾶν ἤδη βασιλειῶντα καὶ τυραννίδος ἀρξάμενον, PII221 ἀπονενεύκει πρὸς τὸν Φωκᾶν, κοινωνὸς ἀξιῶν εἶναι καὶ τοῦ πολέμου καὶ τῆς βασιλείας αὐτῆς. ὁ δὲ τὴν κοινοπραγίαν ἐδέξατο, καὶ εἰ τῶν ἐφέσεων τύχοιεν, ἑαυτῷ μὲν τὴν βασιλίδα τῶν πόλεων ἀπένεμε καὶ τῶν πλειόνων ἐθνῶν καὶ χωρῶν τὸ κράτος, τῷ δὲ Σκληρῷ προσεκλήρου τὴν Ἀντιόχειαν τήν τε Κοίλην Συρίαν καὶ Φοινίκην καὶ Παλαιστίνην καὶ Μεσοποταμίαν, καὶ τὰς συνθήκας ὅρκοις καθ' ἱερῶν ἐμπεπέδωκεν. ἐπὶ τούτοις τεθαρρηκὼς ὁ Σκληρὸς πρόσεισι τῷ Φωκᾷ. ὁ δ' ἐντὸς ἀρκύων τοῦτον λαβὼν ἀφαιρεῖται μὲν αὐτοῦ τὸ σχῆμα δὴ τὸ βασίλειον, καθείργνυσι δὲ καὶ φρουρὰν αὐτῷ περιίστησιν. ὑφ' ἑαυτὸν δὲ καὶ τὴν σὺν ἐκείνῳ στρατιὰν ποιησάμενος τοῦ τυραννεύειν εἴ- B χετο κραταιότερον. ὁ μέντοι Σκληρὸς προμηθευό-

μενος ἑαυτῷ πρὸς τὸ μέλλον ἐξ ἀποτυχίας σωτηρίαν τινά, πρὸ τοῦ κατασχεθῆναι πρὸς τοῦ Φωκᾶ τὸν υἱὸν Ῥωμανὸν λάθρᾳ φυγεῖν παρεσκεύασεν, ὡς αὐτομολοῦντα τῷ βασιλεῖ, ὃς καὶ περιχαρῶς παρὰ τοῦ κρατοῦντος ἐδέχθη καὶ μάγιστρος ἐτιμήθη εὐθύς. ὁ Φωκᾶς δὲ ἀπόμοιράν τινα τῆς στρατιᾶς ὑπὸ τὸν πατρίκιον τάξας τὸν Δελφινᾶν εἰς τὴν ἀντικρὺ τῆς βασιλίδος ἐκπέμπει Χρυσόπολιν, αὐτὸς δὲ σὺν τῇ λοιπῇ δυνάμει ἀφίκετο πρὸς τὴν Ἄβυδον. τῷ μέντοι Δελφινᾷ ἐστρατοπεδευκότι κατὰ Χρυσόπολιν αἰφνίδιον ἐπῆλθεν ὁ βασιλεὺς μετὰ λαοῦ Ῥωσικοῦ, κῆδος γὰρ πρὸς Βλαδιμηρὸν τὸν ἄρχοντα
C *τούτων ἐπὶ Ἄννῃ τῇ ἀδελφῇ αὐτοῦ θέμενος συμμαχικὸν ἐκεῖθεν ἐδέξατο, καὶ ῥᾷον τῶν ἐναντίων ἐκράτησε, καὶ αὐτὸν τὸν Δελφινᾶν χειρωσάμενος ἀνεσκολόπισεν. εἶτα πρὸς τὴν Ἄβυδον ἄπεισι μετὰ τοῦ ἀδελφοῦ Κωνσταντίνου· καὶ ἤδη ἀντιμέτωπα ἔστησαν τὰ ἐναντία στρατεύματα, καὶ τοῦ μὲν οἰκείου προετέτακτο ὁ Φωκᾶς, τὸ δ' ἀντίμαχον ὁ βασιλεὺς Βασίλειος ἔφιππος περιιὼν παρεθάρρυνεν,*
W III 177 *ὃν ὁ Φωκᾶς θεασάμενος κατ' αὐτοῦ τὸν ἵππον ἐλαύνει, ὅλην ἐκείνῳ τὴν ἡνίαν ἐνδεδωκώς, κρίνας, ὡς εἰ ἐκεῖνον καταβαλεῖ, ἔσται τὸν ἀγῶνα νενικηκώς. ἀλλ' οὔπω τῶν οἰκείων προεληλύθει πολύ, καὶ οἱ μὲν αὐτὸν ἐκκυλισθῆναι τοῦ ἵππου φασίν, οἱ δὲ*
D *εἴς τινα λόφον ἐκκλῖναι, καὶ ἀποβάντα τοῦ ἵππου ἐκταθῆναι κατὰ γῆς καὶ εὐθὺς αὐτὸν τὸ πνεῦμα λιπεῖν. οἱ μὲν οὖν πληγῆναι παρά του καιρίαν τὸν ἄνδρα ἔλεγον. καὶ ὁ βασιλεὺς δὲ Κωνσταντῖνος ἑαυτῷ τὴν ἀναίρεσιν ἐκείνου ἐπεφήμιζε· τοῦτο δ' ἦν λόγος ἄλλως· οὐδὲ γὰρ τετρωμένον αὐτοῦ τὸ σῶμα εὕρητο οὐδαμῇ. οἱ δὲ φαρμάκῳ δηλητηρίῳ*

ἐδόξαζον κατεργασθῆναι αὐτόν, ὃ καὶ μᾶλλον ἔδοξε πιθανώτερον· τό γέ τοι φάρμακον ἡτοιμάσατο μὲν ὁ Βασίλειος, προσέφερε δὲ τῷ Φωκᾷ ὁ τούτῳ οἰνοχοεύων, παρὰ τοῦ βασιλέως ὑποκλαπείς. πεσόντος δὲ τοῦ Βάρδα τὸ μετ' αὐτοῦ στράτευμα διεσκέδαστο, καὶ οἱ μὲν ἐκτείνοντο καταλαμβανόμενοι, οἱ δ' ἐζωγροῦντο, καὶ συσχεθέντες κατὰ τὸ δόξαν τῷ βασιλεῖ ἐκολάσθησαν. ὁ δὲ ἀλλοιότερος ἦν ἢ τὸ πρότερον· PII222 σοβαρός τε γὰρ ἐγεγόνει καὶ τὸ ἦθος ὑποκαθήμενος καὶ πάντας ὑπώπτευε, καὶ τὴν ὀργὴν ἐτύγχανεν ἀπαραίτητος, καὶ οὐ τοῖς ἄλλοις μόνον τὸ σοβαρὸν ἐπεδείκνυτο, ἀλλὰ μὴν καὶ τῷ παρακοιμωμένῳ αὐτῷ, ἤχθετό τε τἀνδρὶ καὶ εἰς ἑαυτὸν ἔσπευδε μετενεγκεῖν τὴν τῶν πραγμάτων διοίκησιν, καὶ μέντοι καὶ μεθίστησι τῆς τῶν κοινῶν οἰκονομίας αὐτόν, οἴκοι μένειν ἀπρόϊτον ἐπιστείλας αὐτῷ, εἶτα μετὰ μικρὸν καὶ ὑπερόριον τίθησι καὶ τῶν ἐκείνῳ πεπραγμένων ἕκαστον ἀνακρίνων ἀπραξίαν τῶν πλειόνων κατεψηφίζετο καὶ τοῦ παρ' ἐκείνου δομηθέντος σεμνείου τὰ πλείω ὑφείλετο, καὶ οὐκ B ἀγρῶν ἥψατο μόνον ἢ χωρίων καὶ οἰκιῶν, ἀλλὰ καὶ ἀναθημάτων τε καὶ πλακῶν καὶ κιόνων πολυτελῶν. ὅθεν ἐκεῖνος διὰ ταῦτα νέφει περισχεθεὶς ἀθυμίας παρεῖτο τὰ μέλη καὶ ἔμπνους ὦπτο νεκρός, καὶ βραχύ τι διαλιπὼν οἰκτρῶς τὸν βίον ἐξέλιπεν. ὁ δὲ τότε πρῶτον γέγονεν αὐτοκράτωρ ὡς ἀληθῶς, καὶ γνοὺς πηλίκων δεῖται φροντίδων ἡ τῆς βασιλείας διοίκησις τῆς τε βασιλικῆς ἁβρότητος κατεφρόνησε καὶ τῶν λαμπρῶν ἐπιβλημάτων ἀπέσχετο καὶ γλυκυθυμίαν ἅπασαν ἀπεσείσατο, καίτοι πρῴην μὴ οὕτω βιούς, ἀλλὰ καὶ ἐρώτων ἡττώμενος καὶ κώμοις καὶ τρυφαῖς ἑαυτὸν ἐκδιδοὺς καὶ βασιλείοις περιττότη-

σιν ἐνηδόμενος. ἑαυτῷ δὲ μόνῳ προσκληρώσας τὴν ἐξουσίαν τοῦ ὀνόματος μόνου τῆς βασιλείας καὶ τοῦ ἐπισήμου χρώματος μετεδίδου τῷ ἀδελφῷ, καί τινα δορυφορίαν ἐκείνῳ ἀπέταξε, βραχεῖαν μέντοι καὶ C *οὐχ ὑπέρογκον. ὁ δὲ ἔφερε καὶ οὐκ ἠμφισβήτει τῷ ἀδελφῷ, ἤθους ἀνειμένου τυχών, οἶμαι, καὶ χαίρων ὑγροτέρᾳ ζωῇ καὶ διαγωγῇ τρυφερᾷ, καὶ θήραις καὶ ἡλικιωτῶν συνουσίαις οἷς συνετρέφετο. τὼ μὲν οὖν ἀδελφὼ καὶ ἄμφω εἰχέτην οὕτως. ὁ δέ γε Σκληρὸς τοῦ Φωκᾶ θανόντος λυθεὶς τῆς εἱρκτῆς εἴχετο καὶ αὖθις τοῦ πρὶν ἐγχειρήματος καὶ τυραννεῖν καὶ πάλιν οὐκ ἀνεβάλλετο. ὁ δὲ βασιλεὺς γράμμασι πρὸς αὐτὸν ἐγχαραχθεῖσι παρῄνει τὸν ἄνδρα παύσασθαι τῆς ἀπονοίας ποτὲ καὶ μὴ ἀεὶ βούλεσθαι αἴτιον εἶναι πολέμων ὁμογενέσι καὶ τὴν γῆν αἵμασι χραίνειν, καὶ* D *τούτοις χριστιανῶν. ὁ δὲ τῷ τε γήρᾳ τρυχόμενος ἤδη καὶ πρὸς τὸ μέλλον ἰλιγγιάσας σπένδεται καὶ πρόσεισι τῷ κρατοῦντι. κἀκεῖνος ὑπὸ σκηνὴν καθῆστο βασίλειον, καὶ ὁ Σκληρὸς βάδην ᾔει πρὸς τὴν σκηνήν, ὑπερειδόμενος ἑκατέρωθεν, τὸ μέν τι διὰ τὸ γῆρας, τὸ δὲ διὰ τὸν ὄγκον τοῦ σώματος· ἦν γὰρ εὐμεγέθης· ὅτε καὶ τὸ ᾀδόμενον εἰπεῖν ὁ βασιλεὺς Βασίλειος λέγεται "ὃν ἐδεδοίκειν προσάγεταί μοι* W III 178 *χειραγωγούμενος." οἱ δὲ ἀορασίᾳ πληγῆναί φασι τὸν Σκληρὸν ἐν τῷ ἀπιέναι πρὸς τὸν αὐτοκράτορα, καὶ διὰ τοῦτο χειραγωγεῖσθαι. ἐγγίσαντος δὲ τοῦ* P II 223 *ἀνδρὸς τῇ σκηνῇ, κατανοήσας ὁ βασιλεὺς ἔτι τοὺς πόδας αὐτοῦ ὑποδουμένους ὑποδήμασι φοινικοῖς, τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας γνωρίσματα ὁ Σκληρὸς ἀπεδύσατο, τὰ δέ γε πέδιλα οὐκ ἀπέθετο, ἢ γὰρ λάθετ' ἢ οὐκ ἐνόησεν, ἀπέστρεψε τὰς ὄψεις εὐθύς, μὴ ἄλλως αὐτῷ ἐντυχεῖν ἀνεχόμενος εἰ μὴ ἐν ἰδιώ-*

του στολῇ. ὁ δὲ πρὸ τῆς σκηνῆς ἀποῤῥίψας τὰ ἐπίφθονα πέδιλα οὕτως ὑπέδυ αὐτήν, καὶ ὁ βασιλεὺς ἐξανέστη καὶ τὸν ἄνδρα ἐδεξιώσατο, καὶ ὡμιλησάτην ἀλλήλοιν καὶ ἐκοινωνησάτην τραπέζης καὶ ἐπιέτην ἐκ τῆς αὐτῆς κύλικος. τοῦτον μὲν οὖν τὸν τρόπον καὶ ἡ τοῦ Σκληροῦ τυραννὶς καταλέλυτο, αὐτοῦ μὲν κουροπαλάτου τιμηθέντος, τῶν δὲ συναραμένων αὐτῷ παραχωρηθέντων ἔχειν ὃ ἂν ἕκαστος B ἐξ ἐκείνου τυραννοῦντος εἰλήφει, εἴτ' ἐν ἀξίαις ἦν εἴτ' ἐν ἀρχαῖς εἴτε μέντοι ἐν κτήσεσιν. ὁ δὲ βασιλεὺς τὰς τῶν ἀποστασιῶν φροντίδας ἀποφορτισάμενος ἐπὶ τὴν Θρᾴκην ἐξήει, καὶ εἰς Θεσσαλονίκην ἐφοίτησε, τῷ περιωνύμῳ μάρτυρι ἀνθομολογούμενος. καταλείψας δ' ἐκεῖ στρατάρχην τῶν ἐπισήμων μετὰ βαρείας δυνάμεως, ἵνα κωλύῃ τὰς τοῦ Σαμουὴλ ἐκδρομάς, ἐπάνεισι πρὸς τὴν Βύζαντος, καὶ εἰς Ἰβηρίαν ἀπῄει, κληρονόμος καταλειφθεὶς παρὰ τοῦ κουροπαλάτου Δαβὶδ θανόντος τῆς ἐκείνῳ διαφερούσης ἀρχῆς. ἔνθαπερ γεγονὼς καὶ τῆς καταλειφθείσης αὐτῷ χώρας ἐπιλαβόμενος, καὶ τὸν τοῦ Δαβὶδ ἀδελφὸν τὸν Γεώργιον τῆς ἐνδοτέρας Ἰβηρίας ἡγεμονεύοντα παρασκευάσας ἡσυχίαν ἄγειν καὶ τοῖς C ἰδίοις ἀρκεῖσθαι καὶ ὅμηρον τὸν ἐκείνου παῖδα λαβών, ἐπὶ Φοινίκην ἐχώρησε, καὶ τόν τε τῆς Τριπόλεως ἄρχοντα καὶ τὸν τῆς Δαμασκοῦ καὶ τὸν τῆς Τύρου καὶ Βηρυτοῦ, κατὰ συνθήκας τῇ πρὸς τῇ Δάφνῃ Ἀντιοχείᾳ ἐπιόντας καὶ κακοῦντας τὰ ὑπ' αὐτήν, ἀνέστειλε καὶ δούλωσιν Ῥωμαίοις τηρεῖν ἀνέπεισε, καὶ ὁμήρους κἀκ τούτων λαβὼν ἐπανέζευξεν. ἀλλὰ ταῦτα μὲν εἶχον οὕτω.

8 Τοῦ δὲ πατριάρχου Νικολάου τοῦ Χρυσοβέργη ἐπ' ἔτεσι δυοκαίδεκα καὶ μησὶν ὀκτὼ τῇ ἀρχιερω-

σύνῃ ἐνδιαπρέψαντος, εἶτα τὸν βίον ἐκλελοιπότος, ὁ μάγιστρος Σισίννιος, ἀνὴρ λόγοις ἐντεθραμμένος, D προχειρίζεται πατριάρχης. καὶ τούτου δὲ ἐπὶ τρεῖς ἐνιαυτοὺς τὴν ἐκκλησίαν ἰθύναντος καὶ θανόντος, Σέργιος κεχειροτόνητο πατριάρχης, ὃς καθηγεῖτο μὲν τῆς τοῦ Μανουὴλ μονῆς, τῷ πατριάρχῃ δὲ Φωτίῳ κατὰ γένος προσήκων ἐτύγχανε. τοῦ Σαμουὴλ δὲ τοῦ τῶν Βουλγάρων ἐξάρχοντος οὐ τὰ Θρᾳκῶν οὐδὲ τὰ κατὰ Μακεδονίαν μόνα ληιζομένου, ἀλλὰ καὶ τὴν Ἑλλάδα καὶ αὐτήν δέ γε τὴν Πελοπόννησον, τὸν μάγιστρον Νικηφόρον τὸν Οὐρανὸν ἐκπέμπει ὁ βασιλεύς, τῆς δύσεως ἄρχοντα, ὃς παρὰ τῷ Σπερχειῷ ποταμῷ τοῦ Σαμουὴλ κατεσκηνωμένου παρὰ τῇ ἄντικρυς ἠπείρῳ ηὐλίσατο. ὅτι δ' ὗσε τότε πολλὰ καὶ ὁ ποταμὸς ἐντεῦθεν ἄπλωτος ἦν, ἀνέλ- P II 224 πιστος ἐδόκει τῷ Σαμουὴλ ἡ τῶν Ῥωμαίων ἐπέλευσις. ὁ Οὐρανὸς δὲ νυκτὸς ἀνερευνήσας, καὶ κατά τινα τόπον βατὸν κατανοήσας τὸν ποταμόν, διαβαίνει τοῦτον ἡσύχως μετὰ τῆς στρατιᾶς, καὶ ἀφροντιστοῦσιν ἐμβάλλει τοῖς περὶ τὸν Σαμουήλ, καὶ τῷ ἀδοκήτῳ καταπλαγέντες οἱ βάρβαροι ἔπιπτον μηδὲ χεῖρας ἀνταίροντες, καὶ τῷ Σαμουὴλ δὲ καὶ τῷ ἐκείνου υἱῷ Ῥωμανῷ πληγαὶ ἐπηνέχθησαν, καὶ ἑάλωσαν ἄν, εἰ μὴ τοῖς νεκροῖς συνανεμίχθησαν σώμασι, καὶ οὕτω λαθόντες διέφυγον. εἶτα καὶ ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ τῶν Βουλγάρων, καὶ τῶν ἐν Σαρδικῇ φρουρίων καταστρεψάμενος ἔνια ἐπανῆλθεν W III 179 εἰς Μοσυνούπολιν. εἷλε δὲ καὶ τὴν μεγάλην Περ- B σθλάβαν καὶ τὴν μικρὰν καὶ τὴν Πλίσκοβαν διὰ στρατηγῶν. καὶ ἡ Βέρροια δὲ παρεδόθη αὐτῷ παρὰ τοῦ Δυβρομηροῦ, προσχωρήσαντος τοῖς Ῥωμαίοις. τὰ μέντοι Σέρβια πολιορκίᾳ ἑάλω καὶ ὁ τὴν αὐτῶν

φυλακὴν ἐμπεπιστευμένος Νικόλαος, ὃν Νικολίτζαν ὡς βραχὺν τὴν ἡλικίαν ὠνόμαζον, ὃς καίτοι πατρίκιος τιμηθεὶς ἀπέδρα πάλιν καὶ πρὸς τὸν Σαμουὴλ ἀπελήλυθεν. εἶτ' αὖθις κατὰ Βιδίνης ὁ βασιλεὺς ἐξεστράτευσε, καὶ τὴν πόλιν αἱρεῖ. ἐν ὅσῳ δὲ ταύτην ἐπολιόρκει ὁ βασιλεύς, ἔπεισιν ὁ Σαμουὴλ τῇ Ἀδριανουπόλει ἀθρόον, καὶ πανηγύρεως ἐκτὸς τελουμένης τάς τε ἐμπορίας λείαν πεποίητο καὶ αἰχμαλώτων πλῆθος λαβὼν ὑπενόστησε. τὴν Βιδίνην δὲ ὑφ' ἑαυτὸν ὁ βασιλεὺς ποιησάμενος καὶ ἐπανερ- C χόμενος κατέλαβε παρὰ τῷ Ἀξιῷ ποταμῷ τὸν Σαμουὴλ αὐλιζόμενον· ὁ Βαρδάριος οὕτω παρὰ τοῖς παλαιοῖς ὠνομάζετο. πολλοῦ δὲ τοῦ ποταμοῦ ῥέοντος ἀμελῶς οἱ βάρβαροι κατεσκήνωντο· οὐ γὰρ ἄν ποτε δυνηθῆναι διαβῆναι τὸν ποταμὸν ἤλπιζον τὸ Ῥωμαϊκὸν σύνταγμα. πόρου δὲ γνωσθέντος δι' αὐτοῦ ὁ βασιλεὺς διέβη καὶ τὸ στρατόπεδον, καὶ πολλοὶ μὲν τῶν Βουλγάρων ἀπώλοντο, ὁ δὲ Σαμουὴλ διέδρα, τῆς τούτου σκηνῆς καὶ τῆς παρεμβολῆς ἁπάσης διαρπαγείσης. καὶ τὴν πόλιν δὲ τῶν Σκοπίων ὁ βασιλεὺς παρειλήφει, δοθεῖσαν αὐτῷ παρὰ Ῥωμανοῦ τοῦ υἱοῦ Πέτρου τοῦ ἄρξαντος τῶν Βουλγάρων, ᾧ ἡ ταύτης φυλακὴ παρὰ τοῦ Σαμουὴλ ἐμπεπίστευτο. εἶτα εἰς τὴν Κωνσταντίνου ἐπανελθὼν D ἐδογμάτισε τὰς τῶν ἀπολωλότων ταπεινῶν συντελείας εἰσπράττεσθαι ἐκ τῶν δυνατῶν· τοῦτο δ' ἐκλήθη ἀλληλέγγυον. πολλῶν δὲ περὶ τούτου δεηθέντων, καὶ αὐτοῦ τοῦ πατριάρχου Σεργίου, ὡς ἂν ἡ ἄδικος αὕτη σχολάσῃ καὶ παράλογος εἴσπραξις, ἦν ὁ βασιλεὺς ἀμετάπειστος. τῷ χρόνῳ γὰρ καὶ ταῖς νίκαις ἁπάντων κατεπαρθεὶς ὑπεροπτικὸς πρὸς πάντας ἐδείκνυτο, καὶ οὐκ εὐνοεῖν αὐτῷ, φοβεῖσθαι δ'

ἐβούλετο τὸ ὑπήκοον, καὶ τό τε στρατιωτικὸν τό τε πολιτικὸν οὐ πρὸς τὸ κρατῆσαν ἔθος, ὃ καὶ νόμον δοκεῖν τοῖς νομοθέταις τεθέσπισται, διεξάγειν ἤθελεν, ἀλλὰ πρὸς τὴν οἰκείαν κρίσιν καὶ τὸ θέλημα PII225 ἑαυτοῦ. διὸ οὐδὲ τῶν λογίων ἀνδρῶν ἐπεστρέφετο, ἀλλὰ καὶ τοὺς λόγους ἥγητο περιττόν τι χρῆμα καὶ οὐκ ὀνήσιμον· ὅθεν ἄνδρας ἀπολεξάμενος ἑαυτῷ οὔτε τῷ γένει οὔτε μέντοι ἐν λόγῳ τὸ ἐπίσημον ἔχοντας ἐκείνοις τάς τε βασιλείους ἐπιστολὰς ἐνεχείρισε καὶ ἐκοινώνει τῶν βουλευμάτων, καὶ αὐτὸς ἐκείνοις ἀφελῶς τὰς γραφὰς ὡς ἔτυχεν ὑπηγόρευεν. ἀλλὰ καὶ τοῖς ταμείοις ἀποφράξας τὰς διεξόδους χρημάτων ταῦτα πλήρη πεποίηκε. φασὶ γοῦν ἐς εἴκοσι μυριάδας ταλάντων χρυσοῦ ἐναποτεθησαυρίσθαι αὐτῷ. τὸν γὰρ ἄλλον χρηματισμὸν οὐκ ἄν τις ὑπ' ἀριθμὸν δύναιτο ἀγαγεῖν, ὃς τῶν ταμείων αὐτῷ πληρωθέντων ὑπὸ γῆν τὰ λοιπὰ ἐθησαύρισεν, ἕλι- B κας ὀρύξας λαβυρινθώδεις. καὶ ὑπερχειλῆ μὲν ἦσαν λίθων πολυτελῶν, τῶν τε ἄλλων καὶ τῶν λευκῶν, οἷς ἰδιάζουσα κλῆσις οἱ μάργαροι, τὰ κιβώτια. τῷ δὲ εἰς χρῆσιν οὐκ ἦσαν, ἀλλὰ βραχεῖς τινες αὐτῷ τὴν πορφύραν ἐκόσμουν, ἵν' ἔχοι τοὐπίσημον ᾗπερ ἐν προόδοις ἐκέχρητο, καὶ ὅτ' ἐχρημάτιζε πρέσβεσι καὶ ὅτε τινὰ ἄλλην δημοτελῆ ἐτέλει πανήγυριν. οἱ δ' ἄλλοι τοῖς ταμείοις ἐναποκείμενοι ἄχθος ἦσαν ἐτώσιον. ἦν δ' ἐν μὲν πολέμων καιροῖς ποικίλος τις καὶ τὴν γνώμην πρὸς τοὺς ὑπὸ χεῖρα πολυειδής, ἐν δ' ἠρεμίαις καὶ εἰρηνικαῖς καταστάσεσιν ἀρχικώτερος καὶ τὰς ὀργὰς ἐταμίευε καὶ ταύτας συνέχων C παρ' ἑαυτῷ ἐδημοσίευεν ἐν καιροῖς καὶ ἀνταπεδί- W III 180 δου τοῖς ἁμαρτήσασιν. ὧν δὲ τὴν γνώμην στερρὸς οὐ ῥᾳδίως ἠλλοίου τὰ δόξαντα. διὸ καὶ πρὸς οὓς

ἂν ἔτυχε μήνιμά τι τρέφων, οὐ ταχὺ μετήλλαττε τὸ ἦθος αὐτοῖς. ἀλλὰ ταῦτα μὲν παραστατικὰ τοῦ ἤθους τούτου τοῦ αὐτοκράτορος, ἡ δ' ἱστορία ἐχέσθω τῶν ἐπ' αὐτοῦ πεπραγμένων καὶ διηγείσθω τὰ ἐφεξῆς.

9 Ὁ τῆς Αἰγύπτου κατάρχων τὰς πρὸς Ῥωμαίους λύσας σπονδὰς τόν τε ἐν Ἱεροσολύμοις ναόν, ἐν ᾧ τὸ τοῦ κυρίου μνῆμα, κατηρείπωσε καὶ τὰ ἐκεῖ μοναστήρια. ὁ δὲ βασιλεὺς συνεχῶς τῇ Βουλγαρίᾳ προσβάλλων ἐκάκου ταύτην καὶ ἐκεράϊζε. μὴ δυνάμενος δέ γε ὁ Σαμουὴλ ἀντιπαρατάξασθαι τῷ τῶν Ῥωμαίων στρατεύματι, τάφροις τὰς εἰσόδους ἀποκλεῖσαι αὐτῷ ἐπεχείρησε, τὰς δυσχωρίας ἀποφράξας οἰκοδομαῖς καὶ φύλακας ἐπιστήσας αὐταῖς. ἦκεν D οὖν ὁ βασιλεὺς αὖθις, καὶ ἐβιάσατο μὲν τὴν πάροδον, ἀπεκρούσθη δὲ τῶν φυλάκων ἀνθισταμένων ἐρρωμενέστερον, πλὴν οὐκ ἀπέστη τῆς ἐγχειρήσεως, ἀλλ' αὐτὸς μὲν προσέμενεν ἔτι πειρώμενος τοῦ ἐρύματος, ἐκπέπομφε δὲ τῶν στρατηγῶν ἕνα μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος ἑτέρωθέν ποθεν, εἰ δύναιτο περιελθεῖν καὶ μηχανήσασθαί τι πρὸς τὴν διέλευσιν. ὁ δὲ δι' ὀρῶν καὶ δυσχωριῶν πολλῶν διελθὼν καὶ τοὺς Βουλγάρους λαθὼν ἐμπίπτει κατὰ νώτου τοῖς τοῦ ἐρύματος φύλαξιν, οἳ τῷ ἀθρόῳ περιδεεῖς γεγονότες οὐκέτι τῆς φυλακῆς ἐφρόντιζον τοῦ φραγμοῦ, ἀλλ' ὅπως αὐτοὶ τὸν ὄλεθρον φυλάξωνται περὶ πλείστου ἐτίθεντο. τότε δὴ ἀδείας τὸ Ῥωμαϊκὸν δραξάμενον στράτευμα ῥήγνυσι τὸν φραγμόν, καὶ δίεισι καὶ διώκει, καὶ πολλοὺς μὲν ἀναιρεῖ, πλείονας δέ P II 226 γε ζωγρεῖ μόλις διαδράντος τοῦ Σαμουήλ. ὅ γε μὴν βασιλεὺς τοῖς δοριαλώτοις εἰς πεντεκαίδεκα χιλιάδας ἀριθμουμένοις ἐξέκοψε πᾶσι τὰ ὄμματα, ἐφ' ἑκάστῃ

ἑκατοστύϊ ἕνα καταλιπὼν ἑτερόφθαλμον, ἵν᾽ εἴη τούτοις χειραγωγός, καὶ οὕτως αὐτοὺς ἀπιέναι κελεύει πρὸς τὸν σφέτερον ἀρχηγόν. οὓς ἐκεῖνος ἰδὼν καὶ τὸ πάθος μὴ ἐνεγκών, ἰλιγγιᾷ τε καὶ εἰς γῆν λειποθυμῶν καταβάλλεται, μικρὸν δέ τι ἀνενεγκὼν καρδιωγμῷ περιπίπτει καὶ θνήσκει. ἡ δὲ τῶν Βουλγάρων ἡγεμονία τῷ υἱῷ αὐτοῦ τῷ Γαβριὴλ τῷ καὶ Ῥωμανῷ περιῆλθεν, ὃν οὔπω ἐνιαυτὸν ἄρξαντα ὁ υἱὸς τοῦ πατραδέλφου αὐτοῦ Ἀαρὼν ὁ Βλαδισθλάβος Ἰωάννης, διώνυμος γὰρ καὶ οὗτος ἦν, ἀπέκτεινε.
B διελθὼν δὲ τὸ ἐν ταῖς δυσχωρίαις ἔρυμα ὁ αὐτοκράτωρ, ὡς εἴρηται, ἄλλα τε φρούρια ἐχειρώσατο ἐρυμνὰ καὶ τοὺς ἐν αὐτοῖς Βουλγάρους, καὶ ἧκεν εἰς Μοσυνούπολιν, ὅπου αὐτῷ ἡ τοῦ Σαμουὴλ τελευτὴ ἀπηγγέλη. ἄρας οὖν αὐτίκα προσβάλλει τῇ Βουλγαρίᾳ, καὶ πόλεις τε αὐτῆς αἱρεῖ καὶ φρούρια. ὁ δέ γε τοῦ Σαμουὴλ υἱὸς ὁ Ῥωμανός τε καὶ Γαβριήλ, οὔπω γὰρ ἀνῄρητο, πέμψας πρὸς τὸν βασιλέα δούλωσιν ὑπισχνεῖται· μετὰ δέ τινα καιρὸν τοῦ τὸν Γαβριὴλ ἀνελόντος Ἰωάννου τοῦ Βλαδισθλάβου θεράπων ἀφίκετο, εὐαγγελιζόμενος τὴν ἀναίρεσιν τοῦ υἱοῦ τοῦ Σαμουὴλ καὶ γράμματα κομίζων ἐπαγγελ-
C λόμενα τῷ βασιλεῖ δούλωσιν. προσερρύησαν δὲ αὐτῷ καὶ πολλοὶ τῶν ἐπισήμων παρὰ Βουλγάροις. γνοὺς μέντοι τὸν Βλαδισθλάβον ὁ βασιλεὺς οὐ κατὰ τὰς ἐπαγγελίας διανοούμενον, ἐπῆλθεν αὖθις τῇ Βουλγαρίᾳ, καὶ πολλὰς μὲν αὐτῆς ἐληίσατο χώρας, τὴν δὲ τῆς Ἀχρίδος πόλιν, ἐν ᾗ τὰ βασίλεια τοῖς τῶν Βουλγάρων ᾠκοδόμηντο ἀρχηγοῖς, πολιορκίᾳ λαβὼν καὶ ἕτερα φρούρια διὰ στρατηγῶν, ἐπανέζευξεν εἰς τὴν Κωνσταντίνου. καὶ αὖθις δὲ κατὰ Βουλγάρων ἐστράτευσε, καὶ αὖθις φρούριά τε καὶ πολλοὺς τῶν

βαρβάρων τοὺς μὲν διέφθειρε, τοὺς δὲ συνέσχε ζω-
ούς. ὁ δὲ τῶν Βουλγάρων ἄρχων ὁ Ἰωάννης καὶ
Βλαδισθλάβος κατὰ τοῦ Δυρραχίου ἐξώρμησε, καὶ
πολιορκῶν αὐτὸ πίπτει, ἄρξας ἔτη δύο καὶ μῆνας D
πέντε. ὃ μαθὼν ὁ βασιλεὺς εὐθὺς ἔξεισι, καὶ περὶ
τὴν Ἀδριανούπολιν γενομένῳ προσίασιν αὐτῷ τῶν W III 181
Βουλγάρων ἐπιφανεῖς τινες, παραδιδόντες αὐτῷ τὸν
Πέρνικον καὶ ἕτερα φρούρια πέντε καὶ τριάκοντα,
καὶ ἄλλοι δὲ πολλοὶ τῶν βαρβάρων τούτων αὐτῷ
προσερρύησαν. καὶ ἡ γυνὴ δὲ τοῦ Ἰωάννου καὶ
Βλαδισθλάβου Μαρία ἔπεμψε πρὸς τὸν βασιλέα τὸν
ἀρχιεπίσκοπον Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων
ἐκστῆναι τῆς Βουλγαρίας ὑπισχνουμένη, εἰ ὧνπερ
βούλεται τεύξεται. καὶ μετὰ μικρὸν ἧκεν ἡ γυνὴ
πρὸς τὸν αὐτοκράτορα, υἱοὺς ἐπαγομένη τρεῖς καὶ
θυγάτρια ἕξ, καὶ ἕτεροι δὲ τρεῖς ταύτης υἱοὶ φυγά-
δες ἐγένοντο ἐν τοῖς ὄρεσιν, ἀλλὰ κἀκεῖνοι τῶν
ὀρῶν φυλαττομένων βιασθέντες προσῆλθον τῷ βα-
σιλεῖ· ἦσαν δ' οὗτοι ὁ Προυσιανὸς καὶ ἄμφω οἱ
ἀδελφοὶ αὐτοῦ, ὧν τὸν μὲν Προυσιανὸν ἐτίμησε
μάγιστρον, πατρικίους δὲ τοὺς λοιπούς. ὑφ' ἑαυτὸν P II 227
οὖν τὴν ἅπασαν Βουλγαρίαν πεποιηκὼς καὶ τὰ μὲν
τῶν φρουρίων καταστρεψάμενος, τὰ δὲ κατοχυρώ-
σας καὶ φρουρὰς αὐτοῖς ἀρκούσας καταλιπών, αὐτὸς
εἰς Ἀθήνας ἀφίκετο, θύσων τῇ θεοτόκῳ τὰ χαρι-
στήρια, καὶ ἀναθέμενος τῷ ναῷ πολλὰ καὶ πολυ-
τελῆ ἐπανέζευξεν εἰς τὴν ὑπερκειμένην τῶν πόλεων
καὶ κατήγαγε θρίαμβον, τιάρᾳ ταινιωθεὶς ὀρθίᾳ, ἣν
τούφαν καλεῖ ὁ δημώδης καὶ πολὺς ἄνθρωπος, τῦ-
φον, οἶμαι, ὠνομασμένην, ὡς τετυφῶσθαι ποιοῦσαν
τοὺς ταύτῃ ἀναδουμένους, καὶ οὕτως ἄχρι τῆς τοῦ
θεοῦ λόγου Σοφίας ἀφίκετο, ἀποδοὺς ἐν ταύτῃ τῷ

κυρίῳ τὰ χαριστήρια. ἔνθα γενόμενον ὁ πατριάρχης πολλὰ ἱκετεύσας ἐκκόψαι τὸ ἀλληλέγγυον οὐ B κατεδυσώπησε, καὶ ταῦτα ὑποσχόμενον τοῦτο ποιήσειν, εἰ τῶν Βουλγάρων κρατήσειεν. οὗτος ὁ πατριάρχης Σέργιος τὴν ἐκκλησίαν ἐπὶ εἴκοσι ποιμάνας ἔτη, μετέθετο τὴν ζωήν, καὶ προεχειρίσθη τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας ἀρχιερεὺς Εὐστάθιος, ὃς τοῦ ἐν τῷ παλατίῳ ναοῦ ἱερέων ἐπρώτευε. τῆς Βουλγαρίας δὲ δουλωθείσης τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ καὶ τὰ τῶν Χορβάτων ἔθνη ὑπέκυψαν, ἀλλὰ μὴν καὶ τὸ Σίρμιον. εἶτα κατὰ Ἀβασγίας ἐκστρατεύει ὁ βασιλεύς, τοῦ ταύτης κρατοῦντος παρασπονδήσαντος. ἐκεῖ δὲ τούτου γεγονότος, ὄπισθεν ἀποστατοῦσιν ὅ τε Ξιφίας καὶ Νικηφόρος ὁ υἱὸς Βάρδα τοῦ Φωκᾶ οἱ πατρίκιοι, ἀλλὰ ταχέως ἡ τού- C των ἐσβέσθη ἀποστασία, τοῦ μὲν Ξιφία τὸν Φωκᾶν ἀνελόντος, αὐτοῦ δὲ συλληφθέντος καὶ δεσμίου ἀπαχθέντος εἰς τὴν τῶν πόλεων βασιλεύουσαν. ἄρτι δὲ τὰς περὶ τῆς τυραννίδος ταύτης φροντίδας ὁ βασιλεὺς ἀποσκευασάμενος συρρήγνυται τοῖς Ἀβασγοῖς, καὶ μάχης ἰσχυρᾶς γενομένης ἔπεσον πολλοὶ ἀμφοτέρωθεν καὶ ἦν ἰσόρροπος ὁ ἀγών, εἶτ' αὖθις κροτηθέντος πολέμου νικῶσι Ῥωμαῖοι, καὶ ὁ τῶν Ἀβασγῶν ἡγεμὼν Γεώργιος εἰς τὰ τῆς Ἰβηρίας ἀπέδρα βαθύτερα, καὶ μετὰ βραχὺ σπονδὰς αἰτήσας ἐξέστη τῷ βασιλεῖ χώρας ὁπόσης ὁ αὐτοκράτωρ ἐβούλετο, εἰς ὁμηρείαν παρασχὼν Παγκράτιον τὸν υἱὸν αὐτοῦ, καὶ ταῦτα διανύσας ὁ βασιλεὺς ἐπανέζευξεν. D ἦν δὲ διὰ μελέτης αὐτῷ καὶ πρὸς Σικελίαν ἀπᾶραι, ἀλλ' οὐκ εἰς ἔργον αὐτῷ προέβη τὸ βούλευμα· ἤδη γὰρ αὐτῷ πρὸς τέλος κατήντησε τὸ βιώσιμον καὶ ἐνοσηλεύετο. πρὸ βραχέος δὲ τοῦ αὐτὸν ἐκλιπεῖν ὁ

πατριάρχης Εὐστάθιος θνήσκει, προστὰς τῆς ἐκκλησίας τῶν ὀρθοδόξων ἐπ' ἔτεσιν ὀκτώ. τοῦ βασιλέως δὲ νοσοῦντος Ἀλέξιος ὁ τότε τὴν προστασίαν ἔχων τῆς τοῦ Στουδίου μονῆς πρὸς τὸν βασιλέα ἀφίκετο, τὴν ἱερὰν κάραν τοῦ τιμίου Προδρόμου κομίζων αὐτῷ, καὶ αὐτίκα τοῦτον ὁ βασιλεὺς πατριάρχην προεχειρίσατο, κατὰ τὴν ἑσπέραν ἐκείνην καὶ τὴν ζωὴν ἐκλιπών, ζήσας μὲν καὶ βασιλεύσας χρόνους ἑβδομήκοντα ἐπὶ δυσίν, αὐταρχήσας δὲ ἐπὶ πεντήκοντα καὶ πρὸς ἔτεσι· τοὺς γὰρ ἄλλους συνεβασίλευσε τῷ πατρί, εἶτα τῷ Φωκᾷ, καὶ μετ' ἐκεῖνον τῷ Τζιμισκῇ.

Τέθνηκε μὲν οὖν γηραιὸς ὁ Βασίλειος, τῆς δ' W III 182
ἐξουσίας εὐθὺς ὁ ἐκείνου σύγγονος ἐπελάβετο, τὸν 10
Κωνσταντῖνόν φημι, μικρόν τι ἐκείνου κατὰ τὸν P II 228
χρόνον τῆς ζωῆς ἐλαττούμενος. ῥαθύμου δὲ πεφυκὼς ἤθους καὶ ἀνειμένου ἢ καὶ εἰς ἕξιν ἐλθὼν βίου ἀργοῦ, οὐδὲ γὰρ ἐκοινώνει αὐτῷ βασιλείου τινὸς ὁ σύγγονος πράξεως, καὶ αὐταρχήσας τοιαύτην εἶχε διαγωγήν, ὑπ' ἄλλοις μὲν τὴν τῶν κοινῶν διοίκησιν θέμενος, καὶ τούτοις οὐ τοῖς ἑαυτῶν ἤδη παρασχομένοις δοκίμιον, ἀλλ' ἀνδράσιν οὐχ ὅτι τῶν εὖ γεγονότων, ἀλλ' οὐδ' ἐλευθέρας τύχης τυγχάνουσιν, ἐθνικοῖς δὲ καὶ μὴ δυναμένοις ὀρθοεπεῖν, ἀλλ' ἀκριβῶς βαρβαρίζουσιν. ἐκεῖνος δὲ τρυφαῖς ἐξέδωκεν ἑαυτόν· ἥττητο γὰρ γαστρὸς καὶ ἀφροδισίων καὶ ἐμεμήνει περὶ τοὺς κύβους τε καὶ τὰ θέατρα, ἀλλὰ μέντοι καὶ περὶ τὰ κυνηγέσια. ἦν δ' εὐμεγέθης μὲν τὸν ὄγκον τοῦ σώματος καὶ τὴν ἀλκὴν γενναιότατος, B
δειλὸς δὲ τὴν ἕξιν τὴν ψυχικήν, ὅθεν οὐδὲ πολέμοις κατευνάζειν ἔκρινε τὰς τῶν βαρβάρων ὁρμάς, δωρεαῖς δὲ μᾶλλον καὶ ἀξιώμασι. τοὺς δ' ὑπηκόους

καὶ ἐκ ψιλῆς ὑπονοίας ἐκόλαζε, καὶ διαβολαῖς ῥᾳδίως ὑπεῖχε τὸ οὖς, καὶ πρὸς θυμὸν ὑπῆρχεν ὀξύῤῥοπος, οὐ κατὰ τὸν ἀδελφὸν δ' ἐμηνία, οὐδ' ἐνέμενε τῇ ὀργῇ, ἀλλὰ ῥᾷον εἰς τὴν ἀντίῤῥοπον διάθεσιν μετετίθετο καὶ ἠνιᾶτο κακῶς τινα διαθέμενος. πολλοὺς δὲ τιμωρούμενος τοῦ φωτὸς ἐστέρει τοὺς πλείονας, ἐκκόπτων σφίσι τὰ ὄμματα καὶ κουφοτέραν τῶν ἄλλων ταύτην τὴν κόλασιν ἔκρινε, καὶ ταύτῃ ἐκέχρητο μᾶλλον, ὡς ἀπράκτους ποιούσῃ τοὺς [C] *καταδικαζομένους αὐτῇ. γυναικὶ δὲ νέος ὢν συζυγεὶς Ἑλένῃ τῇ θυγατρὶ Ἀλυπίου, ἀνδρὸς τῶν ὑπὲρ λίαν τότε τυγχάνοντος, τρία ἐξ ἐκείνης ἔσχε θυγάτρια, καὶ τὴν μὲν θανάτῳ ἀπέβαλεν, αἱ δὲ παῖδες αὐτῷ ἐν τοῖς βασιλείοις ἦσαν τρεφόμεναι. ὧν ἡ μὲν πρεσβυτέρα Εὐδοκία λοιμικῷ τὸ κάλλος λωβηθεῖσα νοσήματι, θελήματι τῷ θεῷ καθιέρωτο· αἱ δέ γε λοιπαὶ ἦσαν παρὰ τῷ πατρὶ αὐταρχήσαντι, μηδέν τι περὶ αὐτῶν πατρὶ προσῆκον λογισαμένῳ. τὴν χεῖρα δ' ὢν ἐλευθέριος οὐκ ὀρθῶς ἐχρῆτο τῇ ἀρετῇ, ὅθεν καὶ εἰς τὰς ἀντιθέτους κακίας ἐξέπιπτε. τοῖς μὲν γὰρ περὶ αὐτόν, οἳ βάρβαροι ἦσαν, ἀνδράποδα, ἅπερ αὐτὸς ἐκτήσατο καὶ ἐξέτεμε καὶ θαλαμηπόλους καὶ* [D] *κατευναστῆρας ἐκέκτητο, ὃς καὶ τιμῶν καὶ ἀρχῶν τῶν πρώτων ἠξίωσεν, ἁμάξαις ὅλαις ἐχορήγει τὰ χρήματα, τοῖς δ' ἄλλοις πεφεισμένως ἄγαν τὴν χεῖρα προέτεινε. τὰ μὲν οὖν τῆς γνώμης οὕτως εἶχε τούτῳ τῷ αὐτοκράτορι. τὰ δ' ἐκτὸς συμπεσόντα διεξίτω ὁ λόγος. οἱ Πατζινάκαι, Σκύθαι δ' οὗτοι ὡς ἔμπροσθεν εἴρηται, διαβάντες τὸν Ἴστρον, τῇ χώρᾳ τῆς Βουλγαρίας οὐ μικρῶς ἐλυμήναντο. ἀλλὰ τούτοις ἀντεπελθὼν Κωνσταντῖνος ὁ Διογένης ὁ τοῦ Σιρμίου κρατῶν, ὃς καὶ δοὺξ ὠνομάσθη τῆς Βουλγα-*

ρίας, ἐτρέψατό τε αὐτοὺς καὶ ἠρεμεῖν ἠνάγκασε τὸν Ἴστρον διαπεράσαντας. τοῦ βασιλέως δὲ Βασιλείου θανόντος δύο ἐνιαυτῶν ἦσαν φόροι ἀνείσπρακτοι· ἐδίδου γὰρ ἐκεῖνος ὑπέρθεσιν ταῖς εἰσπράξεσι, φειδόμενος τῶν ὑποτελῶν, οὗτος δὲ τὰ τῶν παρελθόντων ἐνιαυτῶν καὶ τὰ τῶν ἐφ' οἷς αὐτὸς ἦρξε τριῶν ὄντων ἀσυμπαθῶς εἰσεπράξατο, καὶ ταῦτα αὐχμοῦ P II 229 συμβάντος πολλοῦ ἐφ' ὅλῳ τῷ χρόνῳ τῆς βασιλείας αὐτοῦ· ὅθεν οἱ πένητες ἐξετρίβησαν. στόλον δὲ τῶν Ἀγαρηνῶν κατὰ τῶν λεγομένων Κυκλάδων νήσων ἐκπεπλευκότα ὁ τῆς Σάμου στρατηγὸς κατηγωνίσατο, δώδεκα μὲν νῆας αὐτάνδρους ἑλών, τὰς δὲ λοιπὰς σκεδασθῆναι πεποιηκώς. ἤδη δ' ἐς γῆρας ἐλάσας ὁ αὐτοκράτωρ βαθύ, καὶ τῷ ἐκ τούτου μαρασμῷ καὶ νόσον τινὰ συνεισπεσοῦσαν τῷ σώματι W III 183 ἐσχηκώς, περὶ τοῦ διαδεξομένου τὸ κράτος ἐσκέπτετο. ἔγνω τοίνυν τὸν πατρίκιον Κωνσταντῖνον τὸν Δαλασσηνὸν ἐπὶ μιᾷ τῶν θυγατέρων κηδεστὴν ποιήσασθαι καὶ τῆς βασιλείας διάδοχον, καὶ στέλλει τὸν αὐτὸν ἄξοντα, ἐν τῷ τῶν Ἀρμενιακῶν θέματι τὴν κατοικίαν ποιούμενον· ἀλλὰ μήπω τοῦ ἀνδρὸς ἐκεί- B νου ἀφικομένου ἑτέρας γίνεται γνώμης ὁ Κωνσταντῖνος, καί τινα τῶν ἐν τέλει ἄνδρα εὐγενέτην τε τὰ ἐξ αἵματος καὶ ἀνηγμένον εἰς τὴν τοῦ ἐπάρχου ἀρχὴν αἱρεῖ πρὸς τὴν διαδοχὴν καὶ πρὸς κῆδος τῶν θυγατέρων μιᾶς. ἀλλ' εἶχέ τι πρὸς ἔκβασιν ἡ αἵρεσις πρόσαντες· γυναικὶ γὰρ ὁ λαμπρὸς ἐκεῖνος συνεβίου ἀνήρ· ἦν δ' οὗτος ὁ κατὰ τοὺς Ἀργυροὺς Ῥωμανός. τί γοῦν πρὸς τοῦτο μηχανᾶται ὁ βασιλεύς; σκήπτεται κατὰ τοῦ ἀνθρώπου χόλον καὶ τοῦτον ἐπαχθῆ τε καὶ βίαιον, καὶ στέλλει τοὺς ἐκεῖνον μὲν ἐπὶ κολάσει ἀπάξοντας, τῇ δ' αὐτῷ συνοικούσῃ

κεροῦντας τὴν τρίχα καὶ ἐφ' ἑτέραν ζωὴν μεταστήσον- C τας. ἡ δὲ τὸ σκηνουργούμενον ἀγνοήσασα ἑτοίμως ἑαυτὴν παρέσχε πρὸς τὴν τοῦ βίου ἀπαλλαγήν· ἡ μὲν οὖν τὴν κόμην τε ἀπετμήθη καὶ μέλανα μετημφίαστο, ὁ δὲ μετήχθη πρὸς τὰ βασίλεια, καὶ ἡ δευτέρα τῶν θυγατέρων τοῦ Κωνσταντίνου συζεύγνυται αὐτῷ πρὸς συμβίωσιν. ἡ γὰρ τρίτη διὰ τὸ τὴν ἐκείνου εὐνέτειραν ἄκουσαν διαζυγῆναι αὐτοῦ παραιτήσασθαι τὴν μετ' αὐτοῦ συμβίωσιν λέγεται. καὶ ὁ μὲν συνήρμοστο τῇ Ζωῇ, ὁ δὲ βασιλεὺς Κωνσταντῖνος τρεῖς ἐπιβιοὺς ἡμέρας τῇ συνοικήσει αὐτῶν ἀπέτισε τὸ χρεών, ἑβδομηκοντούτης καὶ πρὸς γεγονώς, ἐνιαυτοὺς δὲ τρεῖς ἑνὸς ἐνδέοντος μηνὸς τῆς βασιλείας κατορχησάμενος.

11 Ῥωμανὸς δὲ λοιπόν, ὃς Ἀργυρόπωλος ἐκαλεῖτο, D τῶν σκήπτρων ἐπιλαμβάνεται καὶ αὐτίκα τὸ ἀλληλέγγυον φορολόγημα ῥιζόθεν ἐξέκοψε, καὶ τοῖς τοῦ θεοῦ ὑμνῳδοῖς τοῖς τῇ μεγάλῃ ἐκκλησίᾳ κεκληρωμένοις τὴν ἐκ τῶν βασιλείων ταμείων χορηγουμένην τῶν χρυσίνων διανομὴν προσθήκῃ ἐπηύξησεν, εἰδὼς ἐνδεῶς αὐτοῖς ἔχειν τὰ χορηγούμενα. γέγονε γάρ ποτε τῆς τοῦ θεοῦ λόγου ἐπωνύμου Σοφίας μέγας οἰκονόμος, ἐπεὶ τῷ βασιλεῖ ἀνεῖτο πρόσθεν οἰκονόμον τῆς ἐκκλησίας ταυτησὶ προχειρίζεσθαι, καὶ τοὺς διὰ χρέα δημόσια καθειργμένους ἢ καὶ ἰδιωτικὰ ἠλευθέρωσε, τὰ μὲν ἀποτιννύς, τὰ δὲ δημόσια ἀφιείς, καὶ χρημάτων πολλῶν διάδοσιν ἐποιήσατο ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ πενθε- P II 230 ροῦ αὐτοῦ καὶ αἰχμαλώτους πλείστους ἐπρίατο, καὶ ὅσοι τῶν ἐπισκόπων ἐκ τοῦ ἀλληλεγγύου φορολογήματος εἰς ἔνδειαν συνηλάθησαν, παρ' αὐτοῦ ἀνεκτήθησαν, καὶ τοὺς κακωθέντας παρὰ τοῦ τελευτήσαντος βασιλέως ἢ ἐν πηρώσεσι μελῶν ἢ ἐν δημεύ-

σεσιν οὐσιῶν ἢ ἀλλοίως παρεμυθήσατο. ὑποπτευθεὶς δὲ ὁ μάγιστρος Προυσιανὸς ὁ Βούλγαρος λάθρα τῇ τῆς Αὐγούστης Ζωῆς ἀδελφῇ τῇ Θεοδώρᾳ κοινολογεῖσθαι καὶ τῇ βασιλείᾳ ἐποφθαλμεῖν, συλλαμβάνεται καὶ φρουρεῖται, εἶτα καὶ πηροῦται τοὺς ὀφθαλμούς, καὶ ἡ Θεοδώρα εἰς τὸ Πετρίον περιορίζεται, καὶ ὁ ἐπ' ἀδελφιδῇ δὲ τοῦ βασιλέως γαμβρὸς Κωνσταντῖνος ὁ Διογένης, ὡς τυραννίδα μελετῶν B κατηγορηθείς, δεσμευθεὶς ἐν πύργῳ καθείργνυται. τοῦ μέντοι τῆς Ἀβασγίας ἡγεμονεύοντος Γεωργίου θανόντος ἡ τούτου σύζυγος σπονδὰς ἐζήτησε καὶ σύνοικον τῷ υἱῷ. καὶ ὁ βασιλεὺς τάς τε σπονδὰς ἀνεκαίνισε καὶ τὴν παῖδα Βασιλείου τοῦ ἀδελφοῦ αὐτοῦ τὴν Ἑλένην νύμφην εἰς Ἀβασγίαν ἀπέστειλε, τὸν νυμφίον Παγκράτιον κουροπαλάτην τετιμηκώς. ὁ δὲ βασιλεὺς κατὰ τοῦ Χάλεπ ὁρμῆσαι, ὃ καὶ Βέρ- W III 184 ροια λέγεται, ἠβούλετό τε καὶ ἡτοιμάζετο. πολλὰς γὰρ τῶν πόλεων τῆς τε Φοινίκης καὶ τῆς Συρίας τοῦ Νικηφόρου καὶ τοῦ Ἰωάννου τῶν βασιλέων ὑπαγαγόντων τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ, ὁ μετ' ἐκείνους Βασίλειος σχολάζων ταῖς κατὰ Βουλγάρων C μάχαις καιρὸν οὐκ ἔσχε τὰς ἑαλωκυίας ἀσφαλίσασθαι πόλεις· αἱ δ' ὅμως, μέχρι μὲν περιῆν ἐκεῖνος, οὐκ ἐτόλμων εἰς προὖπτον τὸν τῆς δουλείας ζυγὸν ἀποσείσασθαι. τοῦ δὲ Κωνσταντίνου τῶν σκήπτρων ἐπειλημμένου καὶ ἀνειμένως τὴν βασιλείαν ἰθύνοντος, οἱ τῆς Ἄγαρ ἀπόγονοι τοῦτον εἶναι τὸν καιρὸν γνόντες πρὸς τὸ μελετώμενον αὐτοῖς ἐπιτήδειον, τοῖς τῶν πόλεων φρουροῖς ἐπιτίθενται, καὶ τούτους διαχειρισάμενοι αὐτοὶ τῶν πόλεων γεγόνασιν ἐγκρατεῖς. ὁ δὲ τοῦ Χάλεπ ἀρχηγὸς καὶ ἐκδρομὰς ποιούμενος συνεχεῖς αὐτήν τε τὴν Ἀντιόχειαν καὶ ὅσα

πρόσοικα ἔθνη τῇ Σύρων γῇ καὶ τοῖς Ῥωμαίοις D ὑπήκοα ἐλπίζετο. ᾧ ἀντιπαραταξάμενος ὁ τῆς Ἀντιοχείας δούξ, ἔτι περιόντος τοῦ αὐτοκράτορος Κωνσταντίνου, αἰσχρῶς ἡττήθη, καὶ τοὺς πλείους τῶν σὺν αὐτῷ ἀποβεβληκὼς μόλις ἠδυνήθη φυγεῖν ἐκεῖνος. τοῦτον ὁ Ῥωμανὸς ἀφελόμενος τὴν ἀρχὴν προεχειρίσατο ἕτερον· ἐξώρμησε δὲ κἀκεῖνος, καὶ ἀπιόντι προσίασι πρέσβεις μετὰ δώρων πολυτελῶν πρὸς τοῦ Χαλεπίτου ἀπεσταλμένοι, αἰτούμενοι συγγνώμης τυχεῖν καὶ τὴν δουλείαν ἀνανεώσασθαι καὶ ἀποδοῦναι τὰς εἰσφοράς, αἵπερ ἔτυχον ὑστερήσασαι, καὶ ταύτας ἐτησίως εἰσφέρειν μετ' εὐγνωμοσύνης εἰς τὸ ἐπιόν. ὁ δέ, καίτοι πολλῶν καὶ στρατηγίαις ἐπιφανῶν ἀποτρεπόντων αὐτῷ τὴν εἰς τὰ πρόσω φορὰν ὡς ἀσύμφορον καὶ σπείσασθαι συμβουλευόντων, οὐκ ἀνείργετο τῆς ὁρμῆς, ἀλλὰ ῥᾷον PII231 κρατῆσαι τῶν Ἀγαρηνῶν ἐφαντάζετο, καὶ τοῦτο κατωρθωκὼς μέγα τι καὶ ὑπέρογκον ᾤετο ἑαυτῷ περιποιήσασθαι σεμνολόγημα. ἄπεισιν οὖν ἐν Συρίᾳ καὶ βάλλεται χάρακα. Ἄραβες δέ, αὐτόσκευοί τινες ἄνθρωποι καὶ τολμητίαι κέλητες, ἐφ' ἵππων ὠκυπόδων γυμνοὶ ἑκατέρωθεν ἐλόχων τοῦ χάρακος, καὶ τοὺς εἰς συλλογὴν ἀπιόντας χιλοῦ ὕδατός τε ἀρδείαν ἐκθορόντες ἀνῄρουν ἢ καὶ συνήρπαζον, ὡς τούς τε στρατιώτας καὶ τὴν ἵππον αὐτῶν ἀπειρηκέναι τῷ δίψει. εἶτα συνηθέστεροι γεγονότες ταῖς ἐκδρομαῖς πρὸς τοὺς Ῥωμαίους οἱ Ἄραβες καὶ οἷον καταγνόντες δειλίαν αὐτῶν, ἀθρόον ἀπὸ τῶν μετεώρων ἐξωρμηκότες καὶ βαρβαρικὸν ἀλαλάξαντες, καὶ πλήθους φαντασίαν ἀπεργασάμενοι τῷ μὴ συνα-B σπισμὸν τηρεῖν, ἀλλὰ διεσπασμένως ἐκτρέχειν καὶ ἐπιέναι ἀσυντάκτως τῷ χάρακι, ἐκδειματοῦσιν ἅπαν

τὸ στρατιωτικὸν καὶ εἰς φυγὴν τρέπουσι, καὶ κἂν
ἑάλω καὶ ὁ αὐτοκράτωρ αὐτός, τῆς περὶ αὐτὸν ἐκ-
ταραχθείσης φρουρᾶς καὶ λελοιπυίας ἀφρούρητον
τὸν φρουρούμενον, εἰ μή τις αὐτὸν ἐπὶ τὸν ἵππον
ἀνέβαλε καὶ φεύγειν ἐπέρρωσεν ἐκπεπνευκότα τῷ
δέει μικροῦ. ἀπῄεσαν μὲν οὖν οἱ Ῥωμαῖοι ἀτάκτως
ὡς ἕκαστος ἔτυχε θέοντες. οἱ δὲ βάρβαροι τὸ παρά-
λογον τῆς τροπῆς τεθηπότες, κατὰ τῶν ἀποδιδρα-
σκόντων οὐκ ἐπεξέθεον, ἀλλὰ κατὰ τοῦ χάρακος
ἔθεον, ὀλίγους τῶν ἐπιφανεστέρων ζωγρήσαντες,
καὶ τήν τε σκηνὴν διηρπάκασι τὴν βασίλειον, μεστὴν C
οὖσαν πλούτου παντοδαποῦ καὶ πολυτελείας βασι-
λικῆς, καὶ τὴν ἄλλην ἀποσκευὴν ἐφ' ἑαυτοὺς ἀνα-
θέμενοι ἐπανέζευξαν.

Ὁ δὲ βασιλεὺς εἰς Ἀντιόχειαν διασέσωστο σπου- 12
δῇ τῶν περὶ αὐτόν, κἀκεῖθεν ἐπὶ τὴν Κωνσταντί-
νου ἀνέδραμεν, οὐκέτι τὴν πρόσθεν τῆς ψυχῆς δει-
κνύων διάθεσιν, ἀλλ' ἀλλοιωθεὶς τὴν ἐπὶ τὸ χεῖρον
ἀλλοίωσιν. ἵνα γὰρ τῶν ἀπολωλότων ἰσοστάσια
κτήσηται, πράκτωρ ἀντὶ κρατοῦντος ἐγένετο καὶ πι-
κρὸς λογιστής, παῖδας πατέρων γεγηρακότα χρέα
πραττόμενος καὶ πυρκαϊὰς ἀνάπτων κατὰ τῶν ὑπη-
κόων, ἅσπερ ὁ χρόνος ἤδη πολὺς πρεσβεύσας κα- W III 185
τέσβεσεν ἢ τέως κατέχωσεν ὑπὸ σποδιᾷ. ἐντεῦθεν D
πολλοὶ πατρῴων οἰκιῶν καὶ ἀγρῶν ἀπηλαύνοντο καὶ
τὴν πρὶν εὐκληρίαν ἐκδιδυσκόμενοι εἰς πενίαν λαμ-
πρὰν συνηλαύνοντο. τῶν δ' οὕτως εἰσπραττομένων
οὐδὲν εἰς τὸ δημόσιον εἰσεφέρετο, ἀλλὰ σεμνεῖον
οἰκοδομῆσαι καὶ ναὸν τῇ θεομήτορι προθέμενος κα-
θιδρύσασθαι ἐκεῖ καὶ ταῦτα κατεδαπάνα καὶ ἐκ
τῶν βασιλικῶν θησαυρῶν ἀνήλισκεν ἕτερα, ἄρτι μὲν
ἀνεγείρων, ἄρτι δὲ καταστρέφων τὸ ἤδη ἀνεγερθὲν

*καὶ ἢ μετεωρότερον ἀνοικοδομῶν αὖθις αὐτὸ ἢ εὐ-
ρύτερον ἢ τὸν σχηματισμὸν ποικίλλων ἢ τρόπον ἄλ-
λον τὸ καινιζόμενον ἀλλοιῶν. ἀπένειμε δὲ καὶ προσ-
όδους τοῖς μονασταῖς, οὐκ ἀναλόγους μονάζουσιν,
ἀλλὰ τρυφῶσι προσηκούσας καὶ βίον ἕλκουσιν ἀνει-*
P II 232 *μένον καὶ ἁβροδίαιτον, χώρας ὅλας τῶν δημοσίων,
καὶ ταύτας τὰς πιοτάτας καὶ παμφόρους, ἀφοσιώσας
αὐτοῖς. ἀλλὰ μὴ πλείω περὶ τούτων. κατέλαβε δὲ
τὴν βασιλίδα τῶν πόλεων Ἄμερ ὁ τοῦ Χαλεπίτου
υἱὸς σὺν δώροις πολλοῖς, τὴν εἰρήνην ἀνανεούμε-
νος, καὶ ὁ βασιλεὺς ἐπὶ ταύτῃ ἐπένευσεν. ἡ βασιλὶς
δὲ Ζωὴ ἀφικομένη εἰς τὸ Πετρίον τὴν ἑαυτῆς ἀδελ-
φὴν Θεοδώραν ἀπέκειρε μοναχήν. ἐκδημήσαντος δὲ
τοῦ βασιλέως τῆς πόλεως ὁ Διογένης Κωνσταντῖνος
ὡς τυραννίδα μελετῶν καὶ ἀποδρᾶναι μέλλων εἰς τὸ
Ἰλλυρικὸν κατεσχέθη, καὶ ἐταζόμενος ἑαυτὸν κατε-
κρήμνισε καὶ ἀπέθανεν, ἵνα μὴ τοὺς συνειδότας
ἐκφανίσῃ τῇ βίᾳ νικώμενος. τότε μέντοι Ἄραβες*
B *μὲν τὴν Μεσοποταμίαν κατέδραμον, οἵ δέ γε Πατζι-
νάκοι τὴν Βουλγαρίαν καὶ τὴν τοῦ Ἰλλυρικοῦ παρά-
λιον οἱ Ἀγαρηνοί. τούτοις δὲ μόνοις στόλος Ῥω-
μαϊκὸς προσβαλὼν τὰ πλείω τῶν σκαφῶν ἐνέπρησε
καὶ κατέκαυσεν· οἱ δ᾽ ἐκ τῆς ναυμαχίας ἀποδιδρά-
σκοντες κλύδωνι περὶ τὸ Σικελικὸν διεφθάρησαν
πέλαγος. καὶ αὖθις ἐξ Ἀφρικῆς περί που τὰς χιλίας
νῆες ἐξέπλευσαν, καὶ πολλὰς τῶν νήσων ἔνιά τε
τῶν παραλίων ἐδῄωσαν. ἀλλὰ τῇ τούτων μοίρᾳ
περιτυχοῦσαι νῆες Ῥωμαϊκαὶ πολλοὺς ἀνεῖλον καὶ
πεντακοσίους εἷλον ζωούς, οἳ τῷ βασιλεῖ ὑπὸ δε-
σμοῖς ἐκομίσθησαν. ἀλλὰ καὶ ὁ πρωτοσπαθάριος
Γεώργιος ὁ Μανιάκης τῶν παρευφρατιδίων πόλεων*
C *στρατηγῶν τῆς Ἐδέσσης ἐκράτησεν, ἔνθα καὶ τὴν*

αὐτόγραφον ἐπιστολὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ εὑρηκὼς τῷ βασιλεῖ ἐξαπέστειλε.
λιμοῦ δὲ τὴν Καππαδοκίαν καὶ τὸ Ἀρμενιακὸν καὶ
τὴν Παφλαγονίαν πιέζοντος, καὶ αὖθις ἀκρίδος τὴν
ἑῴαν κεραϊζούσης, πολλοὶ μεταναστεῦσαι τῶν πα-
τρίδων αὐτῶν ἠναγκάσθησαν, οὓς χρυσίου διανο-
μαῖς ἀνακτησάμενος ὁ κρατῶν πέπεικεν αὖθις τὰς
ἐνεγκούσας καταλαβεῖν. σεισμῶν δὲ γενομένων ξε-
νῶνές τε κακῶς διετέθησαν καὶ οἱ ἀντίπορθμοι τῆς
Βυζαντίδος ἀνδρῶνες, οἳ διαιτητήριον ἔκπαλαι τοῖς
τὰ σώματα λελωβημένοις ἐκ τῆς νόσου τῆς ἱερᾶς
καὶ τοῖς λελεπρωμένοις τετάχαται. ἀλλὰ καὶ τούτους
ὁ βασιλεὺς ἀνεκαίνισε καὶ τοῦ τὸ ὕδωρ εἰς τὴν με- D
γαλόπολιν εἰσάγοντος ὁλκοῦ διαρρηχθέντος ἐπεμε-
λήσατο.

Ἤδη δέ οἱ πρὸς τέλος ἤγγικε τὸ βιώσιμον, τὸ δ᾽ 13
ὅπως ἀπεβίω διηγητέον. ἄρτι τῆς βασιλείας ἐπι-
τυχὼν χρόνους ἑαυτῷ καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς
ἐπεμέτρει μακρούς, καὶ ταῦτα ἑξηκοντούτης ὢν ὅτε
τῶν σκήπτρων ἐπείληπτο, καὶ διαδοχὴν τῇ βασιλείᾳ
καταλιπεῖν ἐκ τῆς ὀσφύος αὐτοῦ ἐφαντάζετο, μηδ᾽
ὅτιπερ ἡ βασιλὶς ᾗ συνῴκιστο πεντηκοντοῦτις ἦν
καὶ ὑπέρακμος καὶ ἄνικμος τὴν νηδὺν πρὸς σπερ-
μάτων ὑποδοχὴν δυνάμενος συνιδεῖν. πρότερον μὲν P II 233
οὖν ἐσπουδάκει περὶ τὰ ἀφροδίσια καὶ κατέτεινεν
ἑαυτὸν καὶ χρίσμασί τισιν ἐκέχρητο καὶ τῇ συνοίκῳ
προσήρτα λιθίδια, ὡς δή τι ἐνεργοῦντα περὶ τὴν
κύησιν. ἡ δὲ καὶ ἀμμάτων καὶ ἐπασμάτων ἠνείχετο W III 186
καὶ προσίετο ἐπῳδάς. ἐπεὶ δ᾽ ἐγνώκει μάτην πάντα
γινόμενα ὁ κρατῶν καὶ ἀπεγνώκει τὸ σπουδαζόμε-
νον, οὐκέθ᾽ ὁμοίως διέκειτο περὶ τὴν εὐνέτειραν,
ἀλλ᾽ ἧττον αὐτῇ προσῄει. ἦν γὰρ καὶ φύσει νωθὴς

πρὸς μίξιν καὶ μαλθακώτερος, ἤδη δὲ καὶ ὁ χρόνος
αὐτῷ τὴν κίνησιν ἤμβλυνεν. ὡς δέ τινες αὐτῷ ἐπὶ
τῇ βασιλείᾳ ἐξεμετρήθησαν ἐνιαυτοί, καὶ ἀποστρό-
B φως εἶχε πρὸς τὴν βασίλισσαν, ἡ δὲ καὶ καταφρο-
νουμένη πρὸς μῖσος ἠρέθιστο καὶ πλέον δι' ὁμιλίαν
ἀνδρός. ἦν δέ τις καὶ πρὸ τῆς βασιλείας ἐκτομίας
ὑπηρέτης τῷ βασιλεῖ, τούτῳ δὲ ὁμαίμονες ἦσαν, ὧν
εἷς ἦν καὶ ὁ Μιχαήλ, ἀνὴρ ᾧ τὴν ὄψιν ἡ φύσις
ἀπέξεσεν εἰς ἀκριβῆ ὡραιότητα. τοῦτον ὁ ἀδελφὸς
μετὰ τὴν βασιλείαν παρέστησε τῷ Ῥωμανῷ προσλη-
φθησόμενον ὑπ' αὐτοῦ· ὁ δὲ τοῖς θαλαμηπολοῦσι
τὸν νεανίαν κατέταξε. τούτου τῷ ἔρωτι ἁλοῦσα ἡ
βασιλὶς ἐπυρπολεῖτο τὴν ψυχὴν καὶ τὸ πῦρ τὸ ἐκεί-
νου κάλλος καθ' ἑκάστην ὁρώμενον ὑπανέφλεγε.
μισούμενος δ' αὐτῇ πρῴην ὁ ἐκτομίας τότε καὶ
προσεκαλεῖτο καὶ ὁμιλίας ἠξίωτο γνησιώτερον, εἶτα
καὶ περὶ τοῦ Μιχαὴλ ἠρωτᾶτο τοῦ ἀδελφοῦ. πολ-
C λάκις δὲ τούτου γενομένου, δεινὸς ὢν ἐκεῖνος συν-
ῆκε τὸν ἔρωτα καὶ τῷ ἀδελφῷ ὑπέθετο καὶ προσιέ-
ναι τῇ βασιλίσσῃ, καὶ εἰ πειρῷτο ἐκείνη αὐτοῦ, μὴ
ὑποσταλῆναι, ἀλλὰ καὶ ἅψασθαι καὶ φιλῆσαι καὶ
προσφῦναι αὐτῇ. καὶ τί δεῖ πολλὰ λέγειν; μέχρι
καὶ συνουσιασμοῦ τὰ τοῦ ἔρωτος κατηντήκεσαν καὶ
προϊόντος τοῦ χρόνου εἰς προῦπτον σχεδὸν τὸ περὶ
τὸν Μιχαὴλ ἐξερράγη φίλτρον, καὶ ἦν ὑποψιθυριζό-
μενον οὐ τοῖς περὶ τὰ βασίλεια μόνον, ἀλλὰ καὶ
τοῖς ἐν ταῖς τριόδοις, μόνῳ δ' ἠγνοεῖτο τῷ αὐτοκρά-
τορι· ὅθεν καὶ συγκειμένῳ τῇ βασιλίσσῃ αὐτῷ ἐπὶ
τῆς εὐνῆς ὁ Μιχαὴλ εἰσκαλούμενος ἀνατρίβειν οἱ
τοὺς πόδας κεκέλευστο. τί οὖν ἄν τις οἰήσαιτο ἢ
ὅτι καὶ τῶν ἐκείνης ἥπτετο ποδῶν; καὶ οἷον προα-
D γωγὸς ἀμφοῖν ὁ βασιλεὺς καὶ ὁμευνέτης ἐγίνετο.

ὡς δὲ καὶ ἡ ἀδελφὴ Πουλχερία καὶ ἕτεροι περὶ τοῦ δράματος αὐτὸν ἀνεδίδαξαν καὶ φυλάττεσθαι παρηγγύησαν, οὐδὲν ἐποίησεν ἕτερον ἀλλ' ἢ τὸν ὑποπτευόμενον αὐτῷ καλέσας εἰ ἐρῷτο πρὸς τῆς βασιλίσσης ἠρώτα. ὁ δὲ ἀπηγόρευσε, καὶ ἀνηνάμενος πίστεις τοῦ λόγου καὶ ὅρκους ἀπῃτήθη καθ' ἱερῶν. ἐπεὶ δ' ἐκεῖνος ἐπιορκήσας τοὺς ὅρκους ἐτέλεσε, διαβολὴν τοὺς τῶν ἄλλων ἥγητο λόγους. λέγεται μέντοι διὰ τὴν ἐπιορκίαν νόσημά τι δεινὸν ἐνσκῆψαι τῷ Μιχαήλ. τὸ δ' ἦν κατά τινας περιόδους αὐτῷ παρακοπὴ τοῦ νοὸς τῶν ὀφθαλμῶν τε διαστροφὴ καὶ κλόνος τοῦ PII234 σώματος καὶ κατάπτωσις ἐπὶ γῆς, εἶτ' ἐπανῄει εἰς ἑαυτὸν καὶ ἀποκαθίστατο. τοῦτο πολλάκις καὶ τοῦ βασιλέως ἐνώπιον ἔπαθεν· ὁ δὲ τοῦ πάθους οἰκτείρας τὸν Μιχαὴλ ἔτι μᾶλλον ψευδῆ ᾤετο τὰ λεγόμενα καὶ μήτ' ἐρᾶν μήτ' ἐρᾶσθαι τοῦτον οὕτως ἔχοντα ἔθετο. εἰσὶ δ' οἳ λέγουσι μὴ ἀγνοῆσαι τὸν βασιλέα τὸν ἔρωτα, ... δ' ὅτι σφριγᾷ ἡ βασίλισσα καὶ περὶ τὰ ἀφροδίσια μέμηνε, τῆς πρὸς τὸν Μιχαὴλ αὐτῆς ῥοπῆς ἠνείχετο, ὑποκρινόμενος ἄγνοιαν, ἵνα μὴ πλείοσιν ὁμιλοίη. τούτων δ' οὕτως ἐχόντων ὁ αὐτοκράτωρ ἐνόσησε, καί οἱ διῳδήκει τὸ B πρόσωπον καὶ τὸ ἆσθμα ἦν συνεχὲς καὶ ἡ ὄψις αὐτῷ ἐῴκει νεκροῦ καὶ τῆς κεφαλῆς αὐτοῦ τὸ πλέον ἐψίλωτο· αἱ γὰρ τρίχες αὐτῆς ἀπερρύησαν. λέγεται γοῦν φαρμάκοις περιεργασθῆναι ὁ ἄνθρωπος. οὕτω δ' ἔχων ἀπῄει πρὸς βαλανεῖον τῶν ἐν τοῖς βασιλείοις λουσόμενος, καὶ ἀπῄει οὔτε χειραγωγούμενος οὔτ' αὐτίκα τεθνήξεσθαι προσδοκώμενος. ὡς δὲ τὸ σῶμα ἐκάθηρεν, εἰσέδυ τὴν ἐκεῖ κολυμβήθραν, ἔνθα W III187 δὴ τὸ πᾶν ᾄδεται γενέσθαι τοῦ δράματος· συμπιέσαι γάρ τινας αὐτῷ τὴν κεφαλήν φασιν ἐπὶ τὸ ὕδωρ

*ἐφ' ἱκανόν, καὶ οὕτως ἐκεῖθεν ἄπνουν ἀνιμηθῆναι
σχεδὸν καὶ ἀνακλιθῆναι πρὸς τὴν στρωμνήν. θροῦ
C δ' ἐπὶ τούτῳ συμβάντος παρῆλθε καὶ ἡ βασιλίς, ὡς
δή τι τῷ πάθει ἐπιστενάζουσα, καὶ πληροφορηθεῖσα
τοῦ βασιλέως τὴν τελευτὴν ἀπῆλθεν εὐθύς. ὁ δὲ
βραχύ τι ἐπιβιοὺς ἄναυδος, εἶτα καὶ μελάντερόν τι
ἀναγαγὼν διὰ τοῦ στόματος, ἀφῆκε τὸ πνεῦμα, ἔτη
βασιλεύσας πέντε πρὸς τῷ ἡμίσει, λόγοις μὲν ἐντρα-
φεὶς ἑλληνικῆς τε παιδείας μετεσχηκὼς καὶ τῶν τῆς
πολιτείας νόμων οὐκ ἀδαής, πλείω δ' εἰδέναι ὧν
ᾔδει ὡς ἀληθῶς οἰόμενός τε καὶ σεμνυνόμενος.*

14 *Τοῦτον μὲν οὖν τοιοῦτον κατειλήφει τὸ τέρμα
τῆς βιοτῆς. ἡ δὲ βασιλὶς ὅλη τοῦ τὸν Μιχαὴλ ἐγ-
καθιδρῦσαι τῷ θρόνῳ τῆς βασιλείας ἐγένετο, καὶ
D τῶν περὶ αὐτὴν τῶν πατρῴων δηλαδὴ θεραπόντων
αὐτῆς ἀναβολῇ τὸ πρᾶγμα δοῦναι καὶ σκέψει συμ-
βουλευόντων, ἡ δὲ οὐκ ἠνείχετο, κατεπειγομένη πρὸς
τὴν τελεσιουργίαν καὶ παρὰ τοῦ ἐκτομίου Ἰωάννου
τοῦ συγγόνου τοῦ Μιχαήλ, λάθρα πρὸς αὐτὴν ὑπο-
ψιθυρίσαντος ὡς "ἀπολούμεθα αὐτίκα, εἰ βραχεῖ τινι
καιρῷ τὸ ἀποτέλεσμα βραδυνεῖ." λαβοῦσα τοίνυν εὐ-
θὺς τὸν Μιχαήλ, καὶ στολὴν αὐτῷ περιθεμένη βασί-
λειον καὶ διαδήματι τὴν ἐκείνου κεφαλὴν αὐτὴ ἀνα-
δήσασα καὶ ἐπὶ θώκου βασιλικοῦ καθιδρύσασα, καὶ
αὐτὴ παρακαθισαμένη, πᾶσι τοῖς τότε παροῦσι καὶ
εὐφημεῖν καὶ προσκυνεῖν προετρέπετο. οἱ δὲ καὶ
PII235 τότε αὐτίκα νυκτὸς τὴν ἱεροτελεστίαν τὴν γαμικὴν
ἐπ' αὐτοῖς γενέσθαι ἱστόρησαν, τοῦ πατριάρχου
Ἀλεξίου ἀφικομένου πρὸς τὰ βασίλεια, καὶ τὸν μὲν
Ῥωμανὸν τεθνεῶτα καταλαβόντος, τὸν δέ γε Μιχαὴλ
ἔτι τὰ ἐπὶ τῇ βασιλείᾳ τελούμενον. ἤδη δὲ καὶ τοῖς
ἔξω διαδοθέντος τοῦ γεγονότος, καὶ πᾶσα ἡ πόλις*

τὸν νέον ἀνηγόρευεν αὐτοκράτορα, τὸ μὲν αὐτῷ χαριζόμενοι, τὸ δ' ὅτι τὸν ἀπιόντα ἀπεφορτίσαντο χαίροντες. ἡ μὲν οὖν βασιλὶς ᾤετο βουλεύσασθαι ἄριστα καὶ ἑαυτῇ τὴν πᾶσαν ἐξουσίαν περιποιήσασθαι καὶ τὸν Μιχαὴλ ὑπηρέτην ἕξειν· τὸ δέ τι ἑτεροῖον συμβέβηκε. μέχρι μὲν γάρ τινος ἐσχηματίζετο τηρεῖν τὴν πρὸς τὴν βασιλίδα διάθεσιν καὶ ταύτῃ B χαρίζεσθαι καὶ τὰ ἐκείνῃ θυμήρη ποιεῖν, εἶτα οὐκ εἰς μακρὰν ἐκτεῖναι τὴν προσποίησιν ἀνασχόμενος μεθαρμόττεται, καὶ ὑποπτεύει αὐτὴν καὶ δείσας περὶ ἑαυτῷ μεθίστησι μὲν τῶν βασιλείων τοὺς ἐκτομίας τοὺς αὐτῆς πατρῴους θεράποντας καὶ τὰς αὐτῇ συνήθεις θεραπαίνας αὐτῆς διαιρεῖ, ἑτέρας δ' αὐτῇ πρὸς θεραπείαν ἀντικαθίστησι. καὶ ἐπὶ τούτοις τὴν γυναικωνῖτιν αὐτῇ ἀποφράγνυσι καὶ φρουρὰν περιίστησι, καὶ οὐδενὶ προσιέναι ταύτῃ παρακεχώρητο, εἰ μὴ τὸν προσιόντα ὁ φρούραρχος κατεξήτασεν ὅθεν ἥκοι καὶ τίνος δεόμενος παραγένοιτο. ἐδεδίει γὰρ οἴκοθεν ἔχων τοῦ δέους τὰς ἀφορμάς. εἰς ταῦτα δ' ἐνάγεσθαι πλέον ὁ Μιχαὴλ λέγεται παρὰ τοῦ συγ- C γόνου αὐτοῦ Ἰωάννου τοῦ ἐκτομίου. ἦν γὰρ καὶ δεινὸς ὁ ἄνθρωπος καὶ δραστήριος καὶ τὸ ἦθος ὑποκαθήμενος καὶ πρὸς τοὺς ἐντυγχάνοντας ποικιλλόμενος, περισπερχής τε καὶ πρὸς φροντίδων ὄγκον ἀκάματος, καὶ οὐδὲ γαστριζόμενος οὐδὲ περὶ τὸν ἄκρατον λιχνευόμενος οὐδὲ ἡττώμενος οἴνου τῆς περὶ τὰς δημοσίας διοικήσεις καθυφίει σπουδῆς. τὰ μὲν οὖν περὶ τὴν βασίλισσαν ᾠκονόμητο οὑτωσί, ὁ δὲ Μιχαὴλ τῆς τῶν κοινῶν πραγμάτων οἰκονομίας ἀντείχετο. εἶτα τῷ μὲν ἐκραταιοῦτο ἡ νόσος, ἣν οἱ μὲν ἐκάλουν δαιμόνιον μήνιμα διὰ τὴν ἐπιορκίαν ἐνσκῆψαν αὐτῷ καὶ συμπνῖγον τὸν ἄνθρωπον, ὡς W III 188

D πάλαι δὴ τὸν Σαούλ, οἱ δὲ μανίαν τε καὶ παραφο-
ράν· ὁ δ' ἐκτομίας Ἰωάννης τὴν ὅλην ἀνεδέξατο
τῆς βασιλείας κυβέρνησιν, μοναχικὸν μὲν πάλαι
σχῆμα ἐπενδυθείς, τοῦτο δὲ τηρῶν ἄχρι μόνου τοῦ
σχήματος. Κωνσταντῖνος δὲ πατρίκιος ὁ Δαλασ-
σηνός, οἴκοι διατρίβων καὶ περὶ τοῦ νέου βασιλέως
πυθόμενος, δυσανασχετῶν ἦν ὅτι εἰς ἄνδρα τοιοῦ-
τον ἡ βασιλεία περιέστη Ῥωμαίων. τοῦτο θορύβου
τοὺς περὶ τὸν βασιλέα ἐμέστωσε, πτοηθέντας μή-
ποτε ὁ Δαλασσηνὸς τυραννίδι ἐπίθηται. καὶ στέλ-
λει ὁ Ἰωάννης τὸν ὅρκοις αὐτὸν βεβαιώσοντα ὡς
οὐδενὸς ἀνιαροῦ πειραθήσεται καὶ πείσοντα τὸν ἄν-
PII236 δρα τῷ βασιλεῖ προσελθεῖν. καὶ ὁ μὲν προσῆλθε,
καὶ ὁ βασιλεὺς αὐτὸν ἀσπασίως προσήκατο καὶ ἐδε-
ξιώσατο δωρεαῖς καὶ μείζονι ἀξίᾳ τετίμηκε καὶ ἐν τῇ
πόλει διάγειν ἐκέλευσε. Νικήτας δὲ ὁ τοῦ βασιλέως
ὁμαίμων, δοὺξ τῆς ἐπὶ τῇ Δάφνῃ Ἀντιοχείας προ-
χειρισθείς, εἴρχθη παρὰ τῶν Ἀντιοχέων τῆς εἰς τὴν
πόλιν εἰσόδου. πράκτορα γάρ τινα τῶν δημοσίων
τελῶν, ὡς αὐτοῖς φορτικῶς προσενηνεγμένον, ἀνε-
λόντες οἱ τῆς Ἀντιοχείας πολῖται, καὶ δεδοικότες μὴ
δίκας τῷ δουκὶ τοῦ τολμήματος τίσωσιν, ἐπεζύγωσαν
αὐτῷ τὰς πύλας τῆς πόλεως. ὁ δὲ ὅρκοις αὐτοῖς
παρασχόμενος πίστεις ὡς οὐδὲν διὰ τὸν φόνον ὑπο-
σταῖεν κακόν, παραχωρεῖται τὴν εἴσοδον· εἶτα τοὺς
B ὅρκους οὐδὲν λογισάμενος πολλοὺς μὲν ἀποκτίννυ-
σιν, ἐνίους δὲ τῶν παρ' αὐτοῖς ἐπισήμων δεσμίους
ἔστειλε πρὸς τὴν μεγαλόπολιν, γράψας τῷ ἀδελφῷ
Ἰωάννῃ διὰ τὴν πρὸς τὸν Δαλασσηνὸν εὔνοιαν
ἀπεῖρξαι αὐτῷ τὴν εἴσοδον τοὺς Ἀντιοχεῖς. ἐντεῦ-
θεν ὁ Δαλασσηνὸς εἰς τὴν νῆσον τὴν Πλάτην περι-
ορίζεται, καὶ ὁ ἐπὶ θυγατρὶ κηδεστὴς αὐτοῦ Κων-

σταντῖνος ὁ δούκας, τὴν ἀδικίαν ἐπιβοώμενος καὶ τὴν ἐπιορκίαν οὐ σιωπῶν, πύργῳ τινὶ κατακλείεται. εἶτα μετάγεται ὁ Δαλασσηνὸς ἐκ τῆς Πλάτης καὶ πύργῳ καθείργνυται. ἑάλω δὲ τότε τοῖς μὲν ἐκ τῆς Ἄγαρ τὰ Μύρα καὶ τοῖς Πατζινάκαις λεία γέγονε τὰ Μυσῶν. τοῦ δὲ δουκὸς Ἀντιοχείας Νικήτα καταστρέψαντος τὴν ζωήν, ὁ Κωνσταντῖνος, ἀδελφὸς C *ὢν καὶ οὗτος τοῦ βασιλέως, ἐπὶ τῇ Ἀντιοχείᾳ τὸν τελευτήσαντα διεδέξατο, καὶ ὁ ἕτερος αὐτοῦ ἀδελφὸς πρωτοβεστιάριος προκεχείριστο. ἐξ Ἀφρικῆς μέντοι καὶ Σικελίας στόλος ἀποπλέων Ἀγαρηνῶν ἐκάκου τάς τε νήσους καὶ τὰ παράλια· ἀλλὰ τούτοις στόλος ἐπιπλέων Ῥωμαϊκὸς πολλὰ μὲν τῶν σκαφῶν κατέδυσεν αὔτανδρα, πολλοὺς δ' ἐζώγρησε, καὶ τοὺς μὲν πρὸς τὸν βασιλέα ἐκπέπομφεν, οἱ δὲ ἀνεσκολοπίσθησαν κατὰ τὴν παράλιον. Παγκράτιος δὲ ὁ ἄρχων Ἀβασγίας, ᾧ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς ἡρμόσατο Ῥωμανός, τάς τε πρὸς Ῥωμαίους σπονδὰς ἔλυσε καὶ ὧν παρεχώρησε πρὶν Ῥωμαίοις φρουρίων καὶ πόλεων ἐπελάβετο πάλιν, ὡς τάχα δίκας Ῥωμαί-* D *ους πραττόμενος ὑπὲρ τοῦ βασιλέως καὶ θείου τῆς αὐτοῦ ὁμευνέτιδος. πολλάκις δ' οἱ Πατζινάκαι τὸν Ἴστρον διαβαίνοντες τὰ Ῥωμαίων κακῶς διετίθεντο, τοὺς ἁλισκομένους ἡβηδὸν ἀναιροῦντες. καὶ Ἄραβες τὴν Ἔδεσσαν ἐπολιόρκησαν, καὶ ἥλω ἂν ἡ πόλις, εἰ μὴ ὁ δοὺξ Ἀντιοχείας ὁ Κωνσταντῖνος ὁ τοῦ αὐτοκράτορος ἀδελφὸς αὐτῇ ἐπεκούρησεν, ὃν ὁ βασιλεὺς τῆς σπουδῆς ἀμειβόμενος τῶν ἑῴων ταγμάτων δομέστικον προεβάλετο.*

Τοῦ δὲ τῆς Αἰγύπτου κρατοῦντος Ἄμερ θανόν- 15 *τος ἡ ἐκείνου γυνή, χριστιανὴ οὖσα, σπείσασθαι σὺν τῷ υἱῷ μετὰ Ῥωμαίων ἐξήτησε· καὶ ὁ βασιλεὺς* PII237

ἐκύρωσε μετ' αὐτῆς τριακοντούτεις σπονδάς. ἀδελφοὶ δὲ δύο Σαρακηνοὶ τῆς Σικελίας κρατοῦντες πρὸς ἀλλήλους ἔσχον διαφοράς, ὧν θάτερος τῷ βασιλεῖ Ῥωμαίων προσπέφευγε, συμμαχίαν αἰτῶν. W III 189 στέλλεται τοίνυν ὁ πατρίκιος Γεώργιος ὁ Μανιάκης ἐπικουρήσων αὐτῷ, Λογγιβαρδίας προχειρισθεὶς στρατηγός. μήπω δὲ τὴν Σικελίαν καταλαβόντος τοῦ Μανιάκη οἱ ταύτης ἄρχοντες σύγγονοι πρὸς ἀλλήλους ἐσπείσαντο καὶ καταλαβόντα τὸν Μανιάκην ἀπελάσαι τῆς νήσου διεμελέτων, καὶ συμμαχίαν ἐξ Ἀφρικῆς μετεπέμψαντο. συρραγέντος δὲ πολέμου τὸ Ῥωμαϊκὸν ἐκράτησε στράτευμα, καὶ φόνου πολλοῦ τῶν Καρχηδονίων γεγονότος πόλεις μὲν B πρότερον ἐξεπόρθησαν δέκα ἐπὶ τρισίν, εἶτα κατὰ μικρὸν προβαίνων ὁ Μανιάκης καὶ πᾶσαν τὴν Σικελίαν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσήγαγε. μικροῦ δ' ἂν ἑάλω ἡ Ἔδεσσα, δόλῳ ταύτην τῶν Ἀράβων μελετησάντων χειρώσασθαι. δώδεκα γὰρ αὐτῶν ἄρχοντες ἐπαγόμενοι καμήλους πεντακοσίας, ὧν ἑκάστη κιβώτια δύο ἐπήχθιστο, ἧκον εἰς Ἔδεσσαν· ἕκαστον δὲ τῶν κιβωτίων ὁπλίτην εἶχεν ἐντός· ἔλεγον δὲ ἀπιέναι πρὸς βασιλέα δῶρα κομίζοντες, καὶ ἐβούλοντο, εἰ παραχωρηθεῖεν ἔνδον εἰσαγαγεῖν τὰ κιβώτια, νυκτὸς τοὺς ἐν αὐτοῖς ὁπλίτας ἐξαγαγεῖν καὶ τὴν πόλιν ἑλεῖν. εἰσελθόντας οὖν πρὸς τὸν τῆς πόλεως στρατηγὸν τοὺς ἄρχοντας φιλοτίμως ἐκεῖνος C ἐδέξατο. οἱ δ' ἐκείνοις ὑπηρετοῦντες μετὰ τῶν καμήλων ἔτι τῆς πόλεως ἦσαν ἔξω. προσαίτης δέ τις Ἀρμένιος, εἰδὼς καὶ τὴν Ἀράβων διάλεκτον, προσῆλθε τοῖς ἐκτὸς αὐλιζομένοις Ἄραψι μεταιτήσων. ἤκουσεν οὖν ἐκ κιβωτίου τινὸς ὅποι εἰσὶν ἐρωτῶντος, καὶ εἰς τὴν πόλιν ἐλθὼν ἀπήγγειλε τὸ δρᾶμα

τῷ στρατηγῷ. ὁ δὲ τοὺς μὲν ἄρχοντας τῶν Ἀράβων εὐωχουμένους ἐν τῇ πόλει κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν περὶ αὐτὸν ἐξελθὼν καὶ τὰ κιβώτια διαρρήξας τοὺς ἐν αὐτοῖς ὁπλίτας ἀπέκτεινεν ἅπαντας, καὶ εἰς τὴν πόλιν αὖθις ὑπονοστήσας τοὺς μὲν λοιποὺς τῶν ἀρχόντων αὐτῶν μαχαίρας ἔθετο ἔργον, ἑνὸς δὲ τὰς χεῖρας ἀποτεμὼν τὰ ὦτά τε καὶ τὴν ῥῖνα ἀφῆκεν, ἵνα τοῖς οἴκοι τὴν συμφορὰν καταγγείλειεν. D ὁ δὲ Καρχηδόνιος τὸν ὄλεθρον τῶν ὑπ' αὐτοῦ πεμφθέντων εἰς Σικελίαν μαθών, καὶ αὐτὸς εἰς τὴν νῆσον ἐστράτευσε μετὰ δυνάμεως πλείονος. καὶ ὁ Μανιάκης ἀντιστρατοπεδεύεται τοῖς Ἀγαρηνοῖς, καὶ τῷ τοῦ στόλου κατάρχοντι τῷ πατρικίῳ Στεφάνῳ τῷ τοῦ βασιλέως γαμβρῷ, συνέσταλτο γὰρ καὶ οὗτος αὐτῷ μετὰ τοῦ στόλου, ἀσφαλῶς τηρεῖν ἐνετείλατο τὴν παράλιον, ἵνα μὴ ἡττηθεὶς ὁ Καρχηδόνιος ἀποδρᾶναι δυνήσεται. μάχης τοίνυν συστάσης, πλῆθος μὲν τῶν Ἄφρων ἀνῄρητο σχεδόν τι κρεῖττον καὶ ἀριθμοῦ, ὁ δ' αὐτῶν ἀρχηγός, διαδρὰς ἐκ τῆς μάχης καὶ κελητίῳ ἐμβεβηκὼς λαθών τε τοὺς ἐν τῷ στόλῳ, οἴκαδε διασέσωστο. τοῦτο τῷ Μανιάκῃ ἐν συμφορᾶς ἥγητο μέρει, καὶ τῷ τοῦ στόλου ἄρχοντι ἐλοιδορεῖτο. τοῦ δὲ τῇ συγγενείᾳ τῇ βασιλικῇ πεποιθότος PII238 καὶ δυσχεράναντος πρὸς τὰς ὕβρεις, θυμῷ ληφθεὶς ὁ Μανιάκης καὶ πληγὰς ἐντείνει αὐτῷ. ὁ δὲ αὐτίκα γράφει τῷ ἀδελφῷ Ἰωάννῃ τῷ ἐκτομίᾳ, ὀρφανοτρόφῳ ὀνομασθέντι, ἀποστασίᾳ ἐπιχειρεῖν τὸν Μανιάκην. ἐντεῦθεν ὁ μὲν Μανιάκης δέσμιος ἐκεῖθεν ἀχθεὶς φυλακῇ παρεδόθη, ἡ πᾶσα δὲ ἀρχὴ ὑπὸ τὸν Στέφανον γέγονε. καὶ ἡ νῆσος οὐκ εἰς μακρὰν περιελήλυθε τοῖς Ἀγαρηνοῖς ἀπειρίᾳ καὶ ῥᾳθυμίᾳ τοῦ ἄρχοντος καὶ πρὸ τούτων αἰσχροκερδείᾳ, μόνης

τῆς Μεσσήνης, πόλις δὲ αὕτη τῶν Σικελικῶν, περιλειφθείσης Ῥωμαίοις, καὶ ταύτης τοῦ ἐν αὐτῇ ἄρχοντος στρατηγίᾳ· οὗτος δ' ἦν ὁ Κεκαυμένος Κατα- B *καλών· οὐ γὰρ τὴν πόλιν μόνον περιεφύλαξεν, ἀλλὰ καὶ χιλιάδας ἀνεῖλε τῶν ἐναντίων. ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς ὁ ἐκτομίας Ἰωάννης, δριμύτατον τρέφων ἔρωτα τοῦ προστῆναι τῆς ἐκκλησίας, ἐνίους τῶν ἀρχιερέων προσηταιρίσατο· καὶ οἳ αὐτῷ ἐπηγγέλλοντο καθαιρῆσαι τὸν πατριάρχην Ἀλέξιον, ὡς οὐ* W III 190 *ψήφῳ κοινῇ προχειρισθέντα, ἀλλ' ἐξουσίᾳ βασιλικῇ. ὁ δὲ "εἰ οὐ κανονικῶς, ὥς φατε, γέγονα πατριάρχης" ἀντέθετο, "καὶ ὅσοι παρ' ἐμοῦ ἐχειροτονήθησαν, καθαιρεθήτωσαν σὺν ἐμοί." τοῦτο τοὺς λοιποὺς τῶν ἀρχιερέων στασιάσαι κατὰ τῶν τοῦ πατριάρχου κατηγορούντων ἠρέθισε, καὶ ἔμεινεν ἀτέλεστος ἡ τοῦ* C *ὀρφανοτρόφου ἔφεσις. πολλαῖς δὲ καὶ ἀσυνήθεσιν εἰσπράξεσιν οὗτος ἐξέτρυχε τὸ ὑπήκοον, ποριμώτατος ἐν τοιούτοις γενόμενος. τῆς γοῦν ἀδελφῆς αὐτοῦ Μαρίας, ἣ μήτηρ ἦν τοῦ ὕστερον βασιλεύσαντος Μιχαὴλ τοῦ Καλαφάτου, δι' εὐχὴν εἰς Ἔφεσον ἀπελθούσης, κἀκεῖθεν ἐπανελθούσης καὶ διηγουμένης ὅσα πάσχοιεν οἱ πένητες τὰς καινὰς δασμοφορίας πραττόμενοι, καὶ ἀξιούσης ἀνεθῆναι τοῖς ὑπηκόοις τὸ τοῦ ἄχθους πολύ, ὁ ὀρφανοτρόφος ἐπικαγχάσας "ὡς γυνὴ φρονεῖς" ἀνταπεκρίθη αὐτῇ "μὴ εἰδυῖα ὅσων ἡ πολιτεία δεῖται ἀναλωμάτων." οὗτος ἐπιβουλευθῆναι λέγεται παρὰ τῆς βασιλίσσης Ζωῆς. φαρμακεῦσαι γὰρ αὐτὸν καθαρσίῳ τοῦ ἰατροῦ μέλλοντος, ἀναπεῖσαι τὸν φαρμακεύοντα δώροις καὶ* D *ὑποσχέσεσι διά τινων τὴν βασίλισσαν ἀντὶ σωτηρίου προσενεγκεῖν αὐτῷ δηλητήριον· γνωσθέντος δὲ τοῦ ἐπιχειρήματος διαδρᾶναι τὸν κίνδυνον. ἀλλ' οὕτω*

μὲν παρὰ τοῦ ὀρφανοτρόφου Ἰωάννου τὰ κοινὰ ᾠκονόμητο· οὐ μεῖον δ' ἐκείνου οἱ ἀδελφοὶ αὐτοῦ, ἀλλὰ μέντοι καὶ μᾶλλον ἐκάκουν ξύμπαντας, ἀδικώτατοι ὄντες καὶ φιλοχρηματώτατοι, οἷς διὰ ταῦτα καὶ ὁ βασιλεὺς ἀπηχθάνετο, ἀναστεῖλαι δὲ τὴν κακίαν αὐτοῖς οὐ συνεχωρεῖτο παρὰ τοῦ μείζονος ἀδελφοῦ τοῦ ἐκτομίου Ἰωάννου, ποτὲ μὲν παραιτουμένου αὐτοὺς ποτὲ δὲ τὰς αὐτῶν πράξεις περικαλύπτοντος καὶ οὐκ ἐῶντος εἰς γνῶσιν ἥκειν τῷ αὐτοκράτορι.

Ἤδη δὲ τῆς νόσου νεανιευομένης τῷ βασιλεῖ 16
καὶ θαμὰ τῆς τοῦ λογιζομένου παραφορᾶς αὐτῷ PII239
ἐπιούσης, οὔτε προόδοις ἐκέχρητο συνεχῶς οὔτε βασιλείοις πομπαῖς οὔτ' ἐν βήμασιν ἐχρημάτιζε τῷ βασιλείῳ θρόνῳ ἄνετος ἐφεζόμενος, ἀλλὰ παραπετάσματα περὶ αὐτὸν ἀπῃώρηντο, καί τινες ἐπιτηρεῖν τεταγμένοι αὐτὸν περιίσταντο, οἳ ὁπηνίκα τι σημεῖον εἶδον τῆς τοῦ νοῦ παρατροπῆς, πολλὰ δὲ ταύτην αὐτῷ προεμήνυον, εἷλκον ἐπ' ἐκεῖνον εὐθὺς τὰ παραπετάσματα, καὶ τούτοις τὸν πάσχοντα συγκαλύπτοντες ἐξιέναι τοῖς παρεστῶσιν ἐνεκελεύοντο. τῷ δὲ ἀθρόον τε τὸ πάθος ἐπῄει καὶ ἀθρόον ἀφίστατο. οὕτως οὖν ἔχων ὁ Μιχαὴλ κατὰ βραχὺ καὶ τοῦ ὁρᾶν
τὴν βασίλισσαν καὶ τοῦ προσιέναι ἀπείχετο, ἢ αἰ- B
δούμενος ὅτι οἷα ἀνθ' οἵων αὐτῇ ἀνταπέδωκεν, ἢ ὅτι θαμὰ καὶ ἑτοιμότατα τοῦ πάθους αὐτῷ ἐπιγινομένου ᾐσχύνετο πάσχων οὕτω παρ' ἐκείνης ὁρᾶσθαι, ἢ διὰ τὸ τὴν ἕξιν τοῦ σώματος διεφθάρθαι οἱ καὶ πρὸς μίξιν μὴ πεφυκέναι. ἔνιοι δέ φασιν ὡς ἀνδράσι πνευματικοῖς ἐξομολογησάμενος τὸ τῆς μοιχείας καὶ τοῦ φόνου τοῦ βασιλέως ἁμάρτημα παρ' ἐκείνων ἄλλας τε ἐδέξατο ἐντολὰς καὶ τοῦ ἀφροδισίων ἀπέχεσθαι· ἔνθεν τοι καὶ διαδόσεις ἐποιεῖτο

χρημάτων πολλῶν καὶ σεμνεῖα ᾠκοδόμει καὶ εἰς Θεσσαλονίκην ἀπῆλθε, τοῦ καλλινίκου μάρτυρος Δημητρίου δεόμενος ἵνα τι τοῦ πάθους εὕρῃ ἀλέξημα· C *τῷ δὲ καὶ νόσος ὑδερικὴ προσεγένετο. ὡς οὖν οὕτως ἔχοντα τὸν ἀδελφὸν ἑώρα ὁ Ἰωάννης, δείσας περὶ τῇ βασιλείᾳ μὴ ἀθρόον θανόντος τοῦ αὐτοκράτορος ἐπὶ τῇ Ζωῇ γένηται ὡς κληρονόμῳ αὐτῆς, κἀντεῦθεν αὐτός τε καὶ τὸ γένος ὅλον εἰς ἐξολόθρευσιν γένηται, μέτεισι τὸν αὐτοκράτορα πιθανότησι, καὶ πείθει τὸν ἀδελφιδοῦν αὐτοῦ τὸν Μιχαὴλ προχειρίσασθαι Καίσαρα, ἵν᾽ ἔφεδρος εἴη τῇ τῆς βασιλείας ἀρχῇ. ἐπεὶ δὲ τῆς βασιλείας, ὡς εἴρηται, κληρονόμον τὴν Ζωὴν ᾔδει, μέτεισι κἀκείνην, καὶ μητέρα τὴν εὐγενῆ τοῦ δυσγενοῦς ἀναπλάττουσιν. ἄμφω γὰρ τὼ ἀδελφὼ διαλεχθέντε αὐτῇ περὶ τούτου εἰσποιητὸν ταύτης τὸν Μιχαὴλ υἱὸν ὀνομάζουσιν.* W III 191 D *ἡ δὲ μήτ᾽ ἀντειπεῖν θαρροῦσα τοῖς ἐκείνων θελήμασι καὶ ἄλλως εὔκολος οὖσα καὶ τὴν γνώμην εὐάγωγος, κατένευσε. καὶ συνήθροιστο μὲν εἰς τὸν ἐν Βλαχέρναις θεῖον ναὸν ἡ γερουσία ἐκ προκηρύγματος, καὶ οἱ πληροῦντες τὴν τάξιν δὴ τὴν βασίλειον, ἐν δὲ μέσοις τούτοις ἡ βασιλὶς προαχθεῖσα κἀν ταῖς κιγκλίσι γενομένη τοῦ θυσιαστηρίου ἐκεῖθεν εἰσποιεῖται τὸν Μιχαὴλ καὶ ὡς υἱὸν ἀγκαλίζεται. ὁ δ᾽ αὐτοκράτωρ αὐτίκα τοῦτον προχειρίζεται Καίσαρα καὶ τὸ ἄθροισμα ἐπευφήμησεν. ἔδοξε μὲν οὖν ὁ Ἰωάννης ἤδη τὸ πᾶν κατεργάσασθαι καὶ τὸ* P II 240 *κράτος τῷ οἰκείῳ γένει περιποιήσασθαι· τὸ δ᾽ ἦν ἀνατροπὴ τοῦ παντὸς αὐτῷ τε καὶ τοῖς προσήκουσιν ἅπασιν· ὅπως δὲ ὁ λόγος δηλώσει κατὰ καιρόν.*

17 *Τῶν δὲ Βουλγάρων, ὡς ἤδη ἱστόρηται, ὑπὸ Βασιλείου τοῦ βασιλέως καταπολεμηθέντων καὶ τῆς*

αὐτῶν βασιλείας καθαιρεθείσης, μέχρι μέν τινος ἔφερον οἱ βάρβαροι τὸν τῆς δουλείας ζυγόν. εἶτα τοῦτον ἀποσείσασθαι διανενόηντο καὶ ἐσφάδαζον, ἀλλὰ σφίσι τὸ ἄναρχον ἐκώλυε τὸ ἐννόημα. ἀνὴρ δέ τις ἄσημος μὲν τὸ γένος, Δολιάνος καλούμενος, δόλου δὲ μεστὸς καὶ δεινότητος, υἱὸν ἑαυτὸν ἐπιφημίσας τοῦ Ἀαρών, ὃς τοῦ Σαμουὴλ τοῦ ἄρξαντος τοῦ ἔθνους ἦν ἀδελφός, ἐκ Βυζαντίου, ὡς λέγεται, ἀποδράς, καὶ πείσας τὸ ἔθνος παῖς εἶναι τοῦ Ἀαρών, ἐξ ἡμιγάμου ἐκείνῳ γενόμενος, ἀλλ' οὐκ ἐξ ἐννόμου B *εὐνῆς, εἰς βασιλέα τοῖς βαρβάροις ᾑρέθη. ἐντεῦθεν εἰς φανερὰν ἀποστασίαν ἐξερράγη τὸ ἔθνος καὶ εἰς λῃστείας κεκίνητο καὶ τὰ Ῥωμαίων κατέτρεχε. στέλλεται τοίνυν στρατηγός τις μετὰ δυνάμεως, ἵν' ἀνακόπτῃ τὰς ἐπιδρομὰς τοῖς λῃστεύουσιν. ὁ δὲ κακῶς τοῖς ὑπ' αὐτὸν προσφερόμενος ἐξηρέθισε τούτους καθ' ἑαυτοῦ, καὶ ἀπώλετο ἄν, εἰ μὴ ἀπέδρα νυκτός. ἡ γοῦν ὑπ' αὐτὸν στρατιὰ δείσασα πρὸς ἀποστασίαν ἐχώρησε, καί τινα ἐξ ἑαυτῶν Τειχομηρὸν κεκλημένον, ἐκ δὲ γένους φύντα Βουλγαρικοῦ, ἀρχηγὸν ἑαυτοῖς προχειρίζονται καὶ βασιλέα Βουλγαρίας αὐ-* C *τὸν ὀνομάζουσι. καὶ τὰ τῶν Βουλγάρων διῄρητο, τῶν μὲν τῷ Δολιάνῳ, τῶν δὲ τῷ Τειχομηρῷ προσρυϊσκομένων. ἀλλὰ δόλῳ μετῆλθεν ὁ Δολιάνος τὸν ἀντικαθιστάμενον. μετακαλεῖται γὰρ αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς καὶ τῆς πρὸς Ῥωμαίους μάχης· καὶ ὃς πείθεται. ἐπεὶ οὖν ἡνώθησαν ἄμφω οἱ ἀρχηγοὶ καὶ τὸ πλῆθος τῶν Βουλγάρων συνήθροιστο, ὁ Δολιάνος πρὸς τοὺς συνειλεγμένους ἔφη μὴ ἄν ποτε σωθήσεσθαι τὸ τῶν Βουλγάρων ἔθνος ὑπ' ἀρχηγῶν δυοῖν κυβερνώμενον, καί "εἰ τὴν σωτηρίαν ὑμῶν βούλεσθε, τὸν ἕνα ἐξ ἡμῶν ποιήσατε ἐκποδών·*

εἰ μὲν οὖν ἐμὲ τοῦ γένους εἶναι τοῦ Σαμουὴλ οἴδατε, ἀποσκευάσασθε τὸν Τειχομηρόν· εἰ δ' οὐ D τοῦτο, αὐτῷ μὲν ἑαυτοὺς ὑποτάξατε, ἐμὲ δ' ἐκ μέσου ποιήσατε." ἐπὶ τούτοις θροῦς ἤρθη, καί οἱ τὴν βασιλείαν ξύμπαντες ἐπευφήμησαν, καὶ ὁ Τειχομηρὸς κατελεύσθη. ὁ δὲ Δολιάνος αὐτοκράτωρ γενόμενος εἷλέ τε τὸ Δυρράχιον καὶ κατὰ τῆς Ἑλλάδος ἐχώρησε, καὶ τὴν Νικόπολιν καὶ τὰ ὑπ' αὐτὴν προσεποιήσατο, τῶν ἐν αὐτοῖς ἑκόντων προσχωρησάντων αὐτῷ, ἐπεὶ μὴ ἔφερον τὴν τοῦ ὀρφανοτρόφου ἀπληστίαν καὶ τὸ ἀκόρεστον. καὶ ὁ μὲν οὕτω λείαν Μυσῶν τὸ τοῦ λόγου τὰ Ῥωμαίων ἐτίθετο. ὁ δὲ βασιλεὺς τῆς ἀγγελίας κομισθείσης αὐτῷ αὐτίκα ὥρμα καταλαβεῖν τὸν ἀποστατήσαντα, δεινὸν ἡγεῖσθαι λέγων, εἰ μηδὲν αὐτὸς τῇ βασιλείᾳ προσενεγκὼν μοῖραν ταύτης ἀφαιρεθεῖσάν τινα παραβλέψεται. ὅτι δέ οἱ ἀπέγνωστο τὸ βιώσιμον, ἤδη γὰρ ὁ ὕδερος αὐτοῦ κατεκράτησε καὶ αὐτοῦ τὸ σῶμα ἐξώγκωτο, τό τε συγγενὲς ἀπεῖργε τὴν ἐκστρατείαν αὐτῷ παρα-PII241κλήσεσι καὶ οἱ προύχοντες τῆς βουλῆς οὐκ ἐπῄνουν τὸ βούλευμα. ἀλλ' ἐκεῖνος, ζήλῳ ῥωννύμενος καὶ ἀντεπάγων τῇ ἀσθενείᾳ τὸ πρόθυμον, ἐπὶ τοὺς Σκύθας χωρεῖ, καὶ ἦν τὸ πρᾶγμα θαύματος ἄξιον. νυκτὸς γὰρ τῇ νόσῳ καταπονούμενος, καὶ οὐκ ἂν ἐς αὔριον ἀναστήσεσθαι προσδοκώμενος, ὁ δὲ ἡμέρας W III 192 ἄρτι φανούσης ἔφιππός τε ὡρᾶτο καὶ προῄει τῆς στρατιᾶς. ὡς δ' ἐν τοῖς τῶν Σκυθῶν τούτοις ὁρίοις ἐγένετο, ἡτοιμάζετο πρὸς ἀντιπαράταξιν. οὔπω δ' ἀλλήλοις τὰ τάγματα συνερρώγεσαν καί τι συμβὰν ἀπόνως τάχα τῷ βασιλεῖ τὴν νίκην προσένειμεν. B ὁ γάρ τοι τοῦ Ἀαρὼν ἐκείνου υἱός, ὁ πατρίκιος Ἀλουσιάνος, παρὰ Ῥωμαίοις ὢν ἔτι, προσκεκρου-

κῶς τῷ κρατοῦντι, ἐπ' οἴκου μένειν καταδεδίκαστο καὶ μήτε προσιέναι πρὸς τὰ ἀνάκτορα μήθ' ὅλως εἰσιέναι πρὸς τὸ Βυζάντιον, εἰ μὴ ἐπιτραπείη τὴν εἴσοδον. ἠθύμει γοῦν διὰ ταῦτα· ἐπεὶ δ' ἐγνώκει τὴν τοῦ ἔθνους ἀποστασίαν καὶ τὴν τοῦ Δολιάνου αἵρεσιν εἰς τὸ ἄρχειν αὐτοῦ, ἀποδιδράσκει μὲν τῆς οἰκίας αὐτοῦ καὶ μεταμφιέννυται, Ἀρμενίου τε στολὴν περιθέμενος ἑαυτῷ καὶ θεράπων εἶναι τοῦ Θεοδωροκάνου πλαττόμενος καὶ ἀπιέναι πρὸς τὸ C *στρατόπεδον, ἔλαθε πάντας, καὶ πρὸς Βουλγαρίαν κατήντησεν. ἀλλ' οὐκ αὐτίκα δῆλον ἔθετο ἑαυτόν, προσομιλῶν δέ τισι τοῦ Ἀαρὼν ἀνεμίμνησκε καί "ἆρα" ἔλεγεν "εἴ τις τῶν ἐκείνου παίδων παρῆν, ἔδοξεν ἂν ὑμῖν εἰς τὴν ἔθνους ἀρχὴν προτιμότερος τοῦ νόθου ὁ γνήσιος;" ὡς δὲ πάντες πεποίηντο δι' εὐχῆς τὸ ὑπὸ γνησίου παιδὸς ἄρχεσθαι τοῦ Ἀαρὼν καὶ τὴν βασιλείαν αὖθις εἰς ἀναμφίβολον περιστῆναι ἄνδρα καὶ τῷ πάλαι βασιλείῳ γένει προσήκοντα καθαρῶς, πιστεύει τινὶ τὸ ἀπόρρητον τῶν μᾶλλον εἰδότων τὸ γένος τοῦ Ἀαρών. ὁ δὲ περιεργότερον* D *αὐτῷ ἀνιχνεύσας τὸ εἶδος τοῖς ὀφθαλμοῖς, εἶτα καί τι σημεῖον εἰδὼς προσὸν αὐτῷ ἀναμφίβολον, καὶ τοῦτο ἰδεῖν ἀπαιτεῖ. τὸ δ' ἦν περὶ τὸν δεξιὸν ἀγκῶνα χρῶμά τι μέλαν καὶ θρὶξ δασεῖα περὶ αὐτό. ἰδὼν οὖν καὶ τοῦτο, καὶ οὐκέτι ἔχων ἐνδοιαστῶς, καταβάλλει μὲν ἑαυτὸν ἐνώπιον τοῦ ἀνδρὸς καὶ τοὺς πόδας αὐτοῦ περιπτύσσεται. διδάσκει δὲ καὶ τοὺς ἄλλους τὸν ἐκ τοῦ βασιλείου γένους αὐτοῖς ἀφικόμενον. καὶ πολλοὶ τοῦ ἀμφιβόλου ἀπορραγέντες τῷ γνησίῳ προσέθεντο, καὶ μεμέριστο ἡ ἀρχή· ὡς δ' οὐ πάντως τῆς βασιλείας αὐτῆς στησομένης, εἰ πρὸς ἀλλήλους οἱ ἀρχηγοὶ διαφέροιντο, κοινοπραγοῦσι καὶ*

σπένδονται, ἀλλήλους δὲ καὶ ὑπώπτευον καὶ ἐνή-
P II 242 δρευον. ἀλλ' ὀξύτερος εὑρέθη ὁ Ἀλουσιάνος πρὸς
τὴν ἐπιβουλὴν καὶ τὴν τοῦ Δολιάνου προέφθασε
δολιότητα. καὶ πότον ἑτοιμασάμενος, καὶ συμπότην
παραλαβὼν τὸν συνάρχοντα, ἐπιτίθεταί οἱ συμπο-
σιάζοντι καὶ ἐξορύττει τῷ ἀθλίῳ τὰ ὄμματα, καὶ εἰς
μίαν ἐντεῦθεν ἀρχὴν τὸ Σκυθικὸν περιίσταται. εἶτα
δι' ἀπορρήτων μηνύει τῷ βασιλεῖ βούλεσθαι προσ-
χωρῆσαι αὐτῷ, εἰ εὐμενοῦς αὐτοῦ τεύξεται καὶ
ἀναλόγων οὐκ ἀμοιρήσει τῶν ἀμοιβῶν. ὁ δὲ τὴν
ἔντευξίν τε προσήκατο καὶ ἀξίως ἀμείψασθαι αὐτὸν
ἐπηγγείλατο. καὶ ὃς αὐτίκα προσεληλύθει καὶ τετί-
μητο μάγιστρος. ὁ δὲ βασιλεὺς ἔπεισι τῷ ἔθνει εὐ-
θύς, τὸ δὲ ἄναρχον ὂν καὶ διεσπαρμένον οὐ δυσέρ-
γως καταπολεμηθὲν αὖθις τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ
B ὑπέκυψε, καὶ ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέ-
ζευξε καὶ κατήγαγε θρίαμβον, αἰχμαλώτους τε πολ-
λοὺς διαγαγὼν ἐν αὐτῷ καὶ τὸν Δολιάνον αὐτὸν
πεπηρωμένον τὰ ὄμματα. εἶχε δ' ὁ αὐτοκράτωρ
κακῶς καὶ ἤδη τῇ λύσει προσήγγισε τῆς συνθέσεως.
καταφρονεῖ γοῦν τῆς ἀρχῆς καὶ ἐκ τῶν βασιλείων
μεταχωρεῖ καὶ ἄπεισιν εἰς ὅπερ αὐτὸς πρὸ τῶν τει-
χῶν τῆς πόλεως ἱδρύσατο ἀσκητήριον, ὃ ἐπὶ τῇ κλή-
σει τῶν θαυματουργῶν Ἀναργύρων ὠνόμασεν. ἔνθα
δὴ γεγονὼς ἐκδιδύσκεται μὲν τὴν ἁλουργίδα καὶ
τἄλλα πάντα τῆς βασιλείας γνωρίσματα, κείρεται δὲ
W III 193 τὴν τρίχα καὶ τελεῖται τὴν ἱερὰν τελετήν, ἐνδύεται
δὲ τὸ ῥάκος τῆς ἐν Χριστῷ ταπεινώσεως καὶ περιζών-
νυται τὸ θεῖον δέρας τὸ τῆς ἑκουσίου νεκρώσεως
C σύμβολον ὁ ἤδη καὶ ἄκων νεκρούμενος. ὡς οὖν ἠγ-
γέλθη τῇ βασιλίσσῃ τὸ γεγονός, πεζὴ τῶν βασιλείων
ὑπέξεισι, καὶ πρὸς ἐκεῖνον ἀφίκετο. ὁ δὲ ταύτῃ τὰς

θύρας ἐπιζυγοῖ καὶ τὴν πρὸς αὐτὸν ἀπείργνυσιν εἴσοδον, οὐκ οἶδα εἴτ' αἰδούμενος ἀνθ' ὧν πρὸς αὐτὴν ἐνεδείξατο εἴθ' ὅλος τῆς μετανοίας γενόμενος καὶ μὴ θέλων εἰς μνήμην ἐλθεῖν τῆς πρὸς ἐκείνην παλαιᾶς διαθέσεως. ἡ μὲν οὖν μὴ ἐντυχοῦσα τῷ Μιχαὴλ ὑπενόστησεν. ὁ δὲ βραχύ τι τῇ μεταθέσει τῆς βιοτῆς ἐπιβιώσας πρὸς τὰς ἀϊδίους μονὰς μετέθετο τὴν ζωήν, μέχρις ἐσχάτης ἀναπνοῆς τὸ πρὸς τὸν βασιλέα Ῥωμανὸν αὐτῷ τολμηθὲν ἀπολοφυρόμενος, βασιλεὺς γεγονὼς ἐπιεικὴς καὶ χρηστός, ὅσον τὸ εἰς αὐτόν, τὸ συγγενὲς δέ οἱ ὥσπερ τις κηλὶς D προσεπεφύκει αὐτῷ ῥυπαίνουσά πως τὴν ἐκείνου χρηστότητα. ἱστόρηται δὲ τοῖς μὲν ἐπ' ἔτος ἕβδομον τὸ σκῆπτρον κατασχεῖν τὸ Ῥωμαϊκόν, τοῖς δὲ καί τι τούτου ἐπέκεινα.

Ἧκε δ' ἡ τῆς βασιλείας ἀρχὴ πρὸς τὸν Καίσαρα, 18 πάντα τοῦ μητραδέλφου αὐτοῦ τοῦ Ἰωάννου ἀνύοντος. ὁ μὲν γὰρ βασιλεὺς Μιχαὴλ Καίσαρα τοῦτον ἐτίμησεν, ὡς προγέγραπται, εἶτα ὥσπερ μεταμελόμενος, οὐ χρηστὴν πρὸς ἐκεῖνον ἐτήρει διάθεσιν. ὅθεν καὶ ἔξω που τῆς πόλεως ὥριστο αὐτῷ ἡ καταγωγή, καὶ οὐδ' ἐφεῖτο τούτῳ, εἰ μὴ κελευσθείη, πρὸς τὸν βασιλέα φοιτᾶν. ἐπεὶ δὲ τῶν βασιλείων ὑπεξῆλθεν ὁ αὐτοκράτωρ, ὡς εἴρηται, οἱ ἐκείνου αὐτάδελφοι, βασίλειον πλάττονται γράμμα, ἐπιτρέπον ἐκείνῳ τὴν P II 243 πρὸς τὰ ἀνάκτορα πάροδον. καὶ ὁ μὲν εἰσελήλυθεν· ὁ δὲ πρῶτος τῶν ἀδελφῶν ὁ ὀρφανοτρόφος μὴ δεῖν συνεβούλευσεν ἐπιχειρῆσαι πράξει τινὶ γνώμης τῆς βασιλίδος χωρίς. προσίασι τοίνυν αὐτῇ καὶ τοῖς ἐκείνης ποσὶ τὸν Καίσαρα καταβάλλουσι καὶ προΐσχονται τὴν εἰσποίησιν καὶ πίστεις διδόασι καὶ φρικώδεις ὅρκους ὀμνύουσιν ἦ μὴν τοῦ ὀνόματος μόνου

τῆς βασιλείας μετέχειν τὸν Μιχαήλ, ἐκείνης δ' εἶναι τὴν ἐξουσίαν, καὶ ὡς ἀργυρωνήτῳ, εἰ βούλεται, κεχρῆσθαι αὐτῷ. τούτοις ἐκείνην καὶ ἄλλως εὐάγωγον οὖσαν καταγοητεύσαντες καὶ καταθέλξαντες τοῖς B μειλίγμασι συλῶσι καὶ τοῦ ἑαυτῶν ποιοῦσι θελήματος. καὶ ἐγχειρίζεται τὸ σκῆπτρον τῷ Μιχαὴλ καὶ ἀναδεῖται τῇ βασιλικῇ στεφάνῃ ὁ ταύτης ἀνάξιος, οὐ μᾶλλον ἐκ γένους, καίτοι τούτου τυχὼν δυσγενεστάτου καὶ ἀφανοῦς, τῶν γὰρ τὰς νῆας καταπιττούντων ἦν αὐτῷ ὁ πατήρ, ὅσον ἐκ τρόπων κακότητος. ἦν γὰρ ὕπουλος τὴν γνώμην, ἀγνώμων δὲ τὴν ψυχὴν καὶ ἀχάριστος καὶ μήτε συγγενείας θεσμοὺς μήτε φιλίας αἰδούμενος. ἦν δέ οἱ καὶ ἡ γλῶττα πρὸς τὰ βουλεύματα τῆς ψυχῆς ἀσύμφωνος καὶ ἀσύμβατος, ἄλλα μὲν ἐνὶ φρεσὶ κεύθοντι, ἄλλα δὲ λέγοντι, καὶ ἐπὶ τούτοις, εἴπερ τις ἄλλος, C βάσκανος ὁ ἀνήρ, δουλοπρεπής τε παρὰ τὰς τῶν καιρῶν δυσκολίας καὶ ἀνελεύθερος, δύσοργός τε καὶ εὐμετάβολος, οὐκ ἐξ ὀργῆς ῥᾷον μεταβαλλόμενος εἰς πρᾳότητα, ἀλλ' ἐκ χρηστοτέρας διαθέσεως εἰς μῖσος ἐκ τοῦ τυχόντος μεταφερόμενος. ὁ μὲν οὖν τοιοῦτος ὢν ἐπὶ τὸν ἄξονα τῆς βασιλείας ἀνάγεται, τῷ δὲ ὀρφανοτρόφῳ καὶ θείῳ αὐτοῦ καὶ τῷ συγγενικῷ ξύμπαντι ὁ κολοφὼν ἐντεῦθεν ἐπῆκτο τῶν συμφορῶν. οὐ γὰρ ἐπὶ μακρὸν ἐτήρησε τὴν σκηνήν τε καὶ τὴν προσποίησιν, ἀλλ' ἐπί τινας βραχίστας ἡμέρας W III 197 δεσπότην τὸν θεῖον ὀνομάζων καὶ συνθωκοῦν αὐτῷ ἀξιῶν καὶ πάντα ἐπ' ἐκείνῳ τιθέμενος εἶτα ὑφῄρει D τι τῆς τιμῆς, εἶτα οὐκ ἦν αὐτῷ πειθήνιος ἐν τοῖς πλείοσι, καὶ ἄλλοτε ἄλλο τι πρὸς τὸν θεῖον ὑποκνίζον αὐτὸν ἐνεδείκνυτο. τῷ δὲ μετέμελε τῆς εἰς τὸν ἀνεψιὸν τοῦτον σπουδῆς, οὐκ εἶχε δ' ὅτι καὶ δρά-

σειεν ἐξ ἑτοίμου, ἀλλ' ἐβυσσοδόμευε τὸ ἐγχείρημα, τέως δὲ οὐ συνεχῶς προσῄει τῷ βασιλεῖ. διαφορᾶς δὲ πρὸς Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτῷ γενομένης, ᾧ μόνῳ ἐξ ἁπάσης τῆς συγγενείας ὁ Μιχαὴλ προσέκειτο καὶ ἐτίμησε νωβελίσσιμον, καὶ τραχυνθέντος ἐκείνου κατὰ τοῦ Ἰωάννου τοῦ βασιλέως ἐνώπιον, ὁ Ἰωάννης τοῖς λόγοις δηχθεὶς καὶ μᾶλλον ὅτι μὴ πρὸς τοῦ βασιλέως διὰ τὰς πρὸς αὐτὸν λοιδορίας ἐπιτετίμητο, ἀπεδυσπέτησέ τε καὶ πόρρω ποι τοῦ ἄστεος γέγονε. τοῦτο δὲ γνωσθὲν πολύ τι τῆς PII244 γερουσίας μέρος συνεπεσπάσατο, ὥστε αὐτῷ προσφοιτᾶν, οὐκ εὐνοίᾳ, ἀλλ' ἵν' ἐφ' ἑαυτοὺς τὴν αὐτοῦ εὐμένειαν ἐφελκύσωνται. ἀλλὰ διὰ γραμμάτων, αὐτῷ τὴν ὑπεροψίαν ὁ βασιλεὺς προσωνείδισε, τὴν πρὸς ἐκεῖνον συνέλευσιν εὐλαβηθεὶς τῶν πολλῶν καὶ κακοήθως ἠξίου ἀφίξεσθαι. καὶ ὁ μὲν ᾔει· ὁ δὲ μὴ ἀναμείνας τοῦ θείου τὴν ἄφιξιν πεπόρευτο πρὸς τὸ θέατρον· ἦν γὰρ ἡμέρα ἵπποις ἁμιλλητήριος. ὡς δ' ἐλθὼν ὁ θεῖος οὐχ εὗρε τὸν βασιλεύοντα, ἔτι τῷ θυμῷ ὑπερζέσας, ὡς περιυβρισμένος, ἐπάνεισι. καὶ ὁ βασιλεὺς αὐτῷ τὴν δυσμένειαν εἰς προὖπτον ἐκρήγνυσι, καὶ στέλλει νῆα κελεύων αὐτῷ δι' αὐτῆς ἥξειν, B δώσοντι λόγους τῆς εἰς ἐκεῖνον ὑπεροψίας. καὶ ὁ μὲν ἔπλει πρὸς τὰ βασίλεια. ὁ δὲ βασιλεὺς ἄνωθεν διά τινος συνθήματος, ὃ τοῖς ἄγουσι τὸν Ἰωάννην προέγνωστο, ἐπέχει τῇ νηὶ τὴν εἰς τὰ βασίλεια πάροδον, αὐτίκα δὲ τριήρης ἐπελθοῦσα λαμβάνει τοῦτον καὶ ὑπερόριον τίθησι. τοιούτοις ἠμείψατο τὸν εὐεργέτην ὁ δι' ἐκείνου Καῖσαρ, εἶτα καὶ βασιλεὺς γεγονώς. ἐπεὶ δ' ἐκεῖνον ἐκ μέσου πεποίηκε, μέτεισι τὸ συγγενὲς καὶ ἄνδρας οὐχὶ τῇ τῆς φύσεως μόνῃ δηλωτικῇ σημασίᾳ, ἀλλὰ καὶ τῇ σημαινούσῃ τοὺς

γήμαντας καὶ τοὺς εἰς ἀνδρῶν ἡλικίαν ἐλάσαντας ὑπηνήτας ἤδη καὶ παίδων γεγονότας πατέρας τῶν παιδογόνων μορίων ἀποστερεῖ καὶ ἐκτομίας ἐργάζεται.

19 *Ὡς δὲ κατὰ τοῦ ὁμογενοῦς αἵματος τοιοῦτον*
C *ἤρατο τρόπαιον, ἕνα ἔτι περιλελεῖφθαι αὐτῷ ἐνόμιζεν Ἡράκλειον ἄεθλον τὸ καὶ τὴν βασιλίδα ἀποσκευάσασθαι, καὶ πρὸς τοῦτον λοιπὸν ἀποδύεται, ἐνάγοντα πρὸς τοὔργον καὶ τὸν θεῖον ἔχων Κωνσταντῖνον καὶ παραθήγοντα. λογοποιεῖ τοίνυν ὁ δυσγενέστατος παῖς κατὰ τῆς εὐγενεστάτης μητρὸς καὶ συμπλάττει κατ' αὐτῆς αἰτιάματα, φαρμακόν τε καλεῖ καὶ ἐπιβουλεύειν αὐτοῦ τῇ ζωῇ τῆς ἀθῴου κατηγορεῖ. καὶ τί δεῖ κύκλους ἑλίττειν; ἐξωθεῖ τῶν βασιλείων αὐτὴν καὶ περιορίζει τῇ νήσῳ τῇ λεγομένῃ τοῦ Πρίγκιπος, καὶ τέλος ἀποκείρει τὴν εὐεργέτιν καὶ μεταμφιέννυσι καὶ ἀντὶ τῆς ἐκ πενταγονίας προσηκούσης αὐτῇ πορφύρας ἐνδιδύσκει τρι-*
D *βώνιον. καὶ ὁ μὲν ὡς ἤδη τὸ πᾶν ἠνυκὼς ἔχαιρέ τε καὶ γαῦρος ὦπτο, καὶ παιδιαῖς ἑαυτὸν ἐπέδωκε καὶ τρυφαῖς. ἡ δὲ δίκη οὐκ ἐπενύσταξεν, ἀλλ' αὐτίκα μετῆλθε τὸν ἀλιτήριον. ὡς γὰρ τὸ περὶ τὴν βασιλίδα δρᾶμα τοῖς ἐν τῇ πόλει κεκήρυκτο, κατήφειαν ἦν ὁρᾶν παρὰ πᾶσι καὶ σκυθρωπότητα, καὶ ὡς ἐν οἰκείᾳ συμφορᾷ διετίθετο ἕκαστος, εἶτα καὶ φανερῶς ἐλοιδοροῦντο τῷ τυραννήσαντι. αἱ δὲ γυναῖκες καὶ θρήνους συνίστων, ἀνακαλούμεναι τὴν βασίλισσαν. καὶ τέλος εἰς στάσιν φανερὰν ἀνερράγησαν οἱ τῆς πόλεως ξύμπαντες. καὶ ἵνα τὸν τολμητίαν τιμωρήσωνται, οὐδεὶς ἐφείδετο τῆς οἰκείας ζωῆς, ἀλλ'*
PII245 *ἕκαστος τῷ προστυχόντι τὴν δεξιὰν ὁπλίσας συνέ-*
WIII195 *θεον ἐπὶ τὰ ἀνάκτορα. τὸν δὲ πρῶτον μὲν οὐ πάνυ*

τι τὸ τοῦ πλήθους συγκίνημα ἐθορύβησεν, εἶτα τὸν δῆμον ὁρῶν ἐκμαινόμενον εἰς λόχους τε συνιστάμενον καὶ τὸν λαὸν ἐπιρρέοντα, τοὺς δὲ περὶ αὐτὸν ἀμφιβόλους ταῖς γνώμαις κατανοῶν, κἀκείνοις γὰρ τὸ περὶ τὴν βασίλισσαν μεμίσητο τόλμημα, περιδεής τις καὶ ἐναγώνιος γέγονεν. ἀλλά τι μικρὸν τὴν ἀγωνίαν αὐτῷ ὁ νωβελίσσιμος ἐπεκούφισεν. οἴκοι γὰρ ὢν καὶ τὴν στάσιν μεμαθηκώς, τοὺς περὶ αὐτὸν ὁπλίσας, πολλοὶ δ' αὐτῷ παρετρέφοντο, διὰ μέσης τῆς Ἀγορᾶς παριὼν ἀπῆλθεν εἰς τὰ βασίλεια, καὶ αὐτίκα στέλλουσι τοὺς ἐπανάξοντας τὴν βασίλισσαν, τοῖς δὲ στασιώταις ἀντέστησάν τινας ἐκ τάφανοῦς βέλη κατ' αὐτῶν ἀφιέντας, καὶ λίθους ἐσφενδόνων, B ἐξ ὧν οὐ βράχιστοι ἀνηρέθησαν. ἤδη δὲ τὴν βασιλίδα ἀνακομισθεῖσαν στήσαντες ἐπὶ μετεώρου ἐν τῷ θεάτρῳ τοῖς στασιάζουσιν ἐπεδείκνυον, ἵνα δῆθεν αὐτοῖς κατευνασθῇ ὁ θυμός, ἀνακληθείσης τῆς σφετέρας δεσπότιδος. τοῖς δὲ τοῦτο μᾶλλον ἀνῆψε τὸν θυμὸν καὶ ἐξέκαυσε τὴν ὀργήν. ὡς γὰρ μετημφιεσμένην αὐτὴν ἑωράκεισαν, ἐπὶ πλέον ἀνερρώγεσαν εἰς τὸν πόλεμον, καὶ τῆς κακοηθείας τὸν τυραννοῦντα μισήσαντες ἀφίστανται μὲν τῆς βασιλίδος Ζωῆς, πρὸς δὲ τὴν Θεοδώραν τὴν ταύτης σύγγονον τρέπονται, ἤδη προμετασχηματισθεῖσαν κἀκείνην παρὰ τῆς ἀδελφῆς, ὡς ὁ λόγος φθάσας ἐδίδαξε, καί τινα τῶν αὐτῆς θεραπόντων παραλαβόντες πατρῴων, ἀφίκοντο ἐπ' αὐτήν, καὶ ταύτην τῆς κατοικίας C ἐξαγαγόντες καὶ οἷον περὶ αὐτὴν συνασπίσαντες, εἰς τὸ μέγα τέμενος ἄγουσι τῆς τοῦ θεοῦ λόγου Σοφίας, καὶ παρὰ πάντων τῶν τε τῆς βουλῆς καὶ τῶν τοῦ δήμου καὶ αὐτῶν τῶν τῆς ἐκκλησίας ἡ Θεοδώρα βασιλὶς ἀνηγόρευτο. τοῦτο πᾶσαν ἐλπίδα τῷ Μιχαὴλ

καὶ τοῖς περὶ ἐκεῖνον ἀπέσβεσε, καὶ δεδιὼς περὶ τῇ ζωῇ τῶν βασιλείων μεθίσταται, καὶ νηὶ τῶν βασιλικῶν ἐμβεβηκὼς αὐτὸς καὶ ὁ νωβελίσσιμος εἰς τὴν περιώνυμον ἀπῆλθον τοῦ Στουδίου μονήν, τὰ μὲν τῆς βασιλείας γνωρίσματα ἀποθέμενος, μοναστοῦ δ' ἑαυτῷ περιθέμενος ἄμφια. ἐπεὶ δ' ἐγνώσθη τοῦτο τῷ δήμῳ, οὐκ εἶχον ὅπως ἐκ τῆς χαρᾶς κατάσχωσιν
D *ἑαυτούς, καὶ ἐπ' ἐκεῖνον συνέθεον. ἤδη δὲ κλινούσης ἡμέρας, οἱ περὶ τὴν Θεοδώραν δείσαντες μὴ ἡ βασιλὶς Ζωὴ αὖθις τὸν ἐκβεβλημένον ἀνακαλέσηται, ἵνα μὴ ἡ ἀδελφὴ αὐτῇ συγκοινωνήσῃ τῆς βασιλείας, στέλλουσι τοὺς τὰ ὄμματα καὶ ἀμφοῖν ἐξορύξοντας. οἱ μὲν οὖν ἐξ αὐτοῦ τοῦ θυσιαστηρίου τῆς τοῦ Στουδίου μονῆς ἐκσπασθέντες ἀπήγοντο. τὸ δὲ πλῆθος συρρεῦσαν περὶ αὐτοὺς ἐνύβριζόν τε καὶ ἐπετώθαζον, καὶ μέλη συντιθέντες ἐπετραγῴδουν αὐτοῖς. ὡς δ' ἧκον ἐπὶ τὸ Σίγμα, τόπος δ' ἐστὶ κεκλημένος τουτί, ἐκεῖ τοὺς ὀφθαλμοὺς ἐξεκόπησαν, ὁ μὲν Κωνσταντῖνος γενναίως φέρων τὴν συμφοράν, ὁ δὲ Μι-*
PII246 *χαὴλ θεοκλυτῶν τε καὶ ὀδυρόμενος. ἐπεὶ δὲ ἄμφω σκότος ἐκάλυψε, πρὸς τὴν Θεοδώραν οἱ τὴν πήρωσιν ἐκείνοις σχεδιάσαντες ἐπανήλθοσαν, ἔτι τῷ μεγάλῳ τεμένει προσμένουσαν. ἡ δὲ Ζωὴ ἐτύγχανε περὶ τὰ βασίλεια. ἦν μὲν οὖν αὐτῇ τὸ βουλόμενον μὴ προσήσεσθαι τοῦ κράτους κοινωνὸν τὴν ὁμαίμονα· ἐζηλοτύπει γὰρ ἐκτόπως. ἀλλ' οἱ τῆς γερουσίας καὶ ἄμφω σεβόμενοι, τὴν μὲν ὡς βασιλίδα σφῶν ἐκ μακροῦ, τὴν δέ, ὡς ἄρτι ἀναρρηθεῖσαν καὶ τοῦ καταλυθῆναι τὴν τυραννίδα γενομένην αἰτίαν, πείθουσι τὴν πρεσβυτέραν κοινωνὸν τοῦ κράτους προσειληφέναι τὴν ἀδελφήν. ἥκει τοίνυν καὶ ἡ Θεοδώρα πρὸς τὰ βασίλεια καὶ συμμετέχει τοῦ κράτους τῇ*

ἀδελφῇ, ἐντεῦθεν ὑπερορίαν οἱ πηρωθέντες τοὺς B
ὀφθαλμοὺς κατακρίνονται, τῆς βασιλείας αὐτοῖς ἐπὶ μῆνας τέσσαρας καὶ πέντε ἡμέρας συσταλείσης, ὡς εἴθε γε καὶ ἐπὶ βραχύτερον.

Κατηντήκει τοίνυν περὶ τὴν γυναικωνῖτιν ἡ τῶν W III 196
Ῥωμαίων ἀρχή, καὶ οὐδέν τι περὶ ταύτας νενεωτέ- 20
ριστο, ἀλλὰ πάντες αὐταῖς ὑπεῖκον, τό τε τῆς γερουσίας ἔξοχον καὶ τὸ τοῦ στρατηγίου ἐπισημότατον. αἱ δ' ἄμφω ἐκάθηντο ἐπὶ βήματος καὶ πᾶσα περὶ αὐτὰς ἐτελεῖτο ἡ τελετὴ ἡ βασίλειος καὶ τῇ δορυφορίᾳ τὸ ἐπὶ τῶν βασιλέων σχῆμα τετήρητο, καὶ οἱ τῆς πρώτης βουλῆς καὶ οἱ ἐν τέλει σὺν αἰδοῖ παρειστήκεισαν ξύμπαντες. καὶ ζητήσεις δικῶν καὶ λύσεις δημοσίων ἀμφισβητήσεων, ἐντυχίαι τε πρεσβευτῶν C
καὶ ἀρχαιρεσίαι καὶ τἄλλα τὰ τῇ βασιλείᾳ προσήκοντα ἐγίνοντο παρ' αὐταῖς. ἀλλ' εἴτε φόβος μὴ τῇ ἀδελφῇ μόνῃ περισταίη τὰ τῆς ἀρχῆς, ὑπεψιθυρίζετο γάρ τισιν αὐτῇ μᾶλλον προσήκειν τὰ τῆς ἀρχῆς, ἅτε καὶ τῆς τοῦ τυραννήσαντος καθαιρέσεως αἰτίᾳ, εἴτ' ἀνδρὸς ἐπιθυμίᾳ καὶ μίξεως ἀνέπεισαν τὴν Ζωὴν ἐπεισαγαγεῖν τοῖς βασιλείοις τὸν βασιλεύσοντα καὶ αὐτῇ συμβιώσοντα. καὶ ἤχθη μὲν ὁ Δαλασσηνὸς Κωνσταντῖνος, ὡς ἐπ' ἄλλο τι μετακεκλημένος. ἀποτομώτερον δὲ τοῖς λόγοις χρησάμενος καὶ τὸ ἦθος φορτικός τις δόξας καὶ δυσχερής, ἀπεδοκιμάσθη. εἶτα ἐπ' ἄλλον ἀπένευσεν οὔτε τῶν ἄγαν ὄντα εὐπατριδῶν οὔτε τῶν ἐν ἀξίαις λαμπροτέραις ἐξητα- D
σμένων οὔτε τῶν ἐν περιφανέσιν ἀρχαῖς, τὸ δὲ εἶδος ἄξιον τυραννίδος καὶ οἷον πρὸς ἔρωτας ἐφελκύσασθαι καὶ μὴ μαχλοσύνῃ προσκειμένην ψυχήν. ἐπ' ἐκεῖνον οὖν ὅλοις ἱστίοις ἔπνευσεν ἡ βασίλισσα, ἀλλ' ἠκύρωσε τὰς ψήφους αὐτῇ νόσος ἀθρόον τὸν ἄνδρα

τῆς ζωῆς ἐξαρπάσασα. ὑπωπτεύθη δὲ καὶ ἡ συνοικοῦσα τούτῳ τὸν θάνατον αὐτῷ σχεδιάσασα καὶ φάρμακον αὐτῷ διὰ ζηλοτυπίαν κεράσασα δηλητήριον, ἵνα μὴ ἔτι ζῶντος στερήσοιτο τοῦ ἀνδρὸς καὶ ὁρῴη ἑτέραν αὐτῷ παριαύουσαν. ὁ μὲν οὖν οὕτω τῶν ἐλπίδων ἐκπέπτωκε καὶ τῆς ὁρμῆς ἡ βασίλισσα. PII247 *αἱ δὲ ψῆφοι πρὸς τὸν Μονομάχον Κωνσταντῖνον ἀπέκλιναν, ἄνδρα καὶ εὐγενέτην καὶ τῶν ἐπισήμων καὶ κηδεστὴν τῷ βασιλεῖ Ῥωμανῷ ἐπ' ἀδελφόπαιδι χρηματίσαντα, ταύτῃ γὰρ κατὰ δευτέρους γάμους ὡμίλησε, καὶ τὴν ὥραν ὑπέρλαμπρον. τούτῳ οὔπω μὲν μεγαλοπρεπές τι ὁ βασιλεὺς Ῥωμανὸς ἐνεδείξατο, διὰ δέ γε τὴν πρὸς αὐτὸν ἀγχιστείαν περὶ τὰς βασιλείους αὐλὰς ἀνεστρέφετο, κἀντεῦθεν συνήθης τῇ βασιλίδι ἐγένετο, κἀκείνη φιλίως πρὸς τὸν ἄνδρα διέκειτο καὶ ᾠκειοῦτο αὐτόν, καὶ χάρισιν ἐδεξιοῦτο πολυταλάντοις, οἷα ἐκείνη τὴν χεῖρά τε ἀφειδὴς καὶ βασιλικὴ τὴν προαίρεσιν, ὥστε ταῦτα τοῖς κακοήθεσι καὶ λοιδορίας κατ' αὐτῶν ἐγένετο ἀφορμή. ὅθεν ὁ μετὰ τὸν Ῥωμανὸν αὐτοκράτωρ ὁ Μιχαήλ, οὐκ ὢν τῶν λεγομένων ἀνήκοος, βασιλεύσας εἰς* B *Λέσβον περιορίζει τὸν ἄνδρα ἐπ' αἰτίαις δή τισι πεπλασμέναις, τὸ δ' ὅλον ἦν τὸ ζηλότυπον. καὶ ἦν τὸν ἅπαντα χρόνον τῆς βασιλείας τοῦ Μιχαὴλ ὑπερόριος, καὶ οὐδὲ τοῦ δευτέρου Μιχαὴλ εὐμενεστέρου τετύχηκεν. ἐπεὶ δὲ τὸ κράτος ἐπανῆλθεν εἰς τὴν Ζωήν, λύεται μὲν τῆς ὑπερορίας ὁ ἄνθρωπος, καὶ ἤγετο πρὸς τὴν τῶν πόλεων βασιλεύουσαν. ὡς δ' ἐγγὺς ἐγεγόνει, ἐπεσχέθη τοῦ πρόσω, καί τις ἐκ τῶν βασιλείων πεμφθεὶς καὶ περὶ τὸν ἐν Δαμοκρανείᾳ τοῦ ἀρχιστρατήγου ναὸν αὐτῷ ἐντετυχηκὼς στολὴν αὐτῷ ἐνδιδύσκει βασίλειον, καὶ σὺν δορυφορίᾳ βα-*

σιλικῇ ἐκεῖθεν ἀπάρας εἰσεληλύθει τὴν βασιλεύου-
σαν. καὶ τελεῖται μὲν τοῖς βασιλεῦσι παρά του τῶν
ἱερέων ἡ ἱεροτελεστία ἡ γαμική· ὁ γὰρ πατριάρχης
Ἀλέξιος διὰ τὴν τριγαμίαν ηὐλαβήθη τὴν ἐπὶ τῇ C
συναφείᾳ τελετὴν αὐτουργῆσαι αὐτοῖς. τῇ δ' ἐξῆς
τὴν ἐπὶ τῷ βασιλείῳ στέφει μεταχειρίζεται τελετήν,
καὶ ἀναδεῖται ὁ Μονομάχος καὶ τὸ σκῆπτρον τὸ Ῥω-
μαϊκὸν ἐγχειρίζεται.

Ἐντεῦθεν ἡ μὲν τῶν αὐταδέλφων ἀρχὴ τέλος W III 197
ἔσχεν, ἐπὶ τρίτον διαρκέσασα μῆνα, ἡ δὲ τῶν κοι- 21
νῶν διοίκησις πρὸς τὸν Μονομάχον μετέπεσε· καὶ ὃς
αὐτίκα οὐ σὺν λόγῳ οὐδὲ μετά τινος ἔμφρονος οἰκο-
νομίας οὔτε τὰς τῶν ἀξιωμάτων ἐποιεῖτο τιμὰς οὔτε
τὰς τῶν χρημάτων διανομάς, ἀλλὰ καὶ τὰς τιμὰς
χύδην παρεῖχε καὶ οἷς μὴ προσῆκεν αὐτὰς ἐχαρίζετο,
καὶ τοὺς βασιλικοὺς θησαυροὺς εἰ αὐθημερὸν ἐκκε-
νωθῆναι συμβέβηκεν, οὐδὲν αὐτῷ τι πρᾶγμα λελό-
γιστο. τοῖς γε μὴν ἰδιωτεύοντι προσκεκρουκόσιν D
αὐτῷ ἀφῆκεν ἅπασι τὰς αἰτίας, καὶ ἐμηνία τούτων
οὐδέ τινι· ἡδυπαθείαις δ' ἑαυτὸν ἐκδέδωκε καὶ τρυ-
φαῖς, τὸ μὲν τὴν ἐκ τοῦ σάλου τῶν συμφορῶν ἀη-
δίαν ἀποπτύσαι πειρώμενος, ἄρτι πρὸς ἄκλυστον
τάχα λιμένα κατάρας τὴν ἀρχὴν τὴν βασίλειον, τὸ
δέ τι ταῖς βασιλίσσαις χαριζόμενος καὶ γλυκυθυμίας
αὐταῖς μυώμενος ἀνειμένων οὔσαις ἠθῶν. λόγοις
δὲ προσεῖχεν ἢ μᾶλλον τοῖς λόγους μετιοῦσι καὶ δό-
ξαν ἔχουσι λογιότητος, αὐτὸς τῶν λόγων ἄκρῳ μό-
νον δακτύλῳ τὸ τοῦ λόγου γευσάμενος. τὰ μὲν οὖν
περὶ τὰ βασίλεια οὕτως εἶχε, τὰ δ' ἐκτὸς οὐκ εὐ-
τυχῶς τοῖς Ῥωμαίοις ἐφέρετο. ἀποδρὰς γάρ τις ἐκ
Βυζαντίου Σκύθης ἀνήρ, Βοϊσθλάβος ὀνομαζόμενος, P II 248
καὶ χεῖρα περὶ αὐτὸν συλλέξας, κἀν τοῖς ὄρεσι τοῖς

Ἰλλυρικοῖς ἐμφωλεύων ὥς τις ἄγριος θήρ, τὰ πρόσοικα τοῖς ὄρεσι τούτοις ἔθνη καὶ Ῥωμαίοις ὑπήκοα ἐληίζετο, Τριβαλλούς τε καὶ Σέρβους, καὶ ὅσοι τούτοις ὁμογενεῖς. ὡς δ' οὖν ἠγγέλη τοῦτο τῷ βασιλεῖ, γράφει τῷ εἰς τὸ Δυρράχιον ἄρχοντι τῷ Στεφάνῳ συμβαλεῖν· καὶ τοῦτο γὰρ ὁ Βοϊσθλάβος ὠνόμαστο. ὁ δὲ ἀτέχνως ἐγχειρήσας τῇ πρὸς ἐκεῖνον μάχῃ, ἦν γὰρ στρατηγικῆς ἐμπειρίας ἀμέθεκτος, μεγάλης τοῖς μετ' αὐτοῦ στρατευομένοις ἐγένετο παραίτιος συμφορᾶς, αὐτὸς μὲν μόλις μετὰ βραχέων σωθείς, τὸ δ' ἄλλο στράτευμα σύμπαν καταστρώσας ἐκεῖ, μηδὲ χειρὶ δυνάμενον χρήσασθαι καὶ τοὺς ἀναιρέτας ἀμύ-
B νασθαι. τὰ μὲν οὖν κατὰ τὸ Ἰλλυρικὸν τοῦτον ἔσχε τὸν τρόπον. ὁ δὲ Μονομάχος, εἰς τὰ κατ' οἶκον γὰρ αὐτῷ πάλιν ὁ λόγος ἐμφιλοχωρησάτω, ἐπεὶ καὶ ἡ δευτέρα σύνοικος αὐτῷ ἐτεθνήκει, εἰς τρίτον μὲν γάμον ἀποκλῖναι οὐκ ἔκρινεν, ἀνεψιᾷ δὲ τῆς αὐτοῦ γαμετῆς χηρείᾳ συζώσῃ, λάθρᾳ μὲν πρῴην, εἶτα καὶ εἰς τοὐμφανὲς συνεφθείρετο. ἡ δὲ καὶ νέας ἦν ἡλικίας καὶ κάλλους εἶχε τοῦ σώματος περιττῶς καὶ γένους ἐπιφανῶς· ἐξέφυ γὰρ τοῦ σπέρματος τῶν Σκληρῶν. οὕτω δ' ἀλλήλοις ἐνετετήκεσαν καὶ οὕτω σφίσιν ὁ ἔρως ἐγκέκαυτο ὡς εἰ μὴ συνεῖεν ἀλλήλοις, μηδὲ ζῆν δοκεῖν μηδ' ἀνέχεσθαι. διὸ καὶ ὑπερορίαν, ὡς εἴρηται, καταδικασθέντι τούτῳ τῷ βασιλεῖ κά-
C κείνη τῶν ἁπάντων ἑαυτὴν ὑπερώρισεν, ἵν' ὁρῴη τὸν ἐρῶντά τε καὶ ἐρώμενον καὶ μὴ εἴη αὐτοῦ ὑπερόριος, καὶ συναπήει τἀνδρί, πάντα γινομένη αὐτῷ καὶ τὴν συμφορὰν ὡς οἷόν τε συνεπικουφίζουσα κἀκ τῶν οἰκείων χορηγοῦσα τούτῳ, ἵνα μὴ πρὸς τοῖς ἄλλοις λυπηροῖς ἐνδείᾳ πιέζοιτο· ἔτρεφε γὰρ κἀκείνην ἡγεμονίας ἐλπίς. ἐπεὶ δ' ἐκεῖνος εἰς

τὴν τῆς βασιλείας ἤρθη περιωπήν, τῇ δὲ αἱ ἐλπίδες οὐκ ἐκβεβήκεσαν, οὐκ ἠμνημόνησε τῆς γυναικὸς οὐδ' ἐν τῇ εὐκαιρίᾳ ὁ βασιλεύς, ἀλλὰ προσάγει λόγους τῇ βασιλίδι περὶ αὐτῆς, καὶ ἀξιοῖ ἀνακληθῆναί τε τὴν γυναῖκα καὶ τυχεῖν εὐετηρίας τινός. ἡ δὲ οὐκ ἀνένευσεν· ὁ γὰρ χρόνος αὐτῇ παρήνεγκεν τὸ ζηλό- D τυπον, ἤδη τυγχανούσῃ παρήλικι, καὶ οἱ συμβεβηκό- W III 198 τες αὐτῇ πειρασμοὶ μετριωτέραν εἰργάσαντο. ἀνάγεται τοίνυν ἐκ Μιτυλήνης ἡ Σκλήραινα, καὶ οὐκ εὐθὺς αὐτῇ περιφανὴς κατοικία ἡτοίμαστο, ἀλλ' οὐδὲ θεραπεία ἁβρά. τοῦ χρόνου δὲ προϊόντος καὶ βασίλειος αὐτῇ δορυφορία νενέμητο καὶ ὁ οἶκος αὐτῇ μετεσχημάτιστο εἰς ἀνάκτορον. οἶκον γὰρ οἰκεῖον οἰκοδομεῖν ὁ Μονομάχος ἐσχηματίσατο τὴν ἐκείνης καταγωγήν, ἵνα θαμὰ πρὸς ἐκείνην ἀπίοι, ὡς δή τι τῶν δομουμένων ὀψόμενος. μέχρι μὲν οὖν τινος ἐσκηνοποίει τὸν ἔρωτα, καὶ ὥσπερ ἠρυθρία πρὸς τὸ γινόμενον. εἶτα καὶ τὴν αἰδῶ καὶ τὴν σκηνὴν ἀπο- P II 249 τίθεται, καὶ τῇ γυναικὶ συνῆν οὐχ ὡς παλλακῇ οὐδ' ὡς ἡμιγάμῳ, ἀλλ' ὡς ἐμφανῶς ξυνευνέτιδι, καὶ αὐτῇ ἐκ τῶν βασιλικῶν ταμείων καθ' ἑκάστην ἐπέρρει τὰ χρήματα κατὰ ποταμοὺς καὶ φλέβες ἀνεστομοῦντο χρυσίτιδες, καὶ ἀπαρακαλύπτως αὐτῇ προσεφοίτα ὁ βασιλεύς. ἀλλὰ δεινὸν ἡγούμενος εἰ μὴ καὶ συμβιῴη αὐτῇ καὶ συνοικοίη διὰ παντός, μετάγει ἐκεῖθεν τὴν γυναῖκα πρὸς τὰ βασίλεια, τῇ βασιλίδι περὶ τούτου πρότερον κοινολογησάμενος καὶ πείσας μὴ δυσχερᾶναι πρὸς τὸ γινόμενον. μᾶλλον μέντοι καὶ φιλίας ὅρκια λέγεται παρὰ τοῖν γυναίοιν ἀμφοῖν τελεσθήσεσθαι, τοῦτο τοῦ αὐτοκράτορος ἀξιώσαντος. τετίμητο δὲ ἡ γυνὴ Σεβαστή, αὐτῇ πρώτῃ τῆς B πρῴην βασιλικῆς ἀπονεμηθείσης τιμῆς· καὶ ὠνομά-

ζετο δέσποινα. καὶ ἡ βασιλὶς ἐπὶ τούτοις οὔτ' ἐμηνία οὔτ' ἤχθετο, μέσον δὲ σκηνοῦντος τοῦ βασιλέως ἑκατέρωθεν ᾤκουν παραλλὰξ ἡ βασιλὶς καὶ ἡ Σεβαστή. καὶ οὔποτε ἡ Αὐγούστα προσῄει τῷ βασιλεῖ, εἰ μὴ τῆς ἐρωμένης μεμονῶσθαι τοῦτον ἀπηκριβώσατο. ἀλλ' οὕτως ἔχουσα καὶ εἰς τόσον εὐκληρίας ἀρθεῖσα, καὶ μείζονας δ' ἐλπίδας παρ' ἑαυτῇ θάλπουσα, ἀθρόον ἀναρπάζεται νόσῳ, καὶ θνήσκει μέγα πένθος καταλιποῦσα τῷ βασιλεῖ.

22 Καὶ ἡ μὲν ἀπῆλθεν, τῷ δὲ βασιλεῖ πόλεμος
C ἐπῆλθεν ἐμφύλιος. ὁ γάρ τοι Μανιάκης Γεώργιος, ἀνὴρ καὶ τὴν ψυχὴν ἀνδρειότατος τὴν χεῖρά τε γενναιότατος καὶ στρατηγεῖν δεξιώτατος, παρὰ ταῖν βασιλίδαιν, ὅτ' ἐκεῖναι τοῖς τῆς βασιλείας πράγμασιν ἐφειστήκεσαν, εἰς Ἰταλίαν πεμφθεὶς πολεμησείων τοῖς αὐτῇ ἐπεμβαίνουσι καὶ ταύτης οἰκειωσαμένοις ἔνια, καὶ τῇ τῶν Ῥωμαίων αὖθις ἡγεμονίᾳ ἐπανασώσων αὐτά, τοῖς τῶν Ῥωμαίων ἀντιπολέμοις ἀντικαθίστατο. ἐπεὶ δὲ εἰς τὸν Μονομάχον ὁ τῆς βασιλείας ἄξων μετακεκύλιστο καὶ ὁ Σκληρὸς Ῥωμανός, ἀδελφὸς δ' ἦν ὁ ἀνὴρ τῆς ἐρωμένης τῷ βασιλεῖ, μέγα δεδύνητο διὰ τὴν ὁμαίμονα καὶ μάγιστρος καὶ
D πρωτοστράτωρ τετίμητο, τῷ κατὰ τὸ θέμα τῶν Ἀνατολικῶν οἴκῳ τοῦ Μανιάκη ἀγχιτερμονῶν, κακῶς διετίθει τὰ τοῦ ἀνδρός, μνησικακῶν ὅτι πρῴην διαφερόμενος ἐκείνῳ κατεπονεῖτο. λέγεται δὲ καὶ τῆς εὐνῆς ἐπιβῆναι τοῦ Μανιάκη. ταῦτα τῷ ἀνδρὶ ἀγγελλόμενα εἰς θυμὸν ἐκίνει αὐτὸν καὶ ἄχος ἐνεποίει πολύ· εἶτα καὶ τὴν ἀρχὴν ἀφαιρεῖται, καὶ τοῦτο κατεργασαμένου τοῦ Ῥωμανοῦ. ἐννοῶν τοιγαροῦν ὡς εἰ πρὸς τὴν Κωνσταντίνου ἐπανελεύσεται, οὐ χρηστῶς αὐτῷ διατεθήσεται ὁ κρατῶν διὰ τὸν Σκλη-

ρόν, τυραννίδι ἐπιχειρεῖ. καί οἱ ὡς κορυφαιοτάτῳ τῶν στρατηγῶν καὶ ἀρηίῳ ἀνδρὶ πολὺ τοῦ στρατιωτικοῦ προσεχώρησεν. ὁ δὲ ἐξ Ἰταλίας πρὸς τὴν ἀντι- PII250 κρὺ ταύτης ἤπειρον πλοίοις ἐμβιβάσας τὸ στράτευμα γίνεται. τοῦτο εἰς θόρυβον τὸν βασιλέα ἐνέβαλε, καὶ γραφὴν ἐγχαράττει τῷ Μανιάκῃ, παντὸς μὲν δείματος αὐτὸν ἀπολύουσαν, εἰ τὰ ὅπλα κατάθοιτο, ἐπαγγελλομένην δὲ τὰ χρηστότερα. ὡς δ' ἐκεῖνος ἅπαξ WIII199 κύβον ἀναρρίψας οὐκέτι τῶν ὅπλων μεθίετο, ἀντιστρατεύει κατ' αὐτοῦ ὁ βασιλεύς. ἐφιστᾷ δὲ τῷ στρατεύματι οὔτινα τῶν γενναίων ἀνδρῶν ἢ τῶν ἐν στρατηγίαις ἐξητασμένων, δεδιὼς μὴ κἀκεῖνος τολμήσειε τὰ αὐτά, ἀλλ' ἐκτομίαν τῶν θαλαμηπολούντων, πιστὸν μέντοι αὐτῷ. ὁ δὲ τὰς δυνάμεις ἀναλαβὼν ἀπῄει, καὶ ὁ Μανιάκης ἔσπευδεν ἀσυντάκτους τοὺς περὶ τὸν ἐκτομίαν καταλαβεῖν. ἐπεὶ δὲ προσέβαλλον ἀλλήλαις αἱ στρατιαί, τὸ μὲν ἐπὶ τῷ B πρωταγωνιστῇ, τῷ Μανιάκῃ φημί, τροποῦται τὸ τῶν ἐναντίων στρατόπεδον, τὸ δ' ἐπὶ τῇ τὰ ἡμέτερα διεξαγούσῃ προνοίᾳ ἀθρόον ἀντέστραπτο τὰ τῆς μάχης, καὶ ἥττηντο οἱ περὶ τὸν Μανιάκην. ὡς γὰρ ἐκεῖνος ἐπιὼν τὰς τάξεις διεκλόνει τὰς φάλαγγας καὶ οἷς ἂν ἐνεβόησεν εὐθὺς ἀνεχάζοντο καὶ ὁ συνασπισμὸς διελύετο, αἴφνης πεπληγμένος εὑρέθη, καὶ πληγὴν καιρίαν, ἐξ ἧς τὸ αἷμα καταρρέον πολύ, ἀχλὺν αὐτοῦ κατεσκέδασε καὶ πάρεσιν τοῖς μέλεσιν ἐνεποίησεν, ὥστε καὶ τὸν χαλινὸν διεκπεσεῖν τῆς χειρὸς αὐτοῦ, κἀκεῖνον καταβληθῆναι εἰς γῆν ἐκ τοῦ ἵππου, τῆς ἕδρας ἀπολισθήσαντα. ἔκειτο τοίνυν αὐτίκα θανὼν ἔξω τι τοῦ μεταιχμίου βραχύ, καὶ οἱ βασιλικοὶ ἐπελθεῖν τέως αὐτῷ ἐδεδίεσαν. ὡς δ' οἱ ἐκείνου τὸν σφέτερον ἔγνων ἀρχηγὸν πεσόντα, πτοίᾳ C

ληφθέντες διεσκεδάσθησαν. τότε τῷ κειμένῳ ἐπέδραμον οἱ τῆς ἑτέρας μοίρας, καὶ τὴν τοῦ δειλαίου κεφαλὴν ἐκτεμόντες τῷ σφῶν προσήγαγον στρατηγῷ. ὁ δὲ ταύτην αὐτίκα τῷ αὐτοκράτορι πέπομφε, κἀκεῖνος μετέωρον ταύτην ἦρε κατὰ τὸ θέατρον, εἶτα καὶ τοῦ τὸν πόλεμον κατωρθωκέναι δόξαντος ἐκτομίου ἐπανελθόντος μετὰ τῆς στρατιᾶς, θρίαμβος γίνεται, τοῦ βασιλέως ἐν τῷ πρὸς τὴν ἀγορὰν ἐπεστραμμένῳ προτεμενίσματι τοῦ ἐν τῇ Χαλκῇ λεγομένῃ τοῦ Σωτῆρος ναοῦ προκαθημένου μετὰ πολλῆς τῆς λαμπρότητος, ἑκατέρωθεν αὐτοῦ καὶ τῶν βασιλίδων συγκαθημένων. ἀλλὰ τὰ μὲν κατὰ τὸν Μα- D νιάκην ἐν τούτοις τετελευτήκασιν. ἄλλη δ' αὖθις κεκίνητο τυραννίς, ἧς ἦν ἐργάτης Θεόφιλος ὁ Ἐρωτικός. ὃς τὰ κατὰ τὸν δεύτερον Μιχαήλ, τὸν τοῦ πρώτου ἀδελφιδοῦν, μαθών, καὶ ὡς γυναιξὶν ἡ βασιλεία πεπίστευται, τοὺς Κυπρίους ὑπελθών, τούτων γὰρ ἔτυχεν ἄρχων τότε, ἀποστασίᾳ ἐπιχειρεῖ. οὐ μέντοι τριβῆς τῷ Μονομάχῳ ἐδέησε πρὸς τὴν τούτου καθαίρεσιν. στόλον γὰρ στείλας δι' αὐτοῦ τὸν Ἐρωτικὸν ἐχειρώσατο καὶ τὴν νῆσον ῥᾷον εἰς δούλωσιν ὑπηγάγετο. θνήσκει δὲ ὁ πατριάρχης Ἀλέξιος, ἐπ' ἔτη δέκα πρὸς τοῖς ὀκτὼ καταπολαύσας τοῦ θρόνου τοῦ πατριαρχικοῦ, καὶ Μιχαὴλ ὁ λεγόμενος Κηρουλάριος πρὸς αὐτὸν ἀνθιδρύεται. χρυσίου δὲ κεντηνάρια πέντε καὶ εἴκοσι ἐκ τῆς τοῦ πατριάρχου Ἀλεξίου μονῆς ὁ Μονομάχος ἀφείλετο, παρ' ἐκείνου τοῦ πατριάρχου θησαυρισθέντα ἐκεῖ. P II 251 ὅ γε μὴν ἐκτομίας Ἰωάννης, ὁ γεγονὼς ὀρφανοτρόφος, ὁ τοῦ βασιλεύσαντος Μιχαὴλ τοῦ Παφλαγόνος αὐτάδελφος, εἰς Μιτυλήνην τοῦ Μονομάχου κρατήσαντος μεταχθεὶς ἐκεῖ πηροῦται τοὺς ὀφθαλμούς,

ὡς μέν τισι δοκεῖ, παρὰ τῆς βασιλίδος Θεοδώρας, γνώμης ἄτερ τοῦ αὐτοκράτορος, ὡς δ' ἐνίοις, αὐτοῦ τοῦ κρατοῦντος τοῦτο κελεύσαντος, μηνιῶντος αὐτῷ διὰ τὸ τῆς ὑπερορίας πολυετὲς καὶ ἀναίτιον. ὃς βραχείας ἡμέρας τῇ πηρώσει ἐπιβιώσας τὴν ζωὴν ἐξεμέτρησεν.

23 Ἄλλη δ' αὖθις τυραννὶς τῷ Μονομάχῳ δεινοτέρα ἐξυπανέστη. ἡ τοῦ Τορνικίου δ' ἦν αὕτη Λέοντος, ὃς μητρόθεν κατὰ γένος προσῆκε τῷ αὐτοκράτορι. B οὗτος τοίνυν τὴν Ὀρεστιάδα οἰκῶν, οὕτω δὲ πάλαι ἡ πόλις ἐκαλεῖτο τοῦ βασιλέως Ἀδριανοῦ, τοὺς Μακεδόνας εἶχε προσέχοντας αὐτῷ, ὡς δή τινι κρείττονι. ἦν γὰρ ὁ ἀνὴρ οὔτε τὸ εἶδος φαῦλος οὔτε τὸ φρόνημα. εἶχε δέ τι καὶ ἕτερον ᾧ πρὸς ἑαυτὸν τοὺς πλείστους ἐφείλκετο. ἐχρησμολόγει γὰρ ἡ φήμη περὶ αὐτοῦ, οἷα καὶ περὶ ἄλλων λέγεται μάτην, ὡς τῶν Ῥωμαϊκῶν σκήπτρων ἔσοιτό ποτε ἐγκρατής. πρὸς ὃν ὁ βασιλεὺς οὔτε ὡς αὐτῷ προσήκοντα διετέθειτο, ἀλλὰ μέντοι καὶ ἀπηχθάνετο τῷ ἀνδρί. ἡ δὲ τοῦ κρατοῦντος ὁμαίμων ἡ Εὐπρεπία ᾠκειοῦτό τε καὶ ἐδεξιοῦτο αὐτόν, γυνὴ γενναία τε C καὶ σταθηροτάτη τὸ φρόνημα καὶ εἰς τύχης ἐλάσασα W III 200 περιφάνειαν καὶ εἰς πλούτου δαψίλειαν, ἣ τῷ ἀδελφῷ στερκτέα οὐκ ἦν, ηὐλαβεῖτο δ' αὐτὴν διὰ τὸ περιὸν τῆς φρονήσεως. ἡ δὲ μή τινος ἐξ ἐκείνου τυγχάνουσα τῶν μειζόνων οὔτε συχνάκις αὐτῷ προσῄει καὶ ὑπερηφάνως ὅτε προσελήλυθε προσεφέρετο, διελέγχουσά τε καὶ ὀνειδίζουσα. εἰ δ' ἐπὶ τούτοις ἑωράκει τὸν ἀδελφὸν ὀργιζόμενον, ἀπεδυσπέτει καταφρονητικῶς. ὁρῶν οὖν τὴν πρὸς τὸν Τορνίκην τῆς ἀδελφῆς ὁ βασιλεὺς γνησιότητα ὑπώπτευέ τε καὶ ἐμηνία, καὶ ἵνα πόρρω ἀλλήλων θεῖτο αὐτούς, τῶν

D ἐν Ἴβηρσι τῇ Ῥωμαίων ἡγεμονίᾳ διαφερόντων αὐτῷ τὴν ἀρχὴν ἀνατίθησι, κατεσχηματισμένην εὐπροσώπως ὑπερορίαν αὐτοῦ καταψηφισάμενος. καὶ ὁ μὲν ἀπῆλθεν. ἡ δέ γε φήμη, ἣ πρὸς μέγα τύχης αὐτὸν ἐξῆρεν ἐν ἐλπίσιν, οὐκ ἔληγε. καί τινες ἐκ τούτου τὸν ἄνδρα πρὸς τὸν βασιλέα διέβαλλον. ὁ δὲ τοῖς λόγοις τούτοις τὴν γνώμην διασεισθεὶς στέλλει καὶ κείρει μὲν τὴν κόμην τῷ Τορνίκῃ, συγκείρειν αὐτῷ ταῖς θριξὶ καὶ τὰς ἐλπίδας οἰόμενος, ῥάκος δὲ μέλαν αὐτὸν ἀμφιέννυσι, ζοφοῦν αὐτῷ νομίζων ἐντεῦθεν τὴν προσδοκωμένην τῆς τύχης λαμπρότητα, οὕτω δ' ἐπανελθόντα μήτ' οἰκτείρας, ἀλλὰ καὶ ἐπικαγχάσας ἀφῆκεν. οἱ δέ γε Μακεδόνες καὶ πρῴην, ὡς εἴρηται, προσκείμενοι τῷ ἀνδρὶ καὶ χρηστὰς ἐλπίδας
PII252 ἐπ' αὐτῷ θάλποντες, νυκτὸς αὐτὸν ὑπεξαγαγόντες τῆς βασιλίδος τῶν πόλεων ἐς τὴν αὐτῶν μητρόπολιν ἄγουσι τὴν Ἀδριανούπολιν, καὶ σπουδῇ τῶν προστεθειμένων αὐτῷ ταχὺ τὰ πλείω τῶν στρατευμάτων ἐκεῖ συνηθροίσθησαν ἢ καὶ μίσει τῷ πρὸς τὸν αὐτοκράτορα. διά τινας γὰρ αἰτίας οὔτ' ἐκεῖνος καλῶς τοῖς στρατιώταις ἐκέχρητο, ἀλλὰ καὶ ὑποψίας ὑπέτρεφε κατ' αὐτῶν, κἀκεῖνοι διὰ ταῦτα πρὸς ἔχθος κατ' αὐτοῦ ἠρεθίζοντο. ὡς δ' οὖν συνελέγησαν, εὐφημίας αὐτὸν αὐτίκα βασιλικῆς καὶ ἀναρρήσεως κατηξίωσαν. ὁ δὲ σὺν αὐτοῖς εὐθὺς ἔργου εἴχετο, καὶ ἀθρόον τῇ βασιλευούσῃ ἐπιφοιτᾷ, καί οἱ
B προσιόντι προσεφοίτων πολλοὶ καὶ στρατιῶται καὶ ἀστικοί, κἀκεῖνος ταῖς ἐλπίσιν ᾐώρητο, ὡς οὔτινος αὐτῷ ἀντιστησομένου, ἀλλὰ μᾶλλον ἀναπετασόντων αὐτῷ εὐπετῶς καὶ τὰς πύλας τῆς πόλεως, ὅτι τε τὰ ἑῷα στρατεύματα πολέμοις ἐκεῖ προσησχόλητο καὶ ὅτι καὶ οἱ τῆς πόλεως δι' ὀργῆς ἐποιοῦντο τὸν αὐτο-

κράτορα, ὡς δή τι μὴ κατὰ γνώμην αὐτοῖς προσφερόμενον. τοιαύταις οὖν αἰωρούμενος ταῖς ἐλπίσι στρατοπεδεύεται πρὸ τῆς πόλεως, πολιορκήσων αὐτήν, εἰ μὴ δέχοιτο αὐτὸν ἑτοιμότατα. ἕωθεν οὖν παραταξάμενος, καὶ ἀγχοῦ τοῦ περιβόλου τῆς πόλεως γεγονὼς περὶ τὰς Βλαχέρνας, ἀνοῖξαί οἱ τὰς πύλας ἠξίου τοὺς ἔνδον, ὑποσχέσεσι τούτους πρὸς C τὴν πρᾶξιν παραθαρρύνων λαμπραῖς. τῶν δὲ μηδ' ἐπιστρεφομένων αὐτοῦ, ἀλλὰ καὶ χλευαζόντων καὶ πρὸς ἐκεῖνον ἀποσκωπτόντων, ἐπεχείρει τῇ προσβολῇ. ἀντιπαρετάττετο δὲ καὶ ὁ βασιλεὺς στρατιώταις ὀλίγοις καὶ ὄχλῳ δημοτικῷ καί τισιν ἄλλοις ἀνδράσιν ἐνίων τῶν τῆς γερουσίας θεράπουσι, τῶν πάντων οὐδ' εἰς ἀκριβῆ συναριθμουμένων χιλιοστύν· καὶ τούτους πρὸ τοῦ περιβόλου στήσας τῆς πόλεως ἀντιμετώπους τοῖς τοῦ τυράννου ᾤετο καταπλήξειν αὐτοῖς τὸ ἀντίπαλον. καὶ αὐτὸς δὲ ὁ αὐτοκράτωρ ἔν τινι τῶν βασιλικῶν θαλάμων προβεβλημένῳ τῶν ἄλλων καὶ ἐπὶ τὸ πρὸ τῆς πόλεως ἐστραμμένῳ πεδίον D καθῆστο βασιλικῶς, ἵν' ὁρῴη τοὺς ἐναντίους καὶ ὁρῷτο αὐτοῖς. οἱ δὲ Μακεδόνες βωμολοχίας ὄντες ἐθάδες, ἰδόντες τὸν βασιλέα, οἱ μὲν ἄντικρυς ἐξύβριζον εἰς αὐτόν, οἱ δὲ καὶ χοροὺς συνιστῶντες μέλη τέ τινα σχεδιάζοντες κωμῳδίας ὠρχοῦντο καὶ W III 201 ᾖδον ταῦτα, τοῖς ποσὶν ἐπικροτοῦντες τὴν γῆν. εἶτα τοῖς ἔξω τοῦ τείχους προβεβλημένοις βασιλικοῖς μοίρας τινὸς ἐπελθούσης τῶν ἐναντίων, οἱ μὲν ἐπὶ τὰς πύλας ὥρμησαν, οἱ δ' ἐπὶ τὴν τάφρον ἐνέπιπτον καὶ ἀπώλλυντο. τοσοῦτον δ' ἅπασι τὸ δέος ἐγένετο ὥστε τούς τε τοῖς τείχεσιν ἐφεστῶτας ἑαυτοὺς ἐκ τούτου καταβάλλοντας φεύγειν καὶ τοὺς τὰς εἰσόδους φρουροῦντας τῆς πόλεως φρούδους αὐτίκα γε-

νέσθαι, μηδὲ τὰς πύλας ἐπιζυγώσαντας. εἰ οὖν εἶχεν ὁ PII253 τότε πόλεμος τὸν εἰδότα νικᾶν, οὐδὲν ἦν τὸ κωλῦον εὐθὺς τὸν Τορνίκην ἐντὸς γενέσθαι τοῦ ἄστεος καὶ τέλος ἐπιθεῖναι τῷ ἐγχειρήματι. ἀλλὰ τοῦτο μέν, ἐπεὶ μὴ τῇ ἄνωθεν ἐδέδοκτο διοικήσει, τὸν τυραννοῦντα διέφυγεν. ὁ δέ γε βασιλεὺς μικροῦ ἂν ἐκινδύνευσε· τῶν γάρ τις ἐναντίων τόνδ' ἐπιτοξάζεται καὶ βέλος ἀφίησι κατ' αὐτοῦ, τὸ δ' ἀτευκτῆσαν τοῦ βασιλέως βάλλει μειράκιόν τι τῶν θαλαμηπολούντων. ἀλλ' οὐδ' ἐκείνῳ καιρία γέγονεν ἡ ἐκ τοῦ βέλους πληγή· οἵ γε μὴν περὶ τὸν βασιλέα δείσαντες αὐτίκα μετέστησαν, κἀκεῖνος αὐτὸς ἄλλοσέ πη τῷ θώκῳ μετήνεκτο. ὃν δ' εἴρηται τρόπον διαφυγὸν τὸν Τορνίκην τὸ εὐτύχημα εἰς τοὐναντίον αὐτῷ τὰ
B πράγματα περιέτρεψεν. ἥ τε γὰρ πόλις αὖθις ὑπὸ φρουρὰν ἐγεγόνει καὶ ὁ τύραννος αὖθις ἔωθεν προσβαλὼν καὶ ἀποκρουσθεὶς παρὰ βραχὺ καὶ ἀπώλετο ἄν. λίθων γὰρ ἐκ μηχανῆς ταλαντιαίων σφενδονουμένων κατὰ τῶν ἐναντίων, εἷς ἐπὶ τὸν τύραννον ἵετο, καὶ τοῦ μὲν οὐ καθίκετο, δειλίαν δὲ κἀκείνῳ καὶ τοῖς περὶ αὐτὸν ἐνεποίησε, καὶ λύσαντες τὴν παράταξιν ὑπενόστησαν εἰς τὴν σφετέραν παρεμβολήν, καὶ οὐκέτι τῇ πολιορκίᾳ ἐπικεχειρήκασιν. ἀλλά τινας βραχείας ἡμέρας προσμείνας ὁ τυραννῶν, ἐπεὶ ἑώρα τοὺς μὲν τῶν οἰκείων προσχωροῦντας τῷ βασιλεῖ, τοὺς δὲ σκιδναμένους καὶ ἐκδιδράσκοντας, ἀπανίσταται μὲν τῆς περὶ τὸ ἄστυ προσεδρείας, ἀπῄει δὲ ὡς εὐπετῶς τῶν Θρᾳκῴων κρατήσων φρουρίων,
C ἀλλ' ἀπεκρούσθη κἀκείνων. ἐν τοσούτῳ δὲ παρῆσαν αἱ τῆς ἑῴας δυνάμεις ἀνακεκλημέναι παρὰ τοῦ αὐτοκράτορος, καὶ κατὰ τοῦ τυραννοῦντος ἀφείθησαν. οἱ δ' αὐτῷ τὴν ἀποστασίαν συγκροτοῦντες ὡς

ἔγνων τοῦτο, δείσαντες περὶ σφίσιν, ἀλλὰ καὶ τοῦ τῶν ἑῴων ταγμάτων ἐξάρχοντος παραστρατοπεδευσαμένου τοῖς ἀποστάταις, καὶ τοὺς μὲν ὁμιλίαις, τοὺς δὲ καὶ γράμμασι πείθοντος αὐτομολῆσαι τῷ αὐτοκράτορι, πάντες σχεδὸν λιπόντες τὸν τυραννήσαντα προσήνωντο τοῖς βασιλικοῖς, καὶ οὐ τῶν ἀσήμων μόνον ἦσαν οὗτοι στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐπιφανῶν καὶ ἐστρατηγηκότων καὶ λαμπρυνθέντων ἀρχαῖς, ἑνὸς μόνου τῶν ἐπισήμων παραμεμενηκότος αὐτῷ τοῦ Βατάτζη. ὡς δ' οὖν ἐγκατελείφθη D πρὸς τῶν λοιπῶν ὁ Τορνίκης, καὶ πάντοθεν αὐτῷ ἄφυκτος ἦν ἡ κατάληψις, θείῳ ναῷ προσπεφεύγασιν αὐτός τε καὶ ὁ Βατάτζης. ἐκεῖθεν δὲ πεδῆται τῷ Μονομάχῳ προσήχθησαν· ὁ δὲ στέρησιν ἀμφοῖν καταψηφίζεται τοῦ φωτός, καὶ τοῖς μὲν ἐσβέσθησαν εὐθὺς οἱ λύχνοι τοῦ σώματος, ἡ δ' ἀποστασία διελέλυτο τέλεον.

Μέχρι μὲν οὖν τοῦδε μάχας ἐμφυλίους ὁ λόγος 24 διηγησάμενος μεταβήσεται νῦν πρὸς μάχας βαρβαρικάς. προκείσθω δὲ τῶν ἄλλων τῶν Ῥὼς ἡ ἐπέλευσις. τοῦτο τὸ ἔθνος καὶ ἄλλοτε πλειστάκις κατὰ Ῥωμαίων ἐγένετο, ἡττηθὲν δὲ τέλος καὶ σπονδὰς πεποίητο πρὸς Ῥωμαίους καὶ κῆδος, ἵνα διὰ τὴν ἀγχιστείαν πρὸς ὁμόνοιαν τὰ γένη συνδέοιτο, καὶ παρ' ἀλλήλους ἐφοίτων ἐμπορευόμενοι. ἦσαν γοῦν P II 254 καὶ τότε Ταυροσκύθαι πολλοὶ παρὰ τῇ Κωνσταντίνου, τὰ ἑαυτῶν ἀποδιδόμενοι, καὶ τὰ παρ' ἡμῖν ἐξωνούμενοι. συνέβη δέ τισι τῶν Σκυθῶν ἔριν γενέσθαι πρὸς Ῥωμαίους τινάς, πληγαὶ δ' ἐπηκολούθουν ταύτῃ καὶ τραύματα, τοῖς δὲ παρείποντο θάνατοι W III 202 καὶ τοῖς θανοῦσι καὶ εἷς τις τῶν ἐπισήμων παρ' αὐτοῖς συνηρίθμητο. τοῦτο τῷ τῆς χώρας ἄρχοντι πρό-

φασις τῆς καθ' ἡμῶν συγκινήσεως γέγονε, καὶ αὐτίκα πλοῖα συμπηξάμενος, ἃ παρ' αὐτοῖς μονόξυλα λέγονται, σφόδρα πολλά, καὶ τούτοις ἐμβιβάσας πλῆθος ὑπερεκπῖπτον σχεδόν τι καὶ ἀριθμόν, ἀκήρυκτον Ῥωμαίοις ἐπέσεισε πόλεμον, καὶ γίνεται τῆς Προποντίδος ἐντός. ὡς δ' ἔγνω τὴν ἐπέλευσιν ὁ κρατῶν, στέλλει παρ' αὐτοῖς τοὺς πρεσβεύσοντας B καταθέσθαι τὰ ὅπλα σφᾶς, ὡς ἑτοίμως τοῦ βασιλέως, εἴ τι γέγονεν αὐτοῖς πρὸς λύπην, ἐξιασομένου καὶ θεραπεύσοντος. ὁ δὲ βάρβαρος ὑπερηφάνως τε τοὺς πρέσβεις ἐδέξατο καὶ λόγους μεγαλαύχους καὶ σοβαροὺς ἐξηρεύξατο, καὶ ἀτίμως αὐτοὺς ἀπεπέμψατο. ἀπογνοὺς τοίνυν τὰς σπονδὰς ὁ κρατῶν καὶ αὐτὸς πρὸς ναυμαχίαν παρεσκευάζετο, καὶ ἐπεὶ μὴ ἔτυχε τὸ ναυτικὸν ἐνδημοῦν, πορρωτάτω δ' ὄν, φυλακαῖς χωρῶν προσησχόλητο, τριήρεις τινὰς καὶ ὁλκάδας ἄλλας ἑτοιμασάμενος, καὶ ταύταις τὸ πῦρ τὸ ὑγρὸν ἐνθέμενος ἄφθονον ἀντέταξε ταύτας τοῖς σκάφεσι τοῖς βαρβαρικοῖς, καὶ αὐτὸς ὁ κρατῶν παρὼν καὶ ἄνω που τοῦ λιμένος καθήμενος. ὡς δὲ τὸ πολὺ C τῆς ἡμέρας παρῆλθε καὶ ἠρέμουν οἱ βάρβαροι καὶ τὴν σύνταξιν οὐ διέλυον, τρεῖς τῶν τριήρων ἐκέλευσεν ὁ βασιλεὺς τῷ Θεοδωροκάνῳ λαβεῖν καὶ ἀκροβολίσασθαι κατὰ τῶν βαρβάρων, ἵν' αὐτοὺς εἰς πόλεμον ἐπισπάσηται. ὁ δ' οὐκ ἀκροβολισμοῖς ἐπεχείρησεν, ἀλλὰ καθαρᾷ ναυμαχίᾳ, καὶ τινὰ μὲν σκάφη βαρβαρικὰ κατέφλεξε τῷ διύγρῳ πυρί, τινὰ δὲ κατέδυσεν αὔτανδρα, ἓν δὲ κατέσχεν ἔνδον αὐτὸς εἰσπεπηδηκώς, καὶ οὓς μὲν τῷ ξίφει συγκόψας, οὓς δὲ καταπλήξας καὶ δεσμίους ὥσπερ τῷ δέει παρειληφώς. ὡς δ' οὕτω ταῖς τρισὶ τριήρεσι κατευτυχήθη ἡ κατὰ τῶν ἐναντίων ἐπέλευσις καὶ ἄλλαις τῶν ὁλ-

κάδων σύνθημα παρέσχεν ὁ βασιλεύς, καὶ ἀνήγοντο πλείονες· ἃς ὁρῶντες ἐπιούσας οἱ βάρβαροι οὐκέτι D μάχης ἐμέμνηντο, ἀλλὰ τὴν σύνταξιν διαλύσαντες πρύμναν ἐκρούσαντο καὶ ὡρμήκεσαν εἰς φυγήν. συνεμάχησε δὲ Ῥωμαίοις τότε καὶ ἄνωθέν τις ῥοπή· πνεῦμα γὰρ ἐξαίφνης σκληρὸν πνεῦσαν ἐξ ἑῴας πρὸς τὰ ἑσπέρια καὶ καταιγίδα κινῆσαν τοῖς τῶν βαρβάρων ἐπήνεκτο σκάφεσι, καὶ πολλὰ μὲν ἐπέκλυσε καὶ τῷ βυθῷ παραδέδωκε, πολλὰ δ' ὑφάλοις πέτραις καὶ σκοπέλοις προσήραξε καὶ συνέτριψε. τὰ δέ γε τούτων πληρώματα, τοὺς μὲν τὸ ὕδωρ ἐκάλυψε, τοὺς δὲ σύνταγμα στρατιωτικὸν ἐφεδρεῦον ταῖς ᾐόσι διέφθειρεν. οὕτω δὲ καταπολεμηθέντος τοῦ τῶν βαρβάρων πλήθους ὁ βασιλεὺς τροπαιοφορῶν εἰς τὰ ἀνάκτορα ἐπανέζευξεν.

25

Εἷς μὲν δὴ πόλεμος βαρβαρικὸς οὑτοσὶ δεδιήγηται, εἰρήσθω δὲ καὶ ἑτέρα τις συγκίνησις ἔθνους, PII255 ἣ τότε τὴν ἑῴαν διέλαβε, καὶ μέχρι τοῦ νῦν αὐτὴν ἐπιβόσκεται, τοὺς Τούρκους φημί. εἰσὶ μὲν οὖν οὗτοι γένος τι Οὐννικὸν οἰκοῦν τὰ προσάρκτια τῶν Καυκασίων ὀρῶν, πολυπληθὲς καὶ αὐτόνομον. ἐπεὶ δ' ἡ Περσῶν ἀρχὴ ἢ μᾶλλον ἡ Μακεδόνων, ἣ τὴν Περσῶν βασιλείαν καθεῖλεν, ὑπὸ Σαρακηνῶν καθῄρητο, εἶτα καὶ οὗτοι πρὸς ἀλλήλους στασιάσαντες εἰς ἀντιπάλους μοίρας διῄρηντο καὶ ἀλλήλοις ἐμάχοντο, Μουχούμετ ὁ τοῦ Ἰμβραήλ, Περσίδος ἄρχων B καὶ Χορασμίων καὶ Μηδίας καί τινων ἄλλων, πόλεμον ἤρατο κατὰ τοὺς χρόνους Βασιλείου τοῦ βασιλέως κατὰ Βαβυλωνίων τε καὶ Ἰνδῶν, ἡττώμενος δὲ συμμαχικὸν ἐκ Τούρκων μετεπέμψατο· ἦν δὲ τοῖς WIII203 εἰς συμμαχίαν ἐλθοῦσι τῷ Μουχούμετ στρατηγὸς

Ταγγρολίπιξ Μουκάλετ. σὺν τούτοις ὁ Μουχούμετ τοῖς ἀντιθέτοις προσβαλὼν τροποῦται αὐτούς, καὶ ἀναζεύξας εἰς τὰ οἰκεῖα οὐκ εἴα τοὺς Τούρκους εἰς τὴν ἑαυτῶν ὑποστρέψαι, ἀλλ' ἤθελε παρακατέχειν αὐτούς, ἵνα καὶ ἐφ' ἑτέρους χρῷτο συμμάχοις αὐτοῖς. οἱ δὲ μὴ οἷοί τε ὄντες ἀπιέναι πρὸς τὴν σφετέραν, (C) εἰ μὴ αὐτοῖς ἀνεθείη ἡ τοῦ Ἀράξιδος γέφυρα, ποταμὸς δ' οὗτος ἐστὶν εἰ μὴ διὰ τῆς γεφύρας οὐ περατός, ἡ γέφυρα δ' ἐπεπύργωτο ἑκατέρωθεν, καὶ τοῖς πύργοις φρουροὶ ἐφειστήκεισαν ἀποστατοῦσι, καὶ εἰς ὄρη καταφυγόντες, οὐ γὰρ ἐθάρρουν ὄντες τρισχίλιοι πρὸς πολλὰς κατὰ συστάδην μαχέσασθαι μυριάδας, ἐκτρέχοντες ἐκεῖθεν τὰ τῶν Σαρακηνῶν ἐληίζοντο. ἐκπέμπει τοίνυν κατ' αὐτῶν ὁ Μουχούμετ στρατεύματα περί που τὰς εἴκοσι χιλιάδας, δέκα τῶν ὁμογενῶν ἀνδράσι τὴν αὐτῶν ἐγχειρίσας ἡγεμονίαν. οἷς οἱ Τοῦρκοι νυκτὸς ἐπιθέμενοι ῥᾷστα τοὺς πλείους κατέκοψαν. οἱ δὲ περισωθέντες σὺν (D) τοῖς αὐτῶν στρατηγοῖς εἰς τὸν Μουχούμετ ἀνθυπενόστησαν. ὁ δὲ τοὺς μὲν δέκα τῆς στρατιᾶς ἡγεμόνας ἐξετύφλωσε, κατὰ δὲ τῶν περισωθέντων στρατιωτῶν ἠπείλει διαθήσειν αὐτοὺς τὰ χείριστα. οἱ δὲ δείσαντες τοῖς Τούρκοις προσέθεντο· ἤδη δὲ καὶ ἄλλων αὐτοῖς προσρυέντων συχνῶν, δούλων τε καὶ κακούργων λεηλασίαις χαιρόντων καὶ ἁρπαγαῖς, πολυπληθὲς ἐγένοντο στράτευμα, καὶ τῷ Μουχούμετ περὶ τὸ Ἀσπαχὰν συρρήγνυνται, καὶ πολλῶν πεσόντων Σαρακηνῶν καὶ αὐτὸς ὁ Μουχούμετ ἀπέθανεν. ὁμονοησάντων οὖν τῶν στρατευμάτων, παρὰ πάντων ὁ Ταγγρολίπιξ τὴν ἀρχὴν τῶν ὑπὸ τὸν Μουχούμετ ἐνεχειρίσθη χωρῶν. αἱρεθεὶς δ' εἰς ἡγεμονίαν, πέμψας τοὺς ἐν τῇ γεφύρᾳ τοῦ Ἀράξιδος πύρ-

γους κατέβαλεν. οὕτω δ' ἀνεθείσης τοῖς Τούρκοις τῆς διόδου τοῦ ποταμοῦ πολὺ τῶν βαρβάρων τούτων PII256 πλῆθος προσερρύη τῷ Ταγγρολίπικι, καὶ χεῖρα βαρεῖαν ἐκ τούτων ὁ τῶν Τούρκων κτησάμενος ἀρχηγὸς ἀφαιρεῖται μὲν πάντοθεν τοὺς Σαρακηνοὺς τὴν ἀρχήν, ἑαυτῷ δὲ ταύτην καὶ τοῖς ὁμογενέσιν ἀπένειμε, καὶ εἰς ὑπηκόους τοὺς ἐκ τῆς Ἄγαρ κατέστησεν. εἶτα αὐτὸς μὲν μάχῃ τοὺς Βαβυλωνίους προσεκτήσατο, τὸν δὲ ἀδελφόπαιδα Κουτλουμοὺς σὺν στρατιᾷ κατὰ τῶν Ἀράβων ἐξέπεμψεν· ὁ δὲ ἡττηθεὶς ὑπέστρεφε, καὶ διαπρεσβεύεται πρὸς τὸν τῆς Μηδίας ἄρχοντα, οὕτω δ' ἐκαλεῖτο πάλαι τὸ Βαασπαρκᾶν, αἰτῶν παραχωρηθῆναι διὰ τῆς χώρας αὐτοῦ διελθεῖν. ὁ δὲ τῆς χώρας ταύτης ἐκ βασιλέως ἄρχειν προχειρισθεὶς οὐ μόνον οὐκ ἀνῆκε τούτῳ τὴν δίοδον, ἀλλὰ καὶ ἀντετάξατο κατ' αὐτοῦ, καὶ συμβαλὼν ἡττᾶται, καὶ πολλοὺς μὲν τῶν οἰκείων ἀπέβαλεν, ἥλω δ' αὐτός. ὁ γοῦν Κουτλουμοὺς πρὸς B τὸν Ταγγρολίπικα ἐπανελθὼν τὰ περὶ τοῦ κατὰ τὴν Μηδίαν διηγεῖτο πολέμου καὶ τῆς χώρας ἐξύμνει τὸ πάμφορον, καὶ προσετίθει εὐάλωτον εἶναι ταύτην, παρὰ γυναικῶν καρπουμένην, οὕτω καλῶν τοὺς μαχεσαμένους αὐτῷ. ὁ δὲ Ταγγρολίπιξ αὐτῷ μὲν διὰ τὴν ἧτταν ἐμηνία, ἐκεῖνος δὲ κατὰ τῶν Ἀράβων ἐχώρει. καὶ ὁ Κουτλουμοὺς δείσας ἀπέδρα μετὰ τῶν σὺν αὐτῷ, καὶ τὸ Πασὰρ, πόλις δ' ἐστὶ τῶν Χορασμίων, τουτὶ κατασχών, ἀφίσταται τοῦ Σουλτάν, οὕτω γὰρ ὁ Ταγγρολίπιξ ὠνόμαστο, καὶ ἐπὶ πολὺ πρὸς τὸν θεῖον ἀντικαθίστατο, πολιορκοῦντα αὐτόν, διὰ δὲ τὴν τῆς πόλεως ὀχυρότητα μηδὲν ἀνύσαι δυνάμενον. καὶ ὁ μὲν Σουλτὰν τῇ πολιορκίᾳ τοῦ Πασὰρ προσησχόλητο· στέλλει δὲ κατὰ Μηδίας C

Ἄσαν σὺν ἀξιομάχῳ δυνάμει. ὁ δὲ προσβαλὼν τῇ χώρᾳ καὶ συμμίξας Ῥωμαίοις, πίπτει μὲν αὐτός, ἡττᾶται δὲ τὸ σὺν αὐτῷ στρατιωτικόν, καὶ βραχίστων ἄτερ τὸ πᾶν ἀπόλλυται. ὃ μαθὼν ὁ Σουλτὰν ἠθύμησε μέν, ἐπαναλαβεῖν δ' αὖθις ἔσπευδε τὸ δυστύχημα, καὶ Ἀλὶμ Ἀβραμίῳ ἑτεροθαλεῖ ἑαυτοῦ ἀδελφῷ στρατιὰν ἐγχειρίσας εἰς ἑκατὸν ἀριθμουμένην
W III 204 χιλιοστύας κατὰ Ῥωμαίων ἐξέπεμψεν. ὁ δὲ τοῦ Βαασπαρκᾶν στρατηγὸς τῷ βασιλεῖ περὶ τούτων διὰ γραμμάτων δεδήλωκε, συμμαχίαν αἰτῶν. καὶ ὃς τῷ Λιπαρίτῃ δυνάστῃ μοίρας τῶν Ἰβήρων τυγχάνοντι ἐπέστειλε συνελθεῖν τοῖς Ῥωμαίοις καὶ ἐπαρῆξαι κατὰ τῶν Τούρκων. τῶν Τούρκων δὲ ἐπιστάντων
D ἤδη, οἱ Ῥωμαῖοι πολεμῆσαι σφίσιν οὐκ ἔκριναν, εἰ μὴ ἑνωθεῖεν κατὰ τὴν βασιλικὴν ἐντολὴν καὶ τοῖς Ἴβηρσιν. ἀτρεμούντων δὲ τῶν στρατιωτῶν, μὴ δυνάμενος αὐτοῖς ὁ Ἀλὶμ συμβαλεῖν εἰς ὀχύρωμά τι προσκαθημένοις, ἔπεισι τῷ Ἄρτζε, κωμόπολις δ' ἦν τοῦτο, πληθὺς δ' ἐνῴκει αὐτῷ, ἵν' οὕτως εἴποιμι, καὶ ἀριθμὸν ὑπερβαίνουσα, ἔμποροι δ' ἦσαν οἱ ἄνθρωποι, καὶ πλοῦτος ἦν αὐτοῖς περιττός. ὡς γοῦν ἀτείχιστον τὴν κωμόπολιν ἐξ ἐφόδου ἑλεῖν αὐτὴν οἱ βάρβαροι ἤλπιζον, ἀλλ' ἔγνωσαν παραβουκολούμενοι ταῖς ἐλπίσιν, ἐπείπερ ταύτῃ προσέβαλον. ταῖς γὰρ διόδοις ὕλας ἐπαγαγόντες οἱ ταύτης κάτοικοι, καὶ ταύταις αὐτὰς ἀποφράξαντες, ἐκ τῶν δωμάτων ἔβαλλον τοὺς ἐναντίους καὶ ἀνήρουν πολλούς, καὶ τοῦτο ἐφ' ἡμέραις ἐγίνετο ἕξ. ὡς δ' ἔγνω ὁ τῶν Τούρκων στρατηγὸς ὁ Ἀλὶμ ἐρρωμενέστατα τοὺς
PII257 Ἀρτζηνοὺς ἀντεχομένους καὶ πολιορκίᾳ ῥᾷστα μὴ ἁλωτούς, πυρὶ τῶν ἀνδρῶν περιγενέσθαι διέγνωκεν· αὐτίκα τοίνυν ἀνῆπτο τοῦτο καὶ τοῖς οἰκήμασιν

ὑπεβάλλετο. ὡς δ' ἐξήφθη πανταχόθεν πυρκαϊά, τρέπονται μὲν οἱ ἐγχώριοι, οἱ δὲ βάρβαροι κρατοῦσι τῆς κωμοπόλεως καὶ πολὺν ἐν αὐτῇ χρυσὸν καὶ ἄλλον πλοῦτον εὑρήκασιν, ὅσος μὴ κατηνάλωτο πυρί. ἐντεῦθεν αὖθις κατὰ τῆς Ῥωμαϊκῆς ὡρμήκασι στρατιᾶς. ἤδη δὲ καὶ τοῦ Λιπαρίτου σὺν τοῖς Ἴβηρσι παραγεγονότος, συμβολὴ τῶν στρατευμάτων ἐγένετο περὶ βουλυτόν. ὁ μὲν οὖν Ἀλὶμ καὶ ὁ Χοροσάνης, ἕτερος δ' οὗτος ἦν στρατηγὸς τῶν βαρβάρων, μετὰ τῶν ὑπ' αὐτοὺς τραπέντες ἐνέκλιναν εἰς φυγήν, καὶ σφᾶς οἱ ἀντιτεταγμένοι Ῥωμαῖοι μέχρι πόρρω B νυκτῶν κατεδίωκον. ὁ δὲ Λιπαρίτης κατ' ἄλλο κέρας μαχόμενος ἑάλω τοῖς ἐναντίοις. ὡς δ' ἐπαύσαντο τῆς διώξεως οἱ Ῥωμαῖοι, τὸν Λιπαρίτην προσέμενον, μὴ εἰδότες ὃ περὶ ἐκεῖνον συμβέβηκεν. ἐν τοσούτῳ δέ τις αὐτοῖς ἀγγέλλει τοῦ Λιπαρίτου τὴν ἅλωσιν, καὶ ὅτι λαβόντες αὐτὸν οἱ ἑλόντες ἀπίασι σὺν σπουδῇ. οἱ μὲν οὖν Ῥωμαῖοι ταῦτα μαθόντες ἐν ἀθυμίαις ἦσαν. οἱ βάρβαροι δὲ τῷ Σουλτὰν τὸν Λιπαρίτην ἐκόμισαν. ὁ μέντοι βασιλεὺς μαθὼν τοῦ Λιπαρίτου τὴν ἅλωσιν, πέμπει πρὸς τὸν Σουλτάν, ἐλευθερίας ἀξιῶσαι τὸν Λιπαρίτην ζητῶν, καὶ λύτρα τούτου πέμψας πολλὰ καὶ δῶρα δὲ τῷ Σουλτάν, καὶ σπονδὰς μέσον Ῥωμαίων καὶ Τούρκων ζητῶν γενέσθαι. ὁ δὲ Σουλτὰν τὸν μὲν Λιπαρίτην δῶρον στέλλει, τὰ δέ γε λύτρα πάντα τῷ ὑπὲρ οὗ ἐπεπόμφεισαν δέδωκε, καὶ μηκέτι ὅπλα κατὰ Τούρκων ἄρασθαι παρηγγύησεν. ἐκπέπομφε δὲ κἀκεῖνος πρέ- C σβυν πρὸς βασιλέα, ὃν ἐκάλουν ἐκεῖνοι σερίφην. οὗτος δ' ἐστὶ παρ' αὐτοῖς ὅπερ πάλαι ἦν παρ' ἡμῖν ὁ λεγόμενος σύγκελλος· ὡς γὰρ ὁ σύγκελλος τοῦ πατριάρχου θανόντος εἰς τὸν ἐκείνου τόπον ἀντι-

καθίστατο, οὕτω καὶ ὁ σερίφης τοῦ Χαλιφᾶ φθαρέντος ἐκεῖνος τὸν τελευτήσαντα διεδέχετο. εἰσελθὼν οὖν εἰς τὴν μεγαλόπολιν ὁ σερίφης καὶ εἰς ὁμιλίαν τῷ κρατοῦντι ἐλθὼν καὶ ὁμιλήσας ὑπερηφάνως φόρους τε τελεῖν ἀπαιτῶν τῷ Σουλτάν, ἀπεπέμφθη. ἐντεῦθεν βαρυθυμήσας ὁ Σουλτὰν αὐτὸς κατὰ Ῥωμαίων ἐχώρησε, καὶ ἔκτοτε προχωροῦν τὸ τῶν Τούρκων ἔθνος τῆς ἑῴας πάσης ἐκράτησε καὶ μέχρι τῆς ἀντιπόρθμου τῇ Βυζαντίδι ἠπείρου κατήντησε. τὰ μὲν οὖν τῶν Τούρκων τοῦτον ἔσχε τὸν τρόπον.

26 Τὸ δὲ τῶν Πατζινάκων ἔθνος αὖθις κατὰ τὴν
D Εὐρωπαίαν μοῖραν κεκίνητο· Σκυθικὸν δὲ τὸ ἔθνος καὶ πολυάνθρωπον, πέραν Ἴστρου νεμόμενον. ἦν δὲ τότε τοῦ ἔθνους ἄρχων Τυράχ, ἀνὴρ τὸ μὲν γένος παρὰ τὸ ἔθνος λαμπρός, τὸ δὲ ἦθος νωθής. ἕτερος δέ τις Κεγένης καλούμενος, ἄσημος μὲν ὅσον εἰς γένους ἀναφοράν, ἀνὴρ δὲ ῥέκτης τε καὶ δραστήριος καὶ πολλάκις ἐν πολέμοις ἀνδραγαθήσας, παρὰ τοῦ ἔθνους πεφίλητο. διὸ καὶ παρὰ τοῦ Τυ-
W III 205 ρὰχ ἐλοχᾶτο, ζητοῦντος αὐτὸν ἀνελεῖν. ὃ γνοὺς ἐκεῖνος, καὶ δύο τῶν φυλῶν προσεταιρισάμενος, οὐσῶν πασῶν δέκα ἐπὶ τρισί, σὺν αὐταῖς διέβη τὸν
P II 258 Ἴστρον, καὶ ἐπὶ τὰ Ῥωμαίων ὅρια γέγονεν, αὐτόμολος ἥκειν λέγων τῷ βασιλεῖ καὶ οὐκ ἔσεσθαί οἱ ἀσυντελής. ἐμηνύθη ταῦτα τῷ Μονομάχῳ, καὶ ὁ τῆς χώρας ἄρχων κελεύεται δέξασθαι τοὺς Σκύθας. ὁ δὲ Κεγένης εἰς τὴν βασιλίδα τῶν πόλεων φοιτήσας ἐς ὄψιν ἦλθε τῷ βασιλεῖ, καὶ τὸ σωτήριον δεξάμενος βάπτισμα, ἐτιμήθη πατρίκιος. ἔπεισε μέντοι καὶ τοὺς σὺν αὐτῷ Σκύθας τοῦ θείου τούτου λουτροῦ μετασχεῖν. ποιούμενος δὲ τὰς διατριβὰς κατὰ τὰ παρίστρια, καὶ διαβαίνων τὸν ποταμὸν

ἀθρόον, ἐκάκου τοὺς τοῦ Τυράχ, ἀναιρῶν τε καὶ ληιζόμενος. πρεσβείαν τοίνυν ὁ Τυρὰχ πρὸς τὸν βασιλέα ἀπεσταλκὼς ᾐτιᾶτο ὅτι τὸν ἀποστάτην τοῦ ἔθνους ἐδέξατο, καὶ εἰ μὴ κωλύσει κακοῦν τὸ ἔθνος τὸν πρόσφυγα, τὸ ἔθνος ὅλον ἕξει πολέμιον. πρὸς B ταῦτα δ' ὁ αὐτοκράτωρ "οὔτε προδότης" ἔφη "τοῦ προσελθόντος γενήσομαι οὔτε κωλύσω μὴ ἀμύνασθαι τοὺς ἐπιβουλεύσαντας." τούτων τῶν μηνυμάτων τῷ Τυρὰχ κομισθέντων, ἐπεὶ χειμὼν ἐπέστη καὶ ὁ Ἴστρος ἐξ ὄχθης εἰς τὴν ἑτέραν τῷ κρύει πηγνύμενος κεκρυστάλλωτο, πεζῇ διέβη τὸν ποταμὸν σὺν τῷ ἔθνει παντὶ καὶ τὴν Ῥωμαΐδα χώραν καταλαβὼν τὰ ἐν ποσὶν ἐκεράϊζεν. ὁ δέ γε βασιλεὺς τοῦτο μαθὼν στρατιὰν αὐτίκα τῷ τῆς χώρας ἄρχοντι καὶ τῷ Κεγένῃ ἐπίκουρον ἔπεμψεν. οἱ μέντοι Πατζινάκαι τροφῶν ἀφθονίαν εὑρόντες καὶ οἴ- C νου καὶ ἄλλων πομάτων ἐσκευασμένων ἐκ μέλιτος, καὶ περὶ ταῦτα ἀπληστευσάμενοι, νοσήματι κοιλιακῷ περιέπεσον. καὶ τοῦτο ἐξ αὐτομόλου γνοὺς ὁ Κεγένης ἀναπείθει καὶ τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπιθέσθαι τοῖς ἐναντίοις. ὡς γοῦν εἶδον οἱ βάρβαροι τὴν κατ' αὐτῶν τῶν Ῥωμαίων ἐπέλευσιν, κατειργασμένοι τῇ νόσῳ τυγχάνοντες ἰλιγγίασαν καὶ ἀποδειλιάσαντες μεθῆκαν τὰ ὅπλα καὶ ἱκέται γεγόνασι καὶ τοῖς ἐχθροῖς παρέδωκαν ἑαυτούς. τούτων ὅσοι μὲν ὑπὸ τὸν Κεγένην γεγόνασιν, οἱ μὲν ξίφεσι παρεδόθησαν, οἱ δὲ πρὸς δουλείαν χρυσοῦ ἀπεδόθησαν. τὸ πλῆθος δὲ τὸ λοιπὸν χρήσιμον ἐνομίσθη γενέσθαι Ῥωμαίοις, εἰ τὰ ὅπλα ἀφαιρεθὲν εἰς τὴν τῶν Βουλγάρων χώραν κατοικισθείη, ἔρημον D οὖσαν τὴν πλείονα, πρὸ μικροῦ τοῦ ἔθνους ἐκείνου καταλυθέντος. ὃ καὶ γέγονε τοῦ βασιλέως κε-

λεύσαντος. ὁ δέ γε Τυρὰχ σὺν τοῖς ἐξόχοις τοῦ ἔθνους ἤχθη πρὸς τὸν κρατοῦντα, καὶ τοῦ θείου καταξιωθέντες βαπτίσματος, ἀξιώμασι λαμπροῖς ἐτιμήθησαν. ὡς δὲ μάχαι τότε Ῥωμαίοις μετὰ τῶν Τούρκων ἦσαν κατὰ τὴν ἑῴαν, πεντεκαίδεκα χιλιάδας Πατζινάκων ὁ αὐτοκράτωρ ἐπιλεξάμενος, καὶ καθοπλίσας αὐτούς, ἵππους τε παρασχόμενος, ἐπιστήσας στρατάρχας αὐτοῖς ἐκ τῶν ὁμογενῶν, ἐν Χρυσοπόλει διεπέρασεν, εἰς Ἰβηρίαν κελεύσας ἀπελθεῖν, τάξας αὐτοῖς καὶ προηγήτορα τῆς ὁδοῦ. ὡς δ' οὖν περὶ τὸν Δαματρὺν ἥκασιν, ἔστησαν, καὶ πρόσω βαίνειν οὐκ ἤθελον· εἰς τοὐπίσω δὲ χωρήσαντες καὶ ἄχρι τοῦ πορθμοῦ ἐφθακότες σὺν τοῖς ἵπποις τὴν θάλασσαν διαπορθμευσάμενοι κατὰ τὴν τοῦ ἁγίου Ταρασίου
PII259 *μονήν, αὐτίκα συντεταμένην ποιησάμενοι τὴν ὁδοιπορίαν, τοῖς ὁμογενέσι προσήνωντο, καὶ ἐπεὶ ὁμοῦ συνηθροίσθησαν, ἀπῆλθον καὶ ἐν τοῖς παριστρίοις πεδίοις ἐπήξαντο τὰς σκηνάς, ἐκεῖθεν δ' ὁρμώμενοι τὰ Θρᾳκῷα κατέτρεχον. πολλάκις δὲ τοῦ βασιλέως κατ' αὐτῶν στρατεύματα πέμψαντος, ἐπικρατέστεροι ἦσαν οἱ βάρβαροι, ὥστε καὶ ἀδεῶς κατὰ πάσης τῆς Θρᾴκης καὶ Μακεδονίας σκεδάννυσθαι καὶ λείαν ἅπαντα τίθεσθαι, καὶ οὐ τὰ πόρρω μόνον, ἀλλὰ μέντοι καὶ τὰ τῇ πόλει ἀγχίθυρα. τέλος δὲ σπένδονται Ῥωμαίοις τριακοντούτεις σπονδάς. καὶ οὕτως ὁ τῶν Πατζινάκων ἔληξε πόλεμος.*

27 *Ὁ δὲ Σουλτὰν οὐκ ἔληγεν ἐπιὼν τὰς ὑπὸ Ῥωμαίους χώρας καὶ πόλεις καὶ τὰς μὲν ληιζόμενος,*
W III 206 *τὰς δ' ἐκπορθῶν τε καὶ οἰκειούμενος. κατὰ τού-*
B *τους τοὺς χρόνους καὶ ἐπιβουλὴν ὁ αὐτοκράτωρ ἐφώρασεν, ἣν Ῥωμανὸς ὁ Βοΐλας συνεστήσατο. ἦν δ' οὗτος τῶν ἀσήμων ἀνὴρ καὶ τὴν γλῶσσαν εἶχεν*

ἡμίφωνον μηδ' οἵαν ὀρθοεπεῖν, ὀλισθαίνουσαν δ' ἐν ταῖς ὁμιλίαις καὶ ἀνεπαίσθητα τοῖς ἀκροαταῖς φθεγγομένην. τοῦτο δ' ἦν τὸ μὲν ἐλάττωμα φυσικόν, τὸ δὲ προσποίησις καὶ σκηνὴ τὴν τῆς φύσεως διαμαρτίαν τῇ ὑποκρίσει τοῦ σκηνουργοῦ ἐπιτείνοντος. τῷ τοιούτῳ τοίνυν ἀνδρὶ ὡς οὐδενί τῳ ὁ βασιλεὺς ἥδετο, καὶ εἰ διημαρτημένα καὶ ἀδιάρθρωτα ἤκουε φθεγγομένου αὐτοῦ, ὑπὲρ πᾶσαν ἡγεῖτο τὰς ἐκείνου φλυαρίας γλυκυθυμίαν. καὶ οὕτω διὰ ταῦτα τῷ βασιλεῖ προσῳκείωτο ὡς πάντα C καιρὸν εἶναι αὐτῷ τῆς πρὸς ἐκεῖνον εἰσόδου καὶ τῆς ἐντεύξεως. καὶ οὐχ οὕτως αὐτῷ τὰ περὶ τὸν ἀνδρῶνα διέκειτο, ἡ δὲ γυναικωνῖτίς οἱ ἀπεκέκλειστο, ἀλλ' ἄνετος ἦν αὐτῷ κἀκείνη καὶ ὅτ' ἐβούλετο βάσιμος, καὶ ὁ πλοῦτος ἐπέρρει τῷ ἀνδρὶ ἑκατέρωθεν, καὶ ἐκ τῶν τριόδων ἀναρπασθεὶς εἰς αὐτὴν ἀνήχθη τὴν συγκλητικὴν κορυφήν. ὁ δὲ οὐκ ἠγάπα τοῦτον εὐδαιμονήσας τὸν τρόπον, ἀλλὰ καὶ τῆς βασιλείας ἐρᾷ, καὶ μελετᾷ ταύτην ἑαυτῷ προσνεῖμαι, κτείνας τὸν αὐτοκράτορα. καὶ οὓς ᾔδει δύσνους τῷ βασιλεῖ, τούτοις τὸ ἀπόρρητον ἀνεκάλυπτε. καὶ τοὺς μὲν τὸν λόγον προσιεμένους μεγάλαις ἐλπίσιν ἐξαίρων πρὸς τοὔργον ἐρρώννυεν. εἰ δέ τινες καὶ πρὸς τὴν προσβολὴν ἐδυσχέραινον, ὁ δὲ πεῖραν ἔλεγε D τὸν λόγον προσαγαγεῖν, ἵνα γνῷ τὴν ἐκείνων πίστιν τὴν πρὸς τὸν αὐτοκράτορα, καὶ ἐπῄνει τοὺς ἄνδρας τῆς διαθέσεως, καὶ γνωρίσαι τῷ βασιλεῖ εὔνους αὐτῷ τυγχάνειν διώμνυτο. ὁ μὲν οὖν οὕτω μετῄει τοὺς πλείονας, καὶ οἱ ἐκείνῳ συνομοσάμενοι ῥᾷστα τὸ βούλευμα ᾤοντο γενέσθαι ἀνύσιμον. οὐ μόνον γὰρ ἡ πρὸς τὸν βασιλικὸν κοιτωνίσκον πάροδος ἐκείνῳ ἄνετος ἦν, κἂν ἔτυχεν ὑπνώττων ὁ

βασιλεὺς κἂν τῇ βασιλίδι συνίαυεν, ἀλλὰ καὶ τὰς τῶν ἀπορρήτων εἰσόδων κλεῖς ἐμπεπίστευτο. καὶ ἤχθη ἂν εἰς ἔργον τὸ διαβούλιον, εἰ μή τις αὐτὸ τῷ βασιλεῖ κατεμήνυσε τῶν κοινωνησάντων τοῦ σκέμματος. ἥλω τοίνυν ἐπ' αὐτοφώρῳ καὶ τὸ ξίφος PII260 αὐτὸ κατέχων ᾧ τὸν αὐτοκράτορα ἔμελλεν αὐτίκα διαχειρίσασθαι. ἀλλ' ὁ μὲν διὰ τὸ τοῦ κρατοῦντος ἀβέλτερον οὐδὲν ὑπέστη ἀνιαρόν, οἱ δὲ τῆς ἐπιβουλῆς ἐκείνῳ συνίστορες οὐκ ἔμειναν ἀτιμώρητοι. οὗτος ὁ βασιλεὺς φιλότιμος δοκεῖν ἐθέλων καὶ ἐλευθέριος, μὴ μετιὼν δὲ τὴν ἀρετὴν ὡς ἐχρῆν, εἰς κακίαν ταύτην μετήνεγκεν. ἀντὶ γὰρ μεγαλοπρεπείας εἰς ἀσωτίαν μετακεκύλιστο, οὔτε οἷς ἔδει παρέχων τὰ δημόσια χρήματα οὔτε ὅσαπερ ἔδει οὔθ' ὅτε χρεών. καὶ τὴν μονὴν δὲ τὴν τῶν Μαγγάνων οἰκοδομῶν, λέγεται δὲ τῆς οἰκοδομῆς ἄρξασθαι διὰ τὴν ἐρωμένην αὐτῷ, τὴν Σκλήραιναν λέγω, ἵν' ἐκείνῃ προσφοιτᾷ συνεχῶς, ἐν τῷ οἴκῳ τοῦ Κυ- B νηγίου ἐχούσῃ τότε δὴ τὴν κατοίκησιν, πρόφασιν ἔχων τοῦ σεμνείου τὴν δόμησιν, ἐξήντλησε τοὺς βασιλείους ἢ κοινοὺς θησαυρούς, ὅθεν χρημάτων δεόμενος οὐδὲ τῶν ἀπειρημένων πορισμάτων ἀπείχετο. ἀλλὰ καὶ χωρῶν οὐσῶν, αἳ τοῖς βασιλεῦσιν οὐ δασμοὺς συνεισέφερον, ἀλλ' ἀντὶ πάσης δασμοφορίας δυσχωρίας ἐφρούρουν καὶ τοῖς βαρβάροις τὴν εἰς τὰς Ῥωμαίοις ὑποκειμένας χώρας ἀπετείχιζον πάροδον, ἐκεῖνος φόρους ταῖς χώραις ἐπιτάξας ἐσχόλασε τὰς φρουράς. κἀντεῦθεν ἡ πρὸς τὰς Ῥωμαΐδας χώρας ῥᾴστη τοῖς βαρβάροις ἐγένετο πάροδος. ἐκεῖνος τοίνυν ὁ ἀνὴρ αἴτιος τοῖς ἀπαθῶς λογιζομένοις κριθήσεται τοῦ τὴν ἑῴαν μοῖραν δουρὶ C κυριευθῆναι βαρβαρικῷ.

Τῆς δὲ βασιλίδος Ζωῆς ἐν γήρᾳ βαθεῖ, ὑπὲρ 28
γὰρ τὰ ἑβδομήκοντα ἔτη παρεξετάθη αὐτῇ τὸ βιώ-
σιμον, καταλυσάσης τὴν ζωήν, οὐκ ἀνδρικῶς ἐκεῖ-
νος ἐθρήνησεν, ἀλλὰ μέντοι γε μειρακιωδῶς. λέγε- W III 207
ται δὲ καὶ ἀγγέλοις αὐτὴν παρεξισοῦν, ἐπειδή που
τοῦ μνήματος ἐκείνης μύκης ἔκ τινος ὑγρότητος
ἀνεβλάστησε, καὶ τοῦτο καλεῖν σημεῖον ἄνωθεν οἰ-
κονομηθέν, ἵνα μὴ ἀγνοῆται ἡ βασιλὶς ταῖς νοεραῖς
συντεταγμένη δυνάμεσι. τῆς δ', ὡς εἴρηται, θα-
νούσης, ὁ βασιλεὺς ἔτι φλεγμαίνων περὶ τοὺς ἔρω-
τας ἐπεισάγει τοῖς βασιλείοις μείρακά τινα, ὅμηρα
δοθεῖσαν Ῥωμαίοις ἐξ Ἀλανῶν, παῖδά τινος τῶν
παρ' ἐκείνοις ἀρχηγετούντων, καὶ ταύτην Σεβα- D
στὴν ὀνομάσας βασίλειον αὐτῇ θεραπείαν καὶ πλού-
του χορηγίαν ἀπέταξε. καὶ εἰ μὴ τὴν βασιλίδα Θεο-
δώραν πεποίητο δι' αἰδοῦς ἢ μᾶλλον τὸ τῆς τετρα-
γαμίας ᾐσχύνετο ἄθεσμον, καὶ βασίλισσαν ἂν τὴν
ἐρωμένην ταύτην ἀνεῖπε καὶ διαδήματι κατεκόσμη-
σεν. ἐκείνου δὲ θανόντος, οὐ παρέμεινε τῇ Σεβα-
στῇ τὸ εὐτύχημα, ἀλλ' εἰς τὴν προτέραν τῆς ὁμη-
ρείας τύχην ἐπανελήλυθεν. ἄρτι δὲ καὶ περὶ τοῦ
τέλους ἱστορητέον τούτου τοῦ αὐτοκράτορος. οὐ
μακρὸς ἐξεμετρήθη χρόνος, ἐξ ὅτου τῆς ἡγεμονίας
τῶν Ῥωμαίων γέγονεν ἐγκρατής, καί οἱ νόσος ἀρ-
θρῖτις ἐνέσκηψεν, ἢ πρότερον τοῖς ποσὶν ἐκείνου P II 261
τοῦ ῥεύματος ἐπήνεγκε τὴν φοράν, ὥστε τὰς βά-
σεις αὐτῷ πρὸς πορείαν καὶ στάσιν ἀδυνατεῖν. εἰ
δέ ποτε κινήσεως ἀνάγκην ἔσχηκεν, ἢ πρός τινων
ἐπιστηριζόμενος προέβαινε δυσχερῶς ἢ καὶ πάμπαν
ἑτεροκίνητος ἦν. τοῦ χρόνου δὲ προϊόντος καὶ ταῖς
χερσὶν ἐπερρύη τὸ αἴτιον· εἶτα καὶ τοῖς ὤμοις ἐπή-
νεκτο, καὶ τέλος ὅλον αὐτῷ τὸ σῶμα τῷ ῥεύματι

κατεκλύζετο καὶ παρεῖτο καὶ ἐξηρθροῦτο, τοῖς τῶν ἄρθρων κοιλώμασιν ἐγκλειομένου τοῦ ῥεύματος. ἔκαμνεν οὖν οὕτω πρὸ μακροῦ τὸ σῶμα τῷ βασιλεῖ. εἶτα καί τι ἕτερον ἐπισυμβεβηκός, τὸ δ' ἦν ἐκ πνεύματος νυγμὸς περὶ τὴν πλευράν, προσδοκήσιμον ἐκείνῳ καὶ τοῖς αὐτῷ παραδυναστεύουσιν ἔθετο B *τὸ τέλος τῆς βιοτῆς, ὧν τὰ πρῶτα ὁ λογοθέτης ἦν Ἰωάννης, ἐκτετμημένον ἀνδράριον, ἄσημον μὲν ἐκ γένους ἢ δυσγενέστατον, πρὸς δὲ πραγμάτων μεταχείρισιν ἀφυέστατον, γραμματικῆς δὲ τέχνης τοσοῦτον μετεσχηκὸς ὥστε μήτ' ὀρθοεπεῖν ἀκριβῶς μήτ' ἀπταίστως ὀρθογραφεῖν. ἐφ' ᾧ δὴ τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν ὁ βασιλεὺς ἐποιήσατο καὶ τῶν τῆς βουλῆς ἀπέδειξεν ἁπάντων κορυφαιότατον. ἦν γὰρ ἐπὶ τῶν βασιλικῶν διοικήσεων πρῴην ἀνὴρ τούτῳ τὰ πάντα ἀντίρροπος καὶ γένος καὶ λόγον καὶ τὴν περὶ τὰς πολιτικὰς οἰκονομίας ἀκρίβειαν. τοιοῦτος δ' ὤν, ὁπηνίκα τι παρὰ τὸ καθῆκον ἐπέταττεν αὐτῷ ποιῆσαι ὁ βασιλεύς, οὐκ ἦν τῇ προαιρέσει τοῦ κρα-* C *τοῦντος ἐπικλινής, ἀλλ' ἀντέλεγέ τε καὶ ἀνεῖργε τοῦ μὴ προσήκοντος. ὁ δὲ ἐχαλέπαινε, καὶ πολλάκις τούτου γινομένου ἐμηνία τῇ τοῦ ἀνδρὸς ἐκείνου ἐλευθερίᾳ, καὶ ἵνα τὸ ἀντίξουν ἀποφορτίσαιτο, μεθιστᾷ μὲν ἐκεῖνον τῆς τῶν κοινῶν διοικήσεως, ὁ Λειχούδης ἦν οὗτος, ἀντεισάγει δὲ τὸν Ἰωάννην, καὶ τούτῳ τὴν τῶν πολιτικῶν ἐγχειρίζει κυβέρνησιν, ἵνα μὴ πρός τινος ἐφ' οἷς ὁρμήσει ἀνείργοιτο. οὗτος τοίνυν ὁ Ἰωάννης καὶ ἕτεροι, μέγα κἀκεῖνοι δεδυνημένοι παρὰ τῷ βασιλεῖ, ἀπεγνωκότες αὐτῷ τὸ βιώσιμον πείθουσι τὸν κάμνοντα φροντίσαι περὶ διαδοχῆς, καὶ ὑποτιθέασιν αὐτῷ εἶναι πρὸς τὴν ἀρχὴν ἐπιτήδειον τὸν Πρωτεύοντα· ὁ δὲ τὴν τῆς*

Βουλγαρίας ἀρχὴν περιέζωστο, καὶ ἀπεδήμει τῆς D *βασιλίδος τῶν πόλεων. ἔσταλτο τοίνυν ὁ τὸν ἄνδρα μετακαλεσόμενος· ἐκ δὲ τῆς βασιλίδος Θεοδώρας ἡ βουλὴ ἀπεκέκρυπτο. ἀλλ' οὐκ εἰς τέλος τὸ βούλευμα τὴν βασιλίδα διέλαθε. γνοῦσα δὲ ὡς οὐκ ἐπ' αὐτῇ ποιεῖται τὸ κράτος ὁ τελευτῶν, τὸν μὲν ἐᾷ δυσθανατοῦντα κατὰ τὰ ἐν τοῖς Μαγγάνοις βασίλεια· ἐκείνη δὲ σπουδῇ τῶν ὑπηρετουμένων αὐτῇ ἐμβεβηκυῖα νηὶ εἰς τὸ μέγα προσωρμίσθη ἀνάκτορον. καὶ αὐτῇ ἥ τε βασιλικὴ δορυφορία προσερρύη αὐτίκα καὶ τῆς γερουσίας τὸ ἔκκριτον, καὶ αὐ-* W III 208 *τοκράτωρ πρὸς πάντων ἀνερρήθη, ὡς αὐτῇ κατὰ κλῆρον τῆς ἀρχῆς προσηκούσης. τοῦτο τῷ Μονομάχῳ γνωσθὲν προστίθησιν ἄλγημα, καὶ βραχύ τι ἐπιβιούς, ὅσον ἐπιστενάξαι τοῖς γενομένοις καὶ ἀθυ-* P II 262 *μῆσαι, ἐξέλιπε, βασιλεύσας ἔτη δώδεκα καὶ μῆνας ὀκτώ. καὶ κατετέθη εἰς τὴν παρ' αὐτοῦ δομηθεῖσαν μονὴν τῶν Μαγγάνων.*

Ἡ δὲ βασιλὶς Θεοδώρα ἔξωρος τῆς αὐταρχίας 29 *κρατήσασα βασιλέα τοῖς πράγμασιν ἐπιστῆσαι οὐκ ἤθελεν, ἀλλ' ἡδυνθεῖσα τῇ ἐξουσίᾳ, παρ' ὅσον ἐπεβίω τῇ βασιλείᾳ καιρόν, αὐτὴ τῶν ὅλων ἦν ἐγκρατής, πρὸς τοῦτο καὶ παρὰ τῶν αὐτῆς θεραπόντων ἐμβιβασθεῖσα, οὓς καὶ ταῖς μεγίσταις ἐπέστησε τῶν ἀρχῶν. τὴν δὲ τῶν πολιτικῶν πραγμάτων διοίκησιν τῷ συγκέλλῳ Λέοντι, ὃς Παρασπόνδυλος ὠνόμαστο, ἐνεχείρισε, τὸ πάλαι τῷ βασιλεῖ Μιχαὴλ ὑπηρετήσαντι. ἡ δὲ προυκάθητο ἐπὶ βήματος, καὶ* B *ἐχρημάτιζε πρέσβεσι καὶ ἦν ἀρχαιρεσιάζουσα καὶ δίκαις ἐνθεμιστεύουσα καὶ ψήφους ἐκφέρουσα καὶ διαιτῶσα δημοσίαις καὶ κοιναῖς ὑποθέσεσι, καὶ εὔδαιμον ὑπῆρξεν αὐτῇ τὸ αὐτοκρατές. οὔτε γάρ τις*

ἀντῆρε χεῖρα αὐτῇ οὔτ' ὀλιγώρως πρὸς τὰ ἐκείνῃ δεδογμένα ὤφθη διατεθὲν τὸ ὑπήκοον οὔτ' ἔθνος τότε κατὰ Ῥωμαίων κεκίνητο, ἀλλὰ καὶ εὐκρασία γέγονε τῶν ὡρῶν καὶ ἡ γῆ τοὺς καρποὺς ἀφθόνους ἐξήνεγκεν. ἔξωρος δέ, ὡς εἴρηται, καὶ πλήρης ἡμερῶν ἡ βασιλὶς αὕτη τῶν σκήπτρων κρατήσασα ὅμως μακροὺς ἔτι τῆς ζωῆς ἑαυτῇ ἐπεμέτρει ἐνιαυτούς. εἶχε δὲ καὶ τὸ σῶμα ἐρρωμενέστερον καὶ μὴ
C *ῥᾷστα πόνοις καμπτόμενον. ἐπεὶ δὲ καὶ ταύτην κατήπειγε τὸ χρεών, εἰ καί τινες αὐτῇ μοναχοὶ αἰῶνας ἔτι ζωῆς ἐπηγγέλλοντο, καὶ νόσῳ περιεπεπτώκει δεινῇ, ἣ τοῖς Ἀσκληπιάδαις ὠνόμασται εἰλεός, καὶ τοῖς περὶ αὐτὴν αἱ ἐλπίδες αἱ περὶ αὐτῆς ἀπεγνώσθησαν, συλλεγέντες βουλεύονται τίνα ἂν εἰς τὴν ἀρχὴν ἀντεισάξωσιν, ὃς αὐτοῖς τὴν εὐετηρίαν τηρήσει καὶ τὸ εὐτύχημα. ἔδοξεν οὖν πρὸς τοῦτο σφίσι κατάλληλος ὁ στρατιωτικὸς Μιχαήλ, ἀνὴρ ἐκ Βυζαντίου μὲν γεγονώς, πρὸς πραγμάτων δὲ καὶ τοσαύτης ἡγεμονίας μεταχείρισιν ἀποπεφυκὼς ἔκ τε φυσικῆς νωθείας καὶ ἀφελείας καὶ διὰ χρόνου μῆκος, ὃ τῇ ἐκείνου παρεξετάθη ζωῇ. ἤδη*
D *γὰρ οὐ γέρων ἦν, ὡς παρὰ τοῦ δημώδους πλήθους ὠνόμαστο, ἀλλὰ πρεσβύτης. τοῦτον οὖν πείθουσι τὴν Θεοδώραν ἀντικαταστῆσαι τῇ βασιλείᾳ. ἡ δὲ αὐτίκα ταινιοῖ τῷ βασιλείῳ τὸν Μιχαὴλ διαδήματι, πρότερον ὁρκίοις προκαταληφθέντα φρικώδεσι μήτι τῆς ἐκείνων γνώμης χωρὶς ἐπὶ ταῖς τῆς βασιλείας οἰκονομήσασθαι διοικήσεσιν. ἐπὶ τούτοις τὴν βασιλίδα τὸ πνεῦμα ἐπέλιπε, μοναρχήσασαν ἔτος ἓν ἐπὶ ἐννέα μησίν.*

1
W III 209 *Ὃν οὖν εἴρηται τρόπον ὁ πρεσβύτης Μιχαὴλ*
P II 263 *αὐτοκράτωρ ἀναρρηθεὶς τοῖς μὲν τῆς γερουσίας καὶ*

τῷ δημώδει πλήθει καὶ παρὰ τὸ προσῆκον ὤπτο φιλοτιμότατος, ἕκαστον τούτων εἰς βαθμοὺς προβιβάζων ἀξιωμάτων καὶ τιμὰς προσνέμων ἀκαταλλήλους τοῖς πλείοσι. τοῖς δὲ στρατιωτικοῖς καταλόγοις, καὶ μάλιστα τοῖς τούτων ἐξόχοις, οἷς στραταρχεῖν τε καὶ ἰλαρχεῖν ἀπονενέμητο πρὸ πολλοῦ, καὶ λίαν ἀντιρρόπως τοῖς ἄλλοις ἐκέχρητο. οὔτε γὰρ φιλότιμόν τι πρὸς αὐτοὺς ἐνεδείξατο ἄρτι καταλαβόντας τὴν βασιλίδα τῶν πόλεων, οὔτε μὴν πραέσιν αὐτοὺς ἐδεξιώσατο ῥήμασιν. ἤστην δὲ τούτων πρωτεύοντε ἄνδρε διττώ, μαγίστρω μὲν ὄντε B καὶ ἄμφω, λαμπρὼ δὲ τὰ γένη, καὶ οὐχ ἧττον στρατηγικῇ συνέσει καὶ κράτει χειρῶν καὶ θάρσει ψυχῶν εἰχέτην τὴν περιφάνειαν. τούτων ἅτερος ἦν ὁ Κομνηνὸς Ἰσαάκιος, ὁ δὲ λοιπὸς ὁ Κεκαυμένος Κατακαλών, ᾧ Κολώνεια ἡ πατρίς, ὃν καὶ δοῦκα Ἀντιοχείας τυγχάνοντα ἅμα τῇ ἀναρρήσει παρέλυσε τῆς ἀρχῆς, τὸν οἰκεῖον ἀνεψιὸν Μιχαὴλ μάγιστρόν τε καὶ δοῦκα τῆς Ἀντιοχείας προχειρισάμενος, καὶ Οὐρανὸν ἐκείνῳ θέμενος τὸ ἐπώνυμον, ἵνα πρὸς τὸν ἀρχαῖον Οὐρανὸν ἀναφέρειν τὸ γένος δοκῇ. τοῦτον τοίνυν τὸν Κεκαυμένον, ὡς δῆθεν μὴ καλῶς χρησάμενον τῇ ἀρχῇ, ἀλλὰ τάς τε δυνάμεις καταλελυκότα καὶ φορτικὸν τοῖς ὑπὸ χεῖρα γενόμε- C νον καὶ ἐπέπληξεν ἰταμώτερον καὶ ὀνείδεσιν ἔβαλε καὶ οὐδ' ἐφείσατο ὕβρεων, ἀλλὰ καὶ τῶν ἄλλων λαμπροτάτων ἀνδρῶν καὶ συνταγματαρχούντων ἐκείνῳ ὑπεραπολογήσασθαι τοῦ ἀνδρὸς ὡρμηκότων, οὐδ' ἐπ' ἐκείνους τῆς γλώττης οὔτε μὴν αὐτὸν ᾐδέσθη τὸν Κομνηνόν. ταῦτα τοὺς στρατιώτας εἰς ἀθυμίαν ἐνέβαλε, τοῖς μὲν ἄλλοις φιλοτιμότατον ὁρῶντας τὸν Μιχαήλ, αὐτοῖς δὲ μηδ' ἐν λόγοις τὸ εὐμενὲς ἐνδει-

κνύμενον, ὅμως μέντοι ἐπέσχον μηδέν τι νεωτερίσαι, ἀλλὰ καὶ δευτέραν πεῖραν ἐπαγαγεῖν ἐβουλεύ-
D σαντο. ἀλλ' ἑτέραν κατὰ τοῦ βασιλέως προτέραν τούτων ὁ λόγος διηγησάσθω νῦν ἐπανάστασιν. ὁ γὰρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου ἐξάδελφος ὁ πρόεδρος Θεοδόσιος, ἄρτι τοῦ Μιχαὴλ ἀναρρηθέντος, ἐν δεινῷ ποιησάμενος τὴν ἐκείνου ἀνάρρησιν, τοὺς οἰκείους θεράποντας προσλαβόμενος καί τινας ἄλλους ὅσοι κατ' ἐκεῖνον ἐλαφρίαν ἐνόσουν φρενῶν, περὶ δείλην ὀψίαν διὰ τῆς ἀγορᾶς ἀπῄει, τούτοις δορυφορούμενος, ἑαυτῷ προσήκειν τὸ κράτος λέγων διὰ τὴν πρὸς τὸν Μονομάχον συγγένειαν, καὶ ἀδικεῖσθαι ἐπιβοώμενος. γενό-
P II 264 μενος δὲ κατὰ τὴν δημοσίαν εἱρκτήν, ἣ πραιτώριον κέκληται, τὰ κλεῖθρα διαρρήξας τοῖς ἐν αὐτῇ καθειργμένοις ἄνετον παρέσχε τὴν ἔξοδον. τὸ δ' αὐτὸ καὶ ἐν τῇ τῆς Χαλκῆς εἰργάσατο φυλακῇ, ἐλπίσας διὰ τούτων τοῦ κατὰ σκοπὸν ἐπιτεύξεσθαι. ὡς δ' ἔμαθε στρατιωτικὴν ἀθροίζεσθαι περὶ τὰ βασίλεια δύναμιν καὶ ἤδη στέλλεσθαι κατ' αὐτοῦ, πρὸς τὴν μεγάλην τρέπεται ἐκκλησίαν, καὶ μόνος σὺν τῷ υἱῷ περιλειφθείς, τῶν ἑπομένων αὐτῷ διασκεδασθέντων, τῇ ἐκκλησίᾳ προσπέφευγεν· ὅθεν ληφθεὶς ὑπερορίαν κατεδικάσθη. εἰς τοῦτο δὲ τέλους τοῦ ἐπιχειρήματος αὐτῷ καταντήσαντος, ὁ δημώδης ὄχλος ἐπεγγελῶντες αὐτῷ ῥήματά τινα συνθέντες ἐπῇδον αὐτῷ· τὰ δ' ἦσαν,

B ὁ μωρὸς ὁ Μονομάχος, εἴ τι ἐφρόνει, ἐποίησε.

καὶ ταῦτα μὲν ἔσχον οὕτως.

2 Οἱ δ' ἐμπαροινηθέντες τῶν ἑῴων ἀρχόντων καὶ αὖθις πεῖραν προσάγουσι, καὶ προσίασι τῷ τὰ κοινὰ διοικοῦντι τῷ πρωτοσυγκέλλῳ Λέοντι καὶ ἱκετεύειν

δι' ἐκείνου ἐπεχείρουν τὸν βασιλέα, μὴ μόνοι αὐ- W III 210
τοὶ καταλειφθῆναι ἀγέραστοι, πάντων τοῦ φιλοτί-
μου καταπολαυσάντων τοῦ αὐτοκράτορος, καὶ ταῦτα
τῶν ἄλλων εὐπαθούντων αὐτοὶ καὶ παρ' ἀσπίδα
ἱστάμενοι καὶ προπολεμοῦντες τῆς Ῥωμαίων ἀρ-
χῆς. ὁ δὲ οὐδὲν ἧττον τοῦ βασιλέως ἀδέξιος ὢν
μεταχειρίσασθαι λυπουμένους ἄνδρας καὶ καταστεῖ-
λαι τὸ ἐκ τῆς λύπης αὐτοῖς γενόμενον οἴδημα, οὐ
μόνον οὐκ ἐλέανε λόγοις τῶν ἀνδρῶν τὴν τραχύ- C
τητα, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς ἐξετράχυνεν, ἐκ-
φαυλίσας ἕκαστον καὶ ἀτίμως πάντας ἀποπεμψάμε-
νος. οὕτως οὖν καὶ τῆς δευτέρας πειραθέντες πείρας
οὐκέτι μέλλειν ἔκριναν, ἀλλ' ἕκαστος τὸν πλησίον
παρακροτήσαντες ἔσπευδον εἰς προῦπτον ἐκφῆναι τὸ
μελετώμενον. ἔδοξεν αὐτοῖς καὶ τὸν Βρυέννιον
σχεῖν συνίστορα καὶ συλλήπτορα τοῦ ἐπιχειρήματος,
ὄντα τε τῶν ἐπιφανῶν καὶ στρατηγοῦντα τῶν ἐκ
Μακεδονίας δυνάμεων καὶ τὴν τῆς Καππαδοκίας
περιεζωσμένον ἀρχήν, λύπης τ' αἰτίας κἀκεῖνον
ἐσχηκότα κατὰ τοῦ αὐτοκράτορος. ὡς δ' οὖν κἀ-
κεῖνον ἕτοιμον εὗρον πρὸς τὸ σφέτερον βούλευμα,
ἐζήτουν τὸν ἐξ αὐτῶν βασιλεύσοντα, καὶ πᾶσιν ὁ
Κομνηνὸς ἁπάντων προυκέκριτο. ἐπεὶ δὲ ταῦτα D
συνέθεντο, ἐπ' οἴκου ξύμπαντες ἀνεχώρησαν, τῷ
βασιλεῖ προσειπόντες τὰ ἐξιτήρια. ἀπῄει δὲ καὶ ὁ
Βρυέννιος μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων, καὶ ἐν
τῷ θέματι τῶν Ἀνατολικῶν γεγονὼς τὴν τῶν στρα-
τιωτικῶν ὀψωνίων διανομὴν ἐκεῖ διετίθετο· συνῆν
γὰρ αὐτῷ καὶ ὁ πατρίκιος Ἰωάννης ὁ Ὀψαρᾶς χρυ-
σίον ἐπιφερόμενος. ἤδη δὲ τῆς διανομῆς ἠργμέ-
νης ὁ Βρυέννιος προσετίθει τοῖς στρατιώταις τὰ
σιτηρέσια καὶ ηὔξει τὸ ἑκάστῳ νενεμημένον ποσόν.

*ὁ δὲ τοῦ χρυσοῦ ταμίας ὁ εἰρημένος ἀνὴρ μὴ τοῦτο
ἔλεγεν ἐντετάλθαι οἱ πρὸς τοῦ αὐτοκράτορος. καὶ
ὁ Βρυέννιος σιωπᾶν αὐτῷ καὶ ποιεῖν τὸ ἐπιτασσό-
μενον ἐνεκελεύετο ἰταμώτερον. ὡς δ' ἔτι ὁ Ὀψα-
ρᾶς οὐκ ἐπείθετο, ἀλλὰ καὶ θρασύτερον ἐκείνῳ*
PII265 *ἀντέλεγεν, ὁ Βρυέννιος θυμῷ ληφθεὶς ἀνέθορέ τε
τῆς καθέδρας καὶ τῶν τριχῶν τῆς τε ὑπήνης λαβό-
μενος τοῦ ἀνδρὸς προσαράσσει τῇ γῇ καὶ περι-
βάλλει δεσμοῖς. ἐγγύς δέ που στρατοπεδεύων ὁ
τῶν Πισιδῶν καὶ Λυκαόνων στρατάρχης καὶ τὰ
περὶ τοῦ Ὀψαρᾶ μαθών, καὶ τυραννίδος ταῦτα κρί-
νας ἀρχήν, ἀθρόον ἔπεισι μετὰ τῶν ὑπ' αὐτὸν ταγ-
μάτων τῇ τοῦ Βρυεννίου σκηνῇ. καὶ δεσμεῖ μὲν
ἐκεῖνον, λύει δὲ τὸν Ὀψαρᾶν τῶν δεσμῶν καὶ αὐτῷ
τὸν Βρυέννιον παραδίδωσιν· ὁ δὲ αὐτίκα τοὺς ὀφθαλ-
μοὺς ἐκκόπτει ἐκείνου, καὶ οὕτω τὸν ἄνδρα τῷ βα-
σιλεῖ ἐξαπέστειλεν, ἐπιστείλας αὐτῷ καὶ ὅσα τετόλ-
μηκε. καὶ ταῦτα μὲν συνεκύρησεν οὑτωσί· ὁ δέ γε*
B *Κομνηνὸς καὶ οἱ ἐκείνῳ συνομοσάμενοι συνελθόν-
τες ἔργου ἥπτοντο, τῶν στρατιωτικῶν καταλόγων
ἄλλοθεν ἄλλου προσρυϊσκομένων αὐτῷ. ἦν μὲν γὰρ
τῷ στρατιωτικῷ παντὶ ἔφεσις στρατιώτην τὴν βα-
σίλειον ἀρχὴν περιζώσασθαι. ἤχθετο γὰρ ὑπὸ τοῦ
πολιτικοῦ μέρους ἀρχόμενον, ἀλλ' οὐκ ἐθάρρει τὸν
πόθον εἰς προῦπτον ἐξενεγκεῖν, ἔκρυπτε δὲ τὸν
ἔρωτα καὶ ὤδινε τὸν περὶ τούτου σκοπόν. ἐπεὶ δὲ
τὸν Κομνηνὸν τυραννίδι ἐπιχειρήσαντα μεμαθήκε-
σαν, καὶ αὐτὸν μὲν κορυφαῖον εἶναι τοῦ δράματος,
τὰ δὲ κράτιστα τῶν γενῶν τῆς ἐπιχειρήσεως αὐτῷ
συλλαμβάνεσθαι, τοῦτ' εἶναι τὸ ὑπ' αὐτῶν μελε-*
C *τώμενον δόξαντες, ἁρπάζουσι τὸν καιρόν, καὶ ἕκα-
στος τὸν πέλας προφθάσαι ἠπείγετο. ἐντεῦθεν τῷ*

Κομνηνῷ βαρεῖα συνέστηκε δύναμις· στείλας οὖν κατὰ ξύμπασαν τὴν ἑῴαν τοὺς φόρους ἐπράττετο, ἀποδεκτῆρας τούτων τάξας καὶ τῶν προσαγομένων ἀπογραφεῖς. εἶτα ἄρας ἀπήει πρὸς Νίκαιαν ἤδη βασιλεὺς πρὸς πάντων τῶν σὺν αὐτῷ στρατευομένων W III 211 *ἀναρρηθείς, ταύτης ἐγκρατὴς γενέσθαι βουλόμενος, ἵν' ἔχοι τὴν πόλιν ὁρμητήριον ἢ κρησφύγετον, ὁποτέρως ἂν ῥέψῃ τὰ τῆς τύχης αὐτῷ, καὶ τὴν μὲν λαμβάνει, αὐτὸς δὲ φρουρὰν ἀρκοῦσαν ἐγκαταστήσας αὐτῇ πρὸ δώδεκα σταδίων ταύτης στρατοπεδεύεται. καὶ ὁ βασιλεὺς δὲ Μιχαὴλ τὰς δυτικὰς ἀγείρας δυνάμεις, καὶ εἴ τινές που τῶν ἑῴων* D *περιελείφθησαν, μὴ συναπαχθεῖσαι τῷ Κομνηνῷ, ἐφιστᾷ τούτοις στρατηγὸν τὸν δομέστικον τῆς Ἀνατολῆς τὸν ἐκτομίαν Θεόδωρον, τὸν τῆς βασιλίσσης Θεοδώρας θεράποντα, συζεύξας αὐτῷ συνάρχοντα καὶ τὸν μάγιστρον Ἀαρών, σύγγονον ὄντα τῆς συνοικούσης τῷ Κομνηνῷ. οἳ τοῖς ἐναντίοις ἀντιστρατοπεδευσάμενοι συγκροτοῦσι καὶ πόλεμον κατά τινα τόπον, ᾅδην τοῖς ἐγχωρίοις καλούμενον, καὶ τὸ μὲν εὐώνυμον κέρας τῶν βασιλικῶν ἥττησε τὸ δεξιὸν κέρας τὸ περὶ τὸν Κομνηνόν, καὶ τὸν ἐφεστηκότα τούτῳ Ῥωμανὸν τὸν Σκληρὸν συνέσχε ζῶντα. τὸ δέ γε τῶν ἐναντίων εὐώνυμον, οὗ κατῆρχεν ὁ Κεκαυμένος, τὸ δεξιὸν ἐτρέψατο τῶν βασιλικῶν, καὶ εἰς αὐτὸ τὸ στρατόπεδον εἰσῆλθεν αὐτῶν καὶ τὰς* P II 266 *σκηνὰς διέρρηξε καὶ ἔρριψε κατὰ γῆς. τοῦτο τοῖς περὶ τὸν Κομνηνὸν θάρσος ὡς μάλιστα ἐνεποίησε, τοῖς δ' ἀντιπολεμοῦσι κατέβαλε τὰ φρονήματα καὶ φεύγειν ἀνέπεισε. γίνεται τοίνυν τῶν βασιλικῶν φόνος πολύς, οὐ κοινῶν μόνον στρατιωτῶν, ἀλλὰ*

καὶ στραταρχῶν, καὶ πλείους δὲ ἐξωγρήθησαν. καὶ ἡ νίκη ἀναφανδὸν τῷ Κομνηνῷ ἐπεμειδία.

3 Τοῦτο μαθὼν ὁ βασιλεὺς Μιχαὴλ ἀπεγνώκει τὰ τοῦ πολέμου καὶ τὴν ἀρχὴν ἀποθέσθαι ἠβούλετο, ἀλλὰ τοῖς περὶ ἐκεῖνον τοῦτο ἀβούλητον ἦν, ὅθεν οὐδ᾽ εἰς ἔργον ἀγαγεῖν συνεχωρήθη τὸ βούλημα. στέλλονται τοίνυν πρὸς τὸν Κομνηνὸν πρεσβεύσοντες ἄνδρες τῶν ἐκκρίτων τῆς συγκλήτου βουλῆς· οἳ
B δ᾽ ἦσαν ὁ πρόεδρος Κωνσταντῖνος ὁ Λειχούδης, ὁ πρόεδρος Λέων ὁ Ἀλωπός, καὶ Μιχαὴλ ὁ Ψελλός, τῶν φιλοσόφων ὢν ὕπατος. τὰ δὲ παρὰ τούτων καταγγελλόμενα υἱοθέτησις ἦν τοῦ Κομνηνοῦ, εἰσποιηθησομένου τῷ βασιλεῖ, καὶ ἀναγωγὴ πρὸς τὴν τιμὴν τὴν τοῦ Καίσαρος, καὶ τοῖς τὴν τυραννίδα συμμελετήσασιν ἄφεσίς τε καὶ ἀμνηστία τοῦ πλημμελήματος. οἱ μὲν οὖν ταῦτα τῷ Κομνηνῷ ἀπηγγέλκασιν ἐν ἐπηκόῳ τοῦ πλήθους, τὸ δὲ ἐθορύβει, μὴ βούλεσθαι λέγον ἐν ἄλλῳ σχήματι τὸν αὐτῶν προεστηκότα θεάσασθαι μηδ᾽ ἀποδύσασθαι ἀνασχέσθαι αὐτὸν τὴν στολὴν τὴν βασίλειον, ἣν ἤδη ἐνδέδυται. ἔλεγον δὲ ταῦτα οἱ πλείους οὐχ οὕτω
C φρονοῦντες, ἀλλὰ τὸν τυραννοῦντα θωπεύοντες. ἐπεὶ δὲ διελύθη ὁ σύλλογος, ἰδίᾳ τοὺς πρέσβεις ὁ Κομνηνὸς προσλαβόμενος "εἴ τινά μοι" φησίν "ἀπόρρητα διαπορθμεῦσαι πληροφορήσετε πρὸς τὸν αὐτοκράτορα, ἐρῶ ὑμῖν ὅσα μοι κατὰ τὴν καρδίαν ἐγκέκρυπται." τῶν δὲ καταθεμένων ἀνέκφορον τηρήσειν ἅπαν ἀπόρρητον, ἔφη ἀρκεῖσθαι νῦν τῷ σχήματι τῷ τοῦ Καίσαρος καὶ μὴ ζητεῖν τὸ βασίλειον, αἰτεῖν δὲ πληροφορίαν ἐκ τοῦ κρατοῦντος, ὡς οὐχ ἑτέρῳ δώσει τὴν αὐταρχίαν ποτέ, καὶ ὡς συντηρήσει ἑκάστῳ τῶν σὺν ἐμοί, εἴ τι τούτοις πε-

φιλοτίμηται παρ' ἐμοῦ, καὶ ὡς καί τινος μεταδώ-
σει μοι νῦν ἐξουσίας βασιλικῆς, ἵν' ἔχω τινὰς τι-
μᾶν τοῖς τῶν ἀξιωμάτων ἐλάττοσι καὶ εἰς ἀρχὰς
ἐνίους στρατηγικὰς προχειρίζεσθαι, καὶ εἴ μοι ταῦτα
ἐπιτελῆ γίνοιτο, σπείσομαι καὶ ἀφίξομαι. ὅτι δὲ D
τοῖς πλήθεσι ταῦτα δὴ ἀπαρέσκουσι, διττὰς πρὸς
τὸν κρατοῦντα ἐγχαράξω ἐπιστολάς, καὶ τῇ μὲν
καταδημαγωγήσω τὸ στρατιωτικόν, τῇ δ' ἐγγράψο-
μαι τὰ ἀπόρρητα." ἐπὶ τούτοις καὶ τὸν τὰ κοινὰ
μεταχειριζόμενον ᾔτει μεταστῆναι τῆς διοικήσεως,
ὡς δύσνουν αὐτῷ καὶ τοῖς μετ' αὐτοῦ. ὁ μὲν οὖν W III 212
ταῦτα εἰπὼν καὶ τὰς ἐπιστολὰς αὐτοῖς ἐγχειρίσας,
ἀπελθεῖν προετρέπετο. οἱ δ' ἐπανῆλθον ἐπὶ τὸν
γηραιὸν αὐτοκράτορα, τὰς ἐπιστολάς τε φέροντες
καὶ ὅσα ὁ Κομνηνὸς αὐτοῖς ἐν ἀπορρήτοις ἔφη διὰ
ζώσης φωνῆς ἀπαγγέλλοντες. ἡσθεὶς οὖν ἐπὶ τού-
τοις ὁ βασιλεὺς πάντα πληρῶσαι ὅσα ἐκεῖνος ᾔτη-
σεν ἐπηγγείλατο, καὶ προσεπήγαγεν ὅτι "ὥσπερ P II 267
ἐκεῖνος ἀπορρήτους μοι γνώμας ἐδήλωσε δι' ὑμῶν,
οὕτως αὖθις κἀγὼ μυστικώτερά τινα ἐκείνῳ διὰ
τῶν αὐτῶν ὑμῶν ἀνατίθεμαι. διόμνυσθε τοίνυν
τῷ ἀνδρὶ ὅτι οὐ μακρὸν ἂν εἴη τὸ μέσον διάστημα
καὶ συμμέτοχον αὐτὸν τοῦ κράτους ποιήσομαι, νῦν
δ' ἀναβάλλομαι τοῦτο διά τινα αἴτια." ἐπὶ τούτοις
ἀπῆλθον αὖθις οἱ πρεσβευταί, καὶ ὁ Κομνηνὸς
ἄσμενος τὰς ἀγγελίας ἐδέξατο, καὶ τοῖς ἄλλοις οὐκ
ἀποθύμια τὰ μηνύματα ἔδοξαν καὶ μᾶλλον, ὅτι με-
ταστῆναι τῶν διοικήσεων τὸν ἐγκεχειρισμένον αὐ-
τὰς μεμαθήκεσαν, καὶ ἤδη καταθεῖναι τὰ ὅπλα
ἔδοξεν ἅπασι καὶ τῆς τυραννίδος ἀφέξεσθαι. ὁ πρε-
σβύτης δὲ βασιλεὺς πρὸ τοῦ τὰς συμβάσεις αὐτῷ
πρὸς τὸν Κομνηνὸν γενέσθαι, τὴν τῆς πολιτικῆς B

μοίρας εὔνοιαν περιποιούμενος ἑαυτῷ, ὥσπερ ᾤετο, ἔγγραφόν τι συγγεγραφώς, ὅρκοις καταδεσμοῦν καὶ ἀραῖς ἕκαστον ὥστε μήτε βασιλέα καλέσαι τὸν Κομνηνὸν μήτε τιμὴν αὐτῷ προσοίσειν βασίλειον, τοὺς μὲν τῶν συγκλητικῶν χρήμασι, τοὺς δ' ἀξιωμάτων διανομαῖς, καὶ ἄλλους ἄλλοις θελκτηρίοις ἀνέπειθε τῷ ἐγγράφῳ ὑποσημαίνεσθαι καὶ τὰ ἐν αὐτῷ βεβαιοῦν. ἐπεὶ δ' ἥκειν τὸν Κομνηνὸν ἠκηκόεισαν, ὡς κατὰ τὴν ἐπιοῦσαν εἰσελευσόμενον, στασιώδεις τινὲς τῶν τῆς συγκλήτου βουλῆς ἔωθεν τῷ τεμένει τῆς τοῦ θεοῦ λόγου Σοφίας προσεληλύθεσαν, οἷς καὶ οἱ τῶν ἑταιρειῶν συνῄεσαν ἄρχοντες, καὶ κραυγαῖς προεκαλοῦντο τὸν C πατριάρχην εἰς θέαν σφίσιν ἐλθεῖν. ὁ δὲ τὰς θύρας αὐτοῖς ἁπανταχόθεν ἐπιζυγώσας τοὺς ἀδελφιδοῦς αὐτοῖς ἐκπέπομφε πυνθανομένους ὅ,τι φασίν. οἱ δὲ θορυβοῦντες εἰς πλῆθος ἤδη συστάντες, πολλῶν συρρευσάντων ἐκεῖ, συνέσχον τοὺς τοῦ πατριάρχου ἀδελφιδοῦς, καὶ εἰ μὴ αὐτίκα πρὸς αὐτοὺς ἐξελεύσεται ὁ ἀρχιερεύς, διαθήσειν ἐκείνους ἠπείλουν κακῶς. λέγεται δὲ ταῦτα σκήψεις εἶναι καὶ προβουλεύματα, ἵν' ἄκων δοκοίη συνελθεῖν ὁ πατριάρχης τοῖς στασιάζουσι. κατῆλθεν οὖν ἐκ τῶν ὑπερῴων τὴν ἱερατικὴν ἐνδεδυμένος στολήν, ἐπεγκαλῶν δῆθεν τοῖς παροῦσιν ὡς βιαζόμενος. οἱ δὲ τῶν στασιαζόντων θρασύτεροι ἢ μᾶλλον δι' ὧν ἡ στάσις συνίστατο μέσον ἀπειληφότες αὐτὸν πρεσ- D βευτὴν ἠξίουν γενέσθαι πρὸς τὸν βασιλέα, ἵν' αὐτοῖς ἀποδοθείη τὸ ἔγγραφον, ὃ βιασθέντες ὑπογεγράφασιν, ἐπεὶ τῷ Κομνηνῷ ἐκεῖνος ἐσπείσατο. ὁ δὲ πληρώσειν αὐτῶν τὸ αἴτημα κατετίθετο· ἀλλ' ἦσαν προσποίησις ἅπαντα. βραχείας γὰρ παρελ-

θούσης ὥρας βασιλέα καὶ αὐτοκράτορα φανερῶς
ἀνεῖπον τὸν Κομνηνόν, αὐτοῦ τοῦ πατριάρχου συν-
ευδοκοῦντός τε καὶ συμπράττοντος, καὶ τῷ μὲν
Κομνηνῷ μὴ μέλλειν δηλώσαντος, ἀλλὰ σπεύδειν,
καὶ ἀμοιβὰς αἰτοῦντος τῆς ἀναρρήσεως, τῷ δ' ἕως
τότε βασιλεύοντι κατιέναι τῶν ἀνακτόρων ἰταμώ-
τερον ἐπιτάττοντος. ἀρχιερέων δὲ τῷ γέροντι Μι-
χαὴλ τὰ τοῦ πατριάρχου κομισάντων μηνύματα,
ἐκεῖνος ἔφη "τί δέ μοι ἀντὶ τῆς βασιλείας παρέξετε"; P II 268
οἱ δὲ "τὴν οὐράνιον βασιλείαν" ἀπεκρίθησαν. αὐ-
τίκα τοίνυν ἀπορρίψας τὰ τῆς βασιλείας παράσημα
ἀπῆλθε τῶν βασιλείων. ὁ δέ γε Κομνηνὸς κουρο-
παλάτην τιμήσας τὸν Κεκαυμένον στέλλει τὸν ἄν-
δρα μετά τινος δυνάμεως παραληψόμενον τὰ ἀνά-
κτορα. τὸ μέντοι πλῆθος τῆς πόλεως εἰς ὑπαντὴν
τοῦ νέου βασιλέως ἐκκέχυτο λαμπρότατά οἱ ποιοῦν
τὰ εἰς τὴν βασιλεύουσαν εἰσιτήρια.

Ἕνα μὲν οὖν ὁ Μιχαὴλ αὐταρχήσας ἐνιαυτὸν W III 213
τῆς βασιλείας ἐκπέπτωκε, καὶ οὐ πολὺ ἐν ἰδιωτικῷ 4
σχήματι βιώσας ἀπέτισε τὸ χρεών. ὁ δὲ Κομνηνὸς B
τῇ βασιλείᾳ ἐγκαταστὰς ἑαυτῷ τὴν ταύτης ἐπιτυ-
χίαν καὶ οὐ τῷ θεῷ ἐπεγράψατο, καὶ τοῦτο δῆλον
ὅτι τῷ νομίσματι ξιφήρη ἑαυτὸν ἐνεχάραξε, μόνον
οὐχὶ βοῶν ὅτι "τοῦτό μοι τὴν βασιλείαν καὶ οὐχ
ἕτερόν τι προυξένησε." τοὺς δὲ συναραμένους αὐτῷ
φιλοτιμότατα ἀντημείψατο, καὶ ἔσπευσεν ἑκάστῳ τὰς
ἀμοιβὰς ἀποδοὺς οἴκαδε παρασκευάσαι ἀποχωρεῖν,
ἵνα μή τι θορυβήσωσιν ἢ τοῦ δήμου κατεξαναστῶ-
σιν ἀστυπολοῦντες. τὸν πατριάρχην δὲ δι' αἰδοῦς
ἦγεν ὅτι πολλῆς, καὶ τοὺς αὐτῷ ἀδελφόπαιδας δι'
ἐκεῖνον καὶ τιμαῖς ἐτίμησε μείζοσι καὶ ἀρχαῖς περι-
φανέσιν ἐπέστησε. χαριζόμενος δ' ἔτι τῷ πατρι- C

ἀρχῇ καὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκονομίαν τῇ ἐκκλησίᾳ ἀπένειμε, μέχρι τότε τοῦ μεγάλου οἰκονόμου προχειριζομένου παρὰ τοῦ βασιλεύοντος, ἀλλὰ μὴν καὶ τοῦ σκευοφύλακος, ἐκεῖνος δὲ καὶ ἄμφω ὑπὸ τὴν τοῦ πατριάρχου ἔθετο ἐξουσίαν, ἀποξενώσας ἀμφοῖν τὸ δημόσιον. εἶτα τὴν μὲν τοῦ βίου αὐτῷ κοινωνὸν Αὐγούσταν ἀνηγόρευσε, τὸν δ' ἀδελφὸν Ἰωάννην κουροπαλάτην τετίμηκε καὶ ὠνόμασε μέγαν δομέστικον. τῶν δὲ πρὸ αὐτοῦ βασιλέων, ὅσοι μετὰ τὸν πορφυρογέννητον ἐκεῖνον Βασίλειον τῆς βασιλείας ἐπέβησαν, οὐ καλῶς χρησαμένων τοῖς δημοσίοις καὶ κοινοῖς πράγμασιν, D ἀλλὰ τὰ μὲν εἰς οἰκείας ἀπολαύσεις καὶ εἰς ἀσκητηρίων κατασπαθησάντων οἰκοδομάς, τὰ δὲ δωρουμένων οἷς ἔτυχεν ἢ τέως οἷσπερ ἐβούλοντο, οἱ βασιλικοὶ θησαυροὶ ἐκκεκένωντο καὶ τὰ δημόσια πρυτανεῖα χρημάτων ἐσπάνιζον. τοῦτο τοίνυν ὁ Κομνηνὸς προθέμενος διορθώσασθαι, οὐκ ἠρέμα οὐδὲ κατὰ βραχὺ τῇ διορθώσει ἐπικεχείρηκεν, ἀλλ' ὡς τῷ στατῆρι ἑαυτὸν ἀνεστήλωσεν ἀνατεταμένον τὴν χεῖρα, φέρουσαν τὸ ξίφος γυμνόν, οὕτω καὶ τοῖς πράγμασιν ἐπήνεγκεν ἑαυτὸν καὶ τέμνειν αὐτίκα παρεσκεύαστο τὰ οἰδήματα, ἀλλ' οὐ μαλάσσειν οὐδ' ἐμπλάττειν τὰ ὕπουλα. ὅθεν οὐδὲ ἐξ οὗπερ τοῦ κράτους P II 269 ἐπέβη καὶ εἰς ἔννομον ἀρχὴν τὴν πρὶν αὐτοῦ τυραννίδα μετήνεγκεν, ἀναποδίσας τὴν τοῦ πρὸ αὐτοῦ πρᾶξιν ἀνέτρεψε, καὶ εἴ τι ἐκεῖνός τισιν ἐδωρήσατο, ἀφηρεῖτο καὶ ἀπεστέρει τοὺς εἰληφότας, ἀλλὰ καὶ τῶν πρὸ ἐκείνου πολλὰ καθήρησε καὶ ἠθέτησε, καὶ οὐ μόνον ταῦτα πρὸς τὸ δημῶδες ἐποίει, ἀλλ' οὐδὲ τῶν τῆς γερουσίας ἐφείδετο. εἶτα προβαίνων καὶ κατὰ τοῦ θείου ἐχώρησε καὶ πολλὰ τῶν τοῖς

παρ᾽ ἐκείνων δομηθεῖσι φροντιστηρίοις ἀφιερωμένων ἠκρωτηρίασεν, ἢ μᾶλλον ἐκλογισμοῖς ὑποβάλλων τοὺς ἐν αὐτοῖς ἀσκουμένους καὶ τὴν ἀποχρῶσαν αὐτοῖς δαπάνην ἀπονέμων τὰ λοιπὰ τῷ δημοσίῳ ἀφωσίου καὶ ἀνελάμβανε, καὶ ἄλλο ἐπ᾽ ἄλλῳ καθ᾽ ἑκάστην ἐνεόχμου τοιοῦτον. ἐντεῦθεν ἅπασι μισητὸς ἦν, τῷ B τε δημοτικῷ πλήθει τῇ τε συγκλήτῳ βουλῇ, ἀλλὰ μέντοι καὶ τῷ στρατιωτικῷ· οὐδὲ γὰρ οὐδ᾽ ἐκείνου ἀπείχετο, ἀλλὰ κἀκείνοις ἀπεμείου τὰς εὐπορίας καὶ τῶν ἄλλων μᾶλλον τοῖς ἐν σεμνείοις τὴν ζωὴν διανύουσι. τὸν δὲ οὐδὲν ἀπῆγε τῶν ἐγχειρήσεων, οὐ λόγος, οὐ δέος, οὐ μῖσος, οὐ ψόγος· οὕτως ἐπῆρτο τὸ φρόνημα καὶ οἰδοῦσαν ἐκέκτητο τὴν ψυχήν.

Ἀλλ᾽ οὐδ᾽ ὁ πατριάρχης ἧττον ἐκείνου πεφρο- 5 νημάτιστο. ἤθελεν οὖν ἐπιτάσσειν αὐτῷ, καὶ εἴ ποτε πρὸς τὰ αἰτούμενα ἀπετύγχανεν, ὁ δὲ ἐδυσχέραινε καὶ ἠπείλει καὶ ἐπετίμα, εἶτα καὶ ὡς αὐτὸς αὐτῷ τὴν C βασιλείαν ἀπονενεμηκώς, αὐτὸς καὶ ἀφελέσθαι ταύ- WIII 214 την αὐτὸν εἰσαῦθις ἠπείλησε. ταῦτα οὐκ ἦν οἴσειν τὸν βασιλέα ἐπιεικῶς· διὸ καὶ δρᾶσαι πρίν τι πάθοι προεμηθεύσατο. τοῦ γοῦν πατριάρχου εἰς τὴν οἰκείαν ἀπελθόντος μονήν, ἤδη τῆς πανηγύρεως ἐφεστώσης τῶν ἐν αὐτῇ τιμωμένων οὐρανίων δυνάμεων, ἵν᾽ ἑορτάσῃ λαμπρότερον, πέμψας ἐκεῖ χεῖρα στρατιωτικὴν ὁ κρατῶν, οὐ γὰρ ἤθελεν ἐκ τῆς τοῦ θεοῦ λόγου Σοφίας τὸν ἄνδρα καταγαγεῖν, ἵνα μὴ παρὰ τῷ κλήρῳ ἢ καὶ τῷ δήμῳ θόρυβος γένηται, ἐκεῖνόν τε καὶ τοὺς ἐκείνου ἀνεψιοὺς συνόντας αὐτῷ ὑπερορίους ποιεῖ. εἶτα καὶ καθαιρέσει ὑποβαλεῖν αὐτὸν διὰ φροντίδος ἐτίθετο, καί τισι τῶν ἀρχιερέων συν- D εργοῖς πρὸς τοῦτο ἐκέχρητο, δηλοῖ τε δι᾽ αὐτῶν τῷ

ἀνδρὶ ἀπείπασθαι τὴν ποιμαντικήν, ἵν' ἑκὼν δοκῇ
αὐτὴν παραιτεῖσθαι, ὡς εἰ μὴ τοῦτο, καὶ ἄκων αὐ-
τὴν ἀφαιρεθήσεται, εἰς μέσον κατ' αὐτοῦ προτιθε-
μένων αἰτιαμάτων. ὡς δ' ἐκεῖνος οὐκ ἦν ὑπείκων
τῷ τοῦ βασιλέως θελήματι, φροντὶς ἦν τῷ κρατοῦντι
περὶ τῆς αὐτοῦ καθαιρέσεως. ἀλλ' ἔφθη λύσας τὴν
φροντίδα τοῦ πατριάρχου ὁ θάνατος. μετ' ὀλίγον
γὰρ μεθίσταται τῶν ἐνθένδε ὁ πατριάρχης, καί τις
P II 270 τῷ Κομνηνῷ τὴν ἐκείνου εὐηγγελίσατο τελευτήν,
ὡς φροντίδων αὐτὸν ἀπαλλάττουσαν. ὁ δ' εὐθὺς
μετεγνώκει καὶ ἀνωλόλυξε, καὶ τὸν ἐκείνου νεκρὸν
μετ' ἐντίμου τῆς προπομπῆς ἐκ τῆς ὑπερορίας ἀνα-
γαγὼν εἰς τὴν αὐτοῦ μονὴν ἐναπέθετο, καὶ τοὺς
ἐκείνου ἀδελφιδοῦς αὖθις ἀποκατέστησε πρὸς τὰς
προτέρας τιμάς. τῇ δ' ἐκκλησίᾳ τὸν πρόεδρον καὶ
πρωτοβεστιάριον Κωνσταντῖνον τὸν Λειχούδην ἀν-
τικατέστησε, ἄνδρα ταῖς τῶν κοινῶν πραγμάτων ἐπὶ
μακρὸν ἐμπρέψαντα διοικήσεσι καὶ ἀνέγκλητον δια-
μείναντα, ᾧπερ ὁ Μονομάχος καὶ τὴν τῶν Μαγγά-
B νων ἀνέθετο πρόνοιαν καὶ τὰ περὶ τῆς ἐλευθερίας
αὐτῶν ἐνεπίστευσεν ἔγγραφα. ἅπερ ὑφ' ἑαυτὸν ὁ
Κομνηνὸς ἐθέλων ποιήσασθαι σκέμμα τι μηχανᾶται
πονηρίας ἀνάμεστον καὶ τόκον νοὸς κακοδαίμονος.
ἐπεὶ γὰρ ὁ Λειχούδης ἐψήφιστό τε καὶ προκεχείριστο
καὶ ἱερεὺς ἤδη κεχειροτόνητο, δι' ἀπορρήτων αὐτῷ
μηνύει λέγεσθαί τινα κατ' αὐτοῦ ἀπείργοντα τοῦ
ἱερᾶσθαι αὐτόν, καὶ εἰ μὴ ταῦτα λαληθεῖεν συνοδι-
κῶς, μὴ οἷόν τε εἶναι τοῦ χρίσματος αὐτὸν τῆς ἀρ-
χιερωσύνης τυχεῖν. "εἰ δὲ δοίης μοι" ἔφη "τῶν Μαγ-
γάνων τὰ δικαιώματα, παραβλέψομαι τὰ λεγόμενα
καὶ παραχωρήσω χρισθῆναί σε." συνιδὼν οὖν ὁ
Λειχούδης ὡς οὐκέτι αὐτῷ εἰς τὴν προτέραν ἐπα-

νελθεῖν κατάστασιν ἔξεστιν, οὕτω δὲ μένειν δι᾽ αἰσ- C
χύνης ποιούμενος, φέρων δίδωσι τὰ αἰτούμενα,
καὶ οὕτω παραχωρεῖται τελεσθῆναι τὴν ἀρχιερατικὴν
τελετήν.

Ὁ δὲ Κομνηνὸς κατὰ τῶν Οὔγγρων καὶ τῶν 6
Σκυθῶν, οἳ Πατζινάκαι λέγονται, ἐκστρατεύσας τοῖς
μὲν Οὔγγροις εἰρήνην αἰτησαμένοις ἐσπείσατο. κατὰ
δὲ τῶν Σκυθῶν ὁρμήσαντι οἱ μὲν ἄλλοι ὑπέκυ-
ψαν καὶ εἰρήνευσαν, οὐ γὰρ ὑφ᾽ ἕνα πάντες ἡγε-
μόνα ἐτάττοντο, εἷς δ᾽ αὐτῶν ὁ Σελτὲ θρασυνθεὶς
καὶ μοίρᾳ τινὶ τῆς τῶν Ῥωμαίων δυνάμεως συμβα-
λών, ἥττητο καὶ τὸ πολὺ τῶν οἰκείων ἀποβαλὼν
μετὰ τῶν περιλειφθέντων ἀπέδρα. ἀναζευγνὺς δ᾽
ἐκεῖθεν ὁ βασιλεὺς ἐσκήνωσεν ἐν τῷ Λυβιστῷ, ἤδη D
τοῦ τέλους ὄντος ἐγγὺς τοῦ Σεπτεβρίου μηνός. ὄμ-
βρου δὲ ῥαγδαίου καταρραγέντος καὶ χιόνος πεσού-
σης πρὸ ὥρας πολλῆς, τῆς ἵππου τε τὸ πλέον διέ- WIII215
φθαρτο καὶ στρατιῶται πολλοὶ τῷ ψύχει κεκινδυνεύ-
κασι, καὶ ποταμοὶ δ᾽ ὑπερχειλεῖς γεγονότες καὶ
πελαγίσαντες τὰ ἐπιτήδεια σφῶν ἀθρόον παρέσυραν,
ὡς καὶ τῷ στρατιωτικῷ καὶ τοῖς ὑποζυγίοις αὐτοῦ
τὰ ἀναγκαῖα ἐπιλιπεῖν. εἶτα τοῦ ὕειν τε καὶ τοῦ
νίφειν ἐπὶ μικρὸν παυθέντων τῆς βασιλείου σκηνῆς
προῆλθεν ὁ βασιλεύς, καὶ ὑπὸ δρῦν ἔστη παμμε- PII271
γέθη, ἐκεῖ που ἑστῶσαν· καί τινες τῶν ἐν ὑπεροχαῖς
αὐτὸν περιίστανται. βοῆς δ᾽ ἐν τῷ τόπῳ συμβάσης,
μετέστησαν τῆς δρυὸς ὁ βασιλεύς τε καὶ οἱ περὶ αὐ-
τόν, ἡ δ᾽ αὐτίκα ῥιζόθεν ἐκσπασθεῖσα κατέπεσεν.
ὁ δ᾽ αὐτοκράτωρ ἐπανελθὼν εἰς τὴν μεγαλόπολιν,
καὶ ἀποτιννὺς ὑπὲρ τῆς σωτηρίας ταύτης τὰ χαρι-
στήρια τῷ θεῷ ναὸν ἐντὸς τῶν βασιλείων ἀνήγειρε
τῇ πρωτομάρτυρι Θέκλᾳ· κατὰ τὴν ἡμέραν γάρ, ἐν

ᾗ τελεῖται ἡ μνήμη ταύτης, τὸν ἐκ τῆς δρυὸς ἐξέ-
φυγε κίνδυνον.

7 Ἀλλ᾽ ἤδη ῥητέον καὶ ὅπως τὴν βασιλείαν ἀπέ-
B θετο, εἰ καὶ μὴ συμφρονοῦσιν οἱ συγγεγραφότες
περὶ αὐτοῦ. ὁ μὲν γὰρ πολὺς τὴν γλῶτταν Ψελλὸς
ἐν θήραις ἐκεῖνον λέγει τὸν βασιλέα σχολάζοντα καὶ
συχνάκις τὴν δεξιὰν λογχοφόρον ἐπ᾽ ἄρκτους καὶ
σύας ἐπανατείνοντα βληθῆναι πνεύματι ψυχρῷ τὴν
πλευράν, κἀντεῦθεν φρίκην ἐπισυμβῆναι αὐτῷ καὶ
πυρετὸν ἐκ τοῦ βάθους ἀναφλεγῆναι, εἰς δὲ τὴν
ἐπιοῦσαν νύττεσθαι τὴν πλευρὰν καὶ τὸ ἄσθμα μὴ
ἐρρῶσθαι αὐτῷ, κἀκ τούτων ἀμφισβητήσιμον γενό-
C μενον εἰ βιώσεται ἢ καὶ ἀπεγνωκότα τέλεον τὴν
ζωήν, καὶ τὸν Δούκαν Κωνσταντῖνον τῇ βασιλείᾳ
ἐγκαταστήσαντα, πρὸς τὴν κρείττω μετατάξασθαι
βιοτήν. ὁ δέ γε Θρακήσιος θηρᾶν κἀκεῖνος τὸν βα-
σιλέα ἱστόρησε περὶ τὴν Νεάπολιν, σῦν δ᾽ ἐπιφα-
νῆναί ποθεν τὴν θέαν φρικτόν, καὶ τὸν Κομνηνὸν
ἐνδεδωκότα τῷ ἵππῳ τὸν χαλινὸν διώκειν τὸν σῦν,
τὸν δὲ εἰσδῦναι τὴν θάλασσαν γενέσθαι τε ἀφανῆ,
ἐν τοσούτῳ δ᾽ ὡς ἐξ ἀστραπῆς ἐνσκῆψαι λαμπηδόνα
τῷ βασιλεῖ, καὶ τῇ ταύτης βολῇ διαταραχθέντα τὸν
αὐτοκράτορα τοῦ ἵππου τε ἐκπεσεῖν καὶ κεῖσθαι
παρὰ τῇ γῇ ἀφρὸν τοῦ στόματος ἀποπτύοντα καὶ
D μηδὲν τῶν κατ᾽ αὐτὸν αἰσθανόμενον, ἀκατίῳ δ᾽
ἐκεῖθεν ἐμβιβασθέντα κομισθῆναι εἰς τὰ βασίλεια,
καὶ νοσήσαντά τι βραχύ, εἶτα δὴ καὶ ἀπογνωσθέντα,
κείρασθαί τε τὴν τρίχα καὶ ἀντὶ τῆς πορφύρας
τραχὺ τριβώνιον ἀμφιέσασθαι, τὸν δοῦκα Κωνσταν-
τῖνον βασιλέα προχειρισάμενον, καὶ οὕτω τῇ τοῦ
Στουδίου προσορμίσαι μονῇ, κἀκεῖ τὸ λοιπὸν κατα-
βιῶναι τῆς βιοτῆς ἀναρρωσθέντα ἐκ τοῦ νοσήματος.

ἐβασίλευσε δὲ δύο ἐνιαυτοὺς καὶ μῆνας τρεῖς δραστήριος ὢν καὶ τὸ ἦθος σοβαρὸν ἐνδεικνύμενος, πρὸς πράξεις ὀξύτατος, στρατηγικώτατος τὰ πολέμια, λόγοις μὲν οὐχ ὁμιληκώς, προσέχων δ' αὐτοῖς καὶ τοὺς τούτων τροφίμους ἀποδεχόμενος. αἰτιώμε- PII272 νος δὲ ὅτι τυραννίδι ἐπικεχείρηκεν "ὤκνουν" ἔλεγε "τῷ συνδούλῳ δουλεύειν καὶ τῶν εἰκότων μὴ τυγχάνειν."

Ὁ δὲ πρόεδρος Κωνσταντῖνος ὁ Δούκας τῆς W III 216 8 βασιλείας τυχὼν ἀπραγμόνως, ὡς εἴρηται, πολλοὺς τῶν τῆς συγκλήτου βουλῆς καὶ τοῦ δημώδους πλήθους εἰς μείζονας ἀξιωμάτων βαθμοὺς προεβίβασε. καὶ ὅσους δ' ὁ Κομνηνὸς ἀφείλετο τὰς οἰκείας τιμάς, πολλοὶ δ' ἦσαν καὶ οὗτοι, εἰς ταύτας αὖθις αὐτὸς ἐκείνους ἀποκατέστησεν. ἐπιβουλῆς δὲ κατ' αὐτοῦ συσκευασθείσης, μικροῦ δεῖν ἐγένετο ἂν ὑπο- B βρύχιος. ἦν μὲν γὰρ ἐν τοῖς βασιλείοις τῶν Μαγγάνων, ἐσκέψαντο δὲ οἱ συνομοσάμενοι ὡς εἰ θόρυβος ἐν τῇ τῆς πόλεως γεγονὼς ἀγγελθείη αὐτῷ ἀγορᾷ, αὐτίκα διὰ τῆς θαλάσσης ἐκεῖνος ἀπελεύσεται πρὸς τὸ μέγα Ἀνάκτορον. προῳκονόμητο δ' αὐτοῖς μὴ εἶναι τὴν βασιλικὴν τριήρη ἐκεῖ καὶ τοὺς ἐκείνης οἰακοστρόφους, οὓς πρωτοκαράβους ἡ δημώδης λέγει φωνή. ὁ μὲν οὖν βασιλεὺς ὡς τὸν θόρυβον ἠνωτίσατο, ἀπιέναι δεῖν ἔκρινε τῶν Ἀνακτόρων εὐθύ. ἐπεὶ δ' οὐχ εὕρηται ἡ βασιλικὴ τριήρης ἐκεῖ, εἰς τὸ τυχὸν ἐμβεβήκει ἀκάτιον· ἀπιόντος δὲ ἀνεφάνη καὶ ἡ ναῦς ἡ βασίλειος, καὶ εἰρεσίᾳ πολλῇ σὺν ῥύμῃ σφοδρᾷ τὸ ῥόθιον τέμνουσα πρὸς τὸ C πλοιάριον, ὅπερ ὁ βασιλεὺς ἐμβεβήκει, πρὸς τῶν πηδαλιούχων ἰθύνετο. ἦν δ' αὐτοῖς τὸ βουλόμενον ἐπιβιβάσαι τὴν τριήρη τοῦ πλοιαρίου, ἵν' αὐτὸ κατα-

δύση καὶ σὺν τῷ βασιλεῖ ποιήσηται ὑποβρύχιον. ὡς δ' εἶδον τὴν τῆς τριήρους ἐπιφορὰν οἱ τῷ κρατοῦντι συμπλέοντες, ἀνέκραξάν τε καὶ ἐπέχειν θρασύτερον ἐξεβόησαν καὶ μετατρέπειν τοὺς οἴακας. ταῖς γοῦν ἐκείνων βοαῖς ὥσπερ ἐμβροντηθέντες οἱ ἐπὶ τῶν οἰάκων, θείας δ' ἦν τὸ ξύμπαν προμηθείας, ἀπεδειλίασαν. καὶ οὕτω τὸν κίνδυνον ὁ βασιλεὺς ἐκφυγὼν ὅπως τε καὶ παρ' ὧν ἡ ἐπιβουλὴ συνεσκεύαστο ἔγνω, καὶ τοὺς αἰτίους ἠμύνατο στερήσει μόνῃ τῶν οὐσιῶν. οὗτος ὁ βασιλεὺς ηὔχει μὲν ὡς ἐπὶ D *προγόνοις τοῖς πάλαι τῇ τῶν δουκῶν κεκλημένοις ἐπωνυμίᾳ, τῷ Ἀνδρονίκῳ δηλαδὴ καὶ τῷ Πανθηρίῳ καὶ ἐπὶ τούτοις τῷ Κωνσταντίνῳ. ἀλλὰ τοῦ γένους ἐκείνων πάλαι πανοικὶ ἐξολοθρευθέντος, ὅτε Κωνσταντῖνος τυραννίδι ἐπικεχείρηκεν, ὡς ἔμπροσθεν εἴρηται, τοῦ πορφυρογεννήτου Κωνσταντίνου τοῦ παιδὸς τοῦ ἄνακτος Λέοντος, τοῦ φιλοσόφου φημί, βασιλεύοντος, καὶ ὑπὸ ἐπιτρόπους τελοῦντος ἔτι διὰ τὴν νηπιότητα, καὶ μηδενὸς ἄρρενος περιλειφθέντος, ἐκ θηλείας τινός, ὡς λόγος, οἱ τούτου κατήγοντο πρόγονοι, ὅθεν οὐδὲ δούκας λελόγιστο καθαρός, ἀλλ' ἐπίμικτος καὶ κεκιβδηλευμένην ἔχων τὴν πρὸς* PII273 *τοὺς δούκας συγγένειαν. ἦν δὲ ὁ ἀνὴρ τὰ πρὸς θεὸν εὐσεβής, τὸ ἦθος ἐπιεικής, δικαιοσύνης ἐραστής, τὴν γνώμην δὲ νωθρὸς καὶ ἀμβλύς, χαίρων τοῖς ἐπὶ βίου μαρτυρουμένοις σεμνότητι, ἐκτόπως δ' ἐρασιχρήματος καὶ πόρους ἐπινοῶν ὅπως αὐτῷ γένοιντο πολλοὶ θησαυροί. ὅθεν καὶ πρὸ πάντων εἰς δύο ταῦτα κατέτεινε τὴν σπουδήν, εἴς τε τὴν τῶν δημοσίων φόρων ἐπαύξησιν, διὸ καὶ τὰ ἀρχεῖα τὰ τοὺς φορολόγους λογοπραγοῦντα ὠνητὰ παρεῖχε τοῖς βουλομένοις καὶ τελώναις τὴν συλλογὴν τῶν*

φόρων ἐπὶ συνθήκαις ἐπίστευε, καὶ εἰς ἀκροάσεις B δικῶν. οὐ πάνυ δὲ τῇ ἀκριβείᾳ προσεῖχε δικάζων, ἀλλ' ἐνιαχοῦ καὶ ἐνηυθέντει καὶ τὰς ψήφους ὑπήλλαττε, πρὸς τὰ πρόσωπα τὰς ἀποφάσεις τιθέμενος. W III 217 γλίσχρος δὲ τυγχάνων καὶ φειδωλὸς ἔθετο παρ' ἑαυτῷ μὴ μάχαις πρὸς τὰ ἔθνη συρρήγνυσθαι, ἀλλὰ δώροις καὶ φιλοφροσύναις ἄλλαις αὐτὰ οἰκειοῦσθαι καὶ καταλλάττειν τῇ Ῥωμαίων ἀρχῇ, δύο ταῦτα ἐντεῦθεν μνώμενος ἑαυτῷ, τό τε μὴ πλείω δαπανᾶν ἐν ἐκστρατείαις καὶ τὸ αὐτὸς ἠρεμεῖν καὶ σχολάζειν ὡς ἐπίπαν τῇ τῶν χρημάτων συλλογῇ· διὸ καὶ τῶν στρατιωτικῶν καταλόγων ἠμέλησεν ἢ μᾶλλον πολλοὺς καὶ τοὺς γενναιοτέρους τῶν ἀπογραφῶν ἀπή- C λειψε διὰ τὸ βαρύμισθον· ὥστε συμβαίνειν θρασύνεσθαι μὲν τὸ βαρβαρικόν, συστέλλεσθαι δὲ καὶ ταπεινοῦσθαι τὰ τῶν Ῥωμαίων στρατεύματα καὶ μειοῦσθαι τὴν ἡγεμονίαν τὴν Ῥωμαϊκήν. πολλαὶ γὰρ τότε τῶν ἑῴων χωρῶν αἱ μὲν ἐληίζοντο καὶ εἰς ἀφανισμὸν προυχώρουν, αἱ δὲ καὶ ὑπὸ τοὺς πολεμίους ἐγίνοντο.

Καὶ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οὕτως εἶχον 9 κακῶς, τὰ δ' ἑσπέρια καὶ ταῦτα κακῶς ἔπασχε διὰ στρατιωτῶν καὶ σπάνιν καὶ ἀχρειότητα. τοῦ γὰρ τῶν Οὔζων ἔθνους, Σκύθαι δὲ τοῦτό ἐστι τῶν Πατζινάκων καὶ κατὰ γένους ὑπεροχὴν καὶ κατὰ D πλήθους ὑπερβολὴν παρὰ τοῖς Σκυθικοῖς προτιμώμενον ἔθνεσι, τὸν Ἴστρον παγγενῇ διαβαίνοντος, ἐπειράθησαν μὲν οἱ τῶν παριστρίων πόλεων ἄρχοντες, ἦσαν δ' οὗτοι ὁ μάγιστρος Νικηφόρος ὁ Βοτανειάτης καὶ ὁ μάγιστρος Βασίλειος ὁ Ἀποκάπης, ἀπεῖρξαι αὐτοῖς τὴν διάβασιν, οὐ μέντοι γε ἠδυνήθησαν. ἀλλὰ συμμίξαν σφίσι τὸ βάρβαρον τήν τε συνοῦσαν αὐτοῖς κατηγωνίσατο στρατιὰν καὶ τοὺς

εἰρημένους ἄνδρας καὶ ἄμφω δοριαλώτους ἀπήγαγον, καὶ διαβάντες τὸν Δάνουβιν τὴν περὶ αὐτὸν χώραν ἐπλήρωσαν ἅπασαν. ἦσαν γάρ, ὡς λόγος, ὑπὸ ἑξήκοντα χιλιάδας οἱ αἴρειν ὅπλα δυνάμενοι.
P II 274 ὅθεν ὁρμώμενοι τήν τε Μακεδονίαν ἐληΐζοντο καὶ μέχρις Ἑλλάδος προήεσαν. ταῦτα ἀθυμίαν ἐνεποίει τῷ βασιλεῖ, συλλέξαι δὲ δυνάμεις ὤκνει καὶ ἀνεβάλλετο, ἵνα μὴ πρόηται ὀβολόν. ἐκεῖνος δ' ἔλεγεν ὅτι ἀκαταγώνιστον τὸ ἔθνος ἐστί. πρέσβεις δὲ πρὸς τοὺς αὐτῶν ἡγεμονεύοντας ἐσταλκὼς μετὰ δώρων ἐπειρᾶτο τούτοις πεῖσαι τὸ βάρβαρον σπείσασθαι. πάντων δὲ ἀναφανδὸν λοιδορουμένων τῷ βασιλεῖ ὡς διὰ φειδωλίαν μὴ κατὰ τῶν βαρβάρων ἐπεξιόντι, τῆς μὲν πόλεως ἐξεδήμησε, περὶ δὲ Χοιροβάκχους ἐσκήνωσεν, οὐ πλείους, ὡς λέγεται, τῶν ἑκατὸν πεντήκοντα μεθ' ἑαυτοῦ ἐπαγόμενος, φροντίζων δὲ περὶ στρατεύματος συλλογῆς. ἐν τούτοις δ' ἠγγέλη
B αὐτῷ ἡ τοῦ ἔθνους καταστροφή. ἐνσκήψαντος γὰρ ἐκείνῳ λοιμοῦ, καὶ κακωθέντι σφοδρῶς ἐξ αὐτοῦ οἵ τε Πατζινάκαι καὶ οἱ παρακείμενοι Βούλγαροι ἠσθενηκότι ἐπέθεντο, καὶ ἄρδην αὐτὸ διεφθάρκασι, μόλις τῶν ἡγεμόνων μετ' ὀλίγων δυνηθέντων διαβῆναι τὸν Ἴστρον. ἦν δὲ τὸ σύμπαν τοῦ στρατηγήματος τῆς θείας δυνάμεως. ἀπογνοὺς γὰρ ὁ βασιλεὺς πάντοθεν πρὸς τὸ θεῖον κατέφυγε, δάκρυσι καὶ συντριβῇ καρδίας τούτου δεόμενος καὶ τὴν ἐκεῖθεν ἐκκαλούμενος ἀρωγήν. ταῦτα δ' ἐν τῷ ἕκτῳ ἔτει ἐπράχθη τῆς βασιλείας τούτου τοῦ αὐτοκράτορος. πρὸ δὲ τούτου σεισμὸς ἐγένετο μέγας κατὰ τὴν εἰ-
C κοστὴν τρίτην τοῦ Σεπτεβρίου μηνός, ὑφ' οὗ καὶ ναοὶ καὶ οἰκίαι πολλαχοῦ ἠρειπώθησαν. ὅτε καὶ τὸ κατὰ Κύζικον Ἑλληνικὸν κατέπεσε τέμενος, ἔργον

κάλλιστόν τε καὶ θαύματος ἄξιον, καὶ ὁ ἐν Νικαίᾳ τῶν ἁγίων πατέρων μέγιστός τε καὶ περιώνυμος κατεσείσθη ναός. κατὰ δὲ τὸν Μάϊον μῆνα τῆς τετάρτης ἰνδικτιῶνος κομήτης ὤπτο ἀστὴρ κατόπιν τοῦ ἡλίου πρὸς δύσιν ἰόντος. ἦν δὲ πρότερον μὲν κατὰ σελήνην πλήρη τὸ μέγεθος, εἶτα κόμην ὥσπερ ἐκφύων ἐμειοῦτο, καὶ καθ' ὅσον τὰ τῆς κόμης ηὐξάνετο, ἠλαττονοῦτο τὸ μέγεθος. πρὸς δὲ τὴν ἀνατο- W III 218 *λὴν τὰς ἀκτῖνας ἀπέτεινεν, ἐφ' ἡμέρας φαινόμενος* D *τεσσαράκοντα. τοῦ πατριάρχου δὲ Κωνσταντίνου τοῦ Λειχούδη ἐπ' ἔτη τέσσαρα καὶ μῆνας ἓξ τὴν ἐκκλησίαν ἰθύναντος καὶ μεταθεμένου πρὸς ἑτέραν ζωήν, Ἰωάννης ὁ Ξιφιλῖνος εἰς τὸν ἀρχιερατικὸν τῆς Κωνσταντίνου θρόνον ἀνάγεται, ὃς ἐκ Τραπεζοῦντος μὲν ὥρμητο, πεπαίδευτο δὲ παιδείαν λόγων παντοδαπῶν καὶ τοῖς ἐξόχοις τῆς συγκλήτου συνηρίθμητο. πάντα δὲ ἑκουσίως λιπών, τοῖς κατὰ τὸν Ὄλυμπον προσφοιτήσας σεμνείοις κείρεταί τε τὴν κόμην καὶ τὸν μοναχικὸν ὑπέρχεται βίον, ἔνθα καὶ συχνὸν διανύσας χρόνον ἄξιος ἐκρίθη τοῦ θρόνου τοῦ πατριαρχικοῦ. ὁ δέ γε βασιλεὺς νόσῳ ληφθεὶς καὶ ταύτῃ κάμνων ἐπὶ μακρὸν καὶ ταλαιπωρούμενος καὶ ἤδη κατεργασθείς, καὶ ἀπαραίτητον αὐτῷ γνοὺς* P II 275 *ἐπιέναι τὴν τελευτήν, τὴν μὲν βασιλείαν τοῖς υἱοῖς αὐτοῦ καταλέλοιπε τρισὶν οὖσιν, οὓς αὐτῷ ἡ σύνοικος Εὐδοκία ἐγείνατο, τοὺς μὲν δύο τὸν Μιχαὴλ τε καὶ τὸν Ἀνδρόνικον ἰδιωτεύοντι ἔτι, τὸν δὲ Κωνσταντῖνον βασιλεύσαντι, καὶ αὐτὴ Αὐγούστα ἀναρρηθεῖσα. ὅθεν οὗτος καὶ πορφυρογεννήτης ἦν, ὃν αὐτίκα καὶ πρὸ τῶν ἄλλων τοῖς βασιλικοῖς παρασήμοις ἐκόσμησεν, εἶτα καὶ τοὺς λοιποὺς ἀνηγόρευσε. τούτους μὲν οὖν ἐπέστησε τῇ ἀρχῇ, αὐτοῖς δὲ τὴν μητέρα*

βασιλίδα τε καὶ τροφὸν καὶ κυρίαν, τὸ ξύμπαν εἰπεῖν, καταλέλοιπε, ἐπ' αὐτῇ τὴν τῆς βασιλείας μετα-
B χείρισιν ποιησάμενος, δοκούσῃ αὐτῷ σώφρονί τε καὶ πρὸς παίδων ἀγωγὴν δεξιᾷ καὶ πεφυκυίᾳ πρὸς πραγμάτων διοίκησιν, πρότερον ὅρκον ἐξ αὐτῆς ἀπαιτήσας ἔγγραφον ὡς οὐ πρὸς γάμον ἐλεύσεται δεύτερον. τὸ δ' ἔγγραφον παρ' ἐκείνης βεβαιωθὲν τῷ πατριάρχῃ ἐδόθη φυλαχθησόμενον· ἀλλὰ καὶ οἱ τῆς συγκλήτου βουλῆς ἅπαντες ἐγγράφως κατέθεντο μὴ ἄν ποτε βασιλέα ἕτερον ἀνειπεῖν, εἰ μὴ τοὺς παῖδας αὐτοῦ. ἐπὶ τούτοις ὁ μὲν ἐξέλιπε, βασιλεύσας ἑπτὰ πρὸς τῷ ἡμίσει ἐνιαυτούς, ζήσας δ' ἑξήκοντα ἢ καί τι τούτων ἐπέκεινα. τὸν μέντοι ἀδελφὸν αὐ-
C τοῦ Καίσαρα βασιλεύσας ἐτίμησε καὶ σύμβουλον εἶχε καὶ τῶν μυστηρίων συνίστορα. λόγοις δὲ οὐχ ὡμιληκὼς ἠγάπα τούτους καὶ τοὺς λογίους ἐσέβετο, καὶ ἔλεγε βούλεσθαι μᾶλλον ἐκ λόγων ἢ τῆς βασιλείας γνωρίζεσθαι. τοὺς δ' ἐπιβούλους αὐτοῦ μὴ ἄλλως κακῶς διαθήσειν ἔφασκεν ἢ μόνον ὡς ὠνητοῖς κεχρῆσθαι αὐτοῖς, ὡς τῶν νόμων αὐτῶν τὴν ἐλευθερίαν ἀφελομένων.

10 Κατὰ γοῦν τὰς τοῦ τελευτήσαντος βασιλέως διαταγὰς ἥ τε βασιλὶς Εὐδοκία καὶ οἱ παῖδες ἐκείνου τῆς βασιλείας ἦσαν διάδοχοι καὶ ἡ βασίλισσα
D τὴν τῶν κοινῶν μετακεχείριστο πρόνοιαν τῶν υἱέων κατάρχουσα καὶ ἐπὶ βήματος σὺν ἐκείνοις προυκάθητο, μεσεύουσα μὲν αὐτή, ἐκείνους δὲ παρακαθίζουσα ἑκατέρωθεν, οὕτως ἐν ἀρχαιρεσίαις, οὕτως ἐν ζητήσεσι πολιτικῶν ὑποθέσεων, οὕτως ἐχρημάτιζον πρέσβεσιν, οὕτως ἐν συνήθεσι προόδοις προήεσαν. οἱ δὲ τὴν ἑῴαν ληιζόμενοι βάρβαροι οὐκ ἐπαύοντο τὰς ὑπὸ Ῥωμαίους κατατρέχοντες χώρας καὶ ταύτας

ὁσημέραι σινόμενοι. οἱ γὰρ στρατιῶται, ὡς ἤδη μοι
εἴρηται, διὰ τὴν τοῦ βασιλέως γλισχρότητα ὠλιγώ-
θησάν τε καὶ ἐκακώθησαν. καὶ εἴ τινες δ' ἦσαν ἔτι W III 219
στρατείας ἐχόμενοι, κἀκεῖνοι ἀντεπεξιέναι τοῖς πολε-
μίοις ἦσαν ἀπρόθυμοι, τῶν συνήθων ὀψωνίων στε-
ρούμενοι. ὅθεν οἱ βάρβαροι ποτὲ μὲν τῇ Μεσοπο-
ταμίᾳ ἐφήδρευον, ποτὲ δὲ τὰ περὶ τὴν Μελιτηνὴν P II 276
ἐπόρθουν, ποτὲ δὲ τὴν Κιλικίαν ἐσίνοντο, καὶ ἄλλοτε
τοῖς Καππαδόκαις ἐπῄεσαν, καὶ τοῖς κατὰ Κοίλην
Συρίαν ἐνίοτε. ταῦτα τῇ βασιλίσσῃ καταγγελλόμενα
θόρυβον ἐνεποίει, καὶ βασιλέως πολλῶν λεγόντων
δεῖσθαι τὰ πράγματα, δείσασα ἐκείνη μὴ τὸ κοινὸν
βασιλέα τινὰ προστήσηται ἑαυτοῦ, καὶ οὕτως αὐτὴ
καὶ οἱ παῖδες τῆς βασιλείας ἐκπέσωσιν, ἔκρινεν αὐτή
τινα ἐπαγαγεῖν τῇ ἀρχῇ, ἵνα καὶ ἑαυτῇ καὶ τοῖς τέ-
κνοις διατηρήσῃ τὸ κράτος καὶ μείνῃ αὐτοῖς ἀνα-
φαίρετον. οὐ γὰρ δι' ἀκολασίαν αὐτήν φασιν οὐδ'
ἡττηθεῖσαν ἡδονῆς ἑαυτῇ προσαρμόσαι τὸν Διογένη,
ἀλλ' ὡς ἄνδρα δραστήριον καὶ τὰ πολέμια δόκιμον B
καὶ τὴν ἰσχὺν ἀπαράμιλλον, ἐπιστῆσαι αὐτὸν τῇ
ἀρχῇ, ἵν' ἡ βαρβαρικὴ φορὰ ἐπισχεθείη ποσῶς, αὐ-
τοῦ τούτοις ἀντερείσαντος τοὺς βραχίονας. ἦν δ' ὁ
ἀνὴρ οὗτος καὶ τῶν ἐκ γένους λαμπροῦ καὶ τῶν
διαβοήτων ἐπὶ τοῖς ἀνδραγαθήμασιν. οὗ ὁ πατὴρ
ἐπ' ἀδελφόπαιδι τοῦ βασιλεύσαντος πάλαι τοῦ κατὰ
τοὺς Ἀργυροὺς Ῥωμανοῦ κηδεστὴς γεγονὼς καὶ ἐπὶ
τυραννίδι ἁλούς, ἑαυτὸν κατεκρήμνισε. τετίμητο δὲ
τῷ τῶν βεσταρχῶν ἀξιώματι. δοὺξ γὰρ παρὰ τοῦ
Δούκα τῆς Σαρδικῆς γεγονὼς καὶ Πατζινάκοις ἐκεῖ
που περιτυχὼν καὶ τούτοις συμβαλών, πολλούς τε C
διώλεσε καὶ οὐ μείους ἐζώγρησεν, ὧν τοὺς μὲν ἑαλω-
κότας ζωούς, τῶν δ' ἐσφαγμένων τὰς κεφαλὰς στεί-

λας τῷ βασιλεῖ βεστάρχης τετίμητο, γράψαντος τοῦ κρατοῦντος αὐτῷ ὡς "οὐ δῶρον, ὦ Διόγενες, τὸ ἀξίωμα, τοῦ δ' ἀνδραγαθήματος ἀμοιβή." διατρίβων οὖν ἐκεῖ τυραννῆσαι παρεσκευάζετο, ἐπεὶ ἔγνω τεθνάναι τὸν αὐτοκράτορα. ὡς δ' ἐμηνύθη τῇ βασιλίσσῃ τὸ βούλευμα τοῦ ἀνδρός, στείλασα συνέσχεν αὐτόν, καὶ ἤχθη δεσμώτης εἰς τὸ Βυζάντιον, καὶ ἐλεγχθεὶς ὡς ἐπίβουλος, κατεκρίθη, καὶ τέως ὁρί-
D οις κατεκλείσθη περιγραπτοῖς. εἶτ' αὖθις ὡς κατάκριτος εἰσῆκτο πρὸς βῆμα δὴ τὸ βασίλειον, ἵν' ἡ ψῆφος κυρωθείη ἡ κατ' αὐτοῦ. ἔλεος οὖν τοῦ ἀνδρὸς εἰσῄει τοὺς παρεστῶτας καὶ πᾶσιν ἐπαθαίνετο ἡ ψυχή. ἦν γὰρ οὐ μόνον τὴν ἰσχὺν ἀπαράμιλλος, ἀλλὰ καὶ ἰδέσθαι καλός. συνέπαθεν οὖν μετὰ τῶν ἄλλων καὶ ἡ βασιλὶς ἐπ' αὐτῷ καὶ οἶκτος τοῦ ἀνδρὸς εἰσῄει καὶ αὐτήν, εἰ δὲ καὶ ἔρως, οὐκ ἔχω λέγειν, καὶ ἀντὶ τῆς ψήφου τῆς ὁριζούσης ἐκείνῳ τὴν κόλασιν τῆς κολάσεως ἐλευθεροῦν αὐτὸν ἐξήνεκτο ψήφισμα. καὶ ὁ μὲν λυθεὶς τοῦ ἐγκλήμα-
P II 277 τος ἐξῄει πρὸς τὴν Καππαδοκῶν, αὕτη γὰρ ἐκείνῳ πατρίς, ἡ δὲ βασιλὶς μεταπεμψαμένη αὐτὸν μάγιστρον καὶ στρατηλάτην προεχειρίσατο ἤδη καὶ βασιλέα τοῦτον ἀνειπεῖν, ὡς ἄνδρα κρίνασα παρ' ἑαυτῇ γενναιότατον. ἀνεκόπτετο μέντοι διὰ τὰ ὅρκια καὶ τὸ ἔγγραφον, ὃ παρὰ τοῦ πατριάρχου τετήρητο. καὶ ἦν αὐτῇ μέλημα ὅπως τοῦτο ἀφέλοιτο. σκέπτεται τοίνυν περὶ τούτου βουλὴν πονηράν τε καὶ βαθυγνώμονα, καὶ ταύτην ἑνί τῳ τῶν περὶ αὐτὴν ἐκτομιῶν κοινοῦται καὶ οἷον προαγωγῷ τῷ θεράποντι κέχρηται, ὑποθεμένη ὁπόσα ἂν καὶ οἷα τῷ πατριάρχῃ προσομιλήσει. ὁ δὲ τῷ ἀρχιερεῖ προσελθὼν "ἴσθι" φησίν "ὦ δέσποτα, ὡς ἐρῴη τοῦ ἀνεψιοῦ σου ἡ βα-

σιλίς,” ἦν γὰρ ἀνεψιὸς αὐτῷ Βάρδας, νέος τε καὶ W III 220 σφριγῶν καὶ ἀφροδισίων ἡττώμενος, καὶ προσεπῆγεν B ὡς “εἰ σὺ ἐπινεύσειας τὸ τοῦ ὅρκου χειρόγραφον ἀποδοῦναι τῇ βασιλίσσῃ καὶ πεῖσαι μή τινα κίνδυνον ἐκ τούτου ἐπηρτῆσθαι αὐτῇ, αὐτίκα συνοικίσει μὲν ἑαυτῇ τὸν σὸν ἀδελφόπαιδα, καί οἱ τὸ κράτος ἕψεται τὸ βασίλειον. ὡς δὲ τούτοις ὁ πατριάρχης παραβουκοληθεὶς ὅλον ἐνέδωκεν ἑαυτόν, καὶ τῶν τῆς συγκλήτου βουλῆς ἀπῄτητο θέσθαι ἀπόπειραν. ὁ δὲ τούτων ἕκαστον προσκαλούμενος τὰ πράγματα ζητεῖν ἔλεγε βασιλέα τὸν τούτων ἀντιληψόμενον. εἰ γὰρ ἔτι γυναικὶ μόνῃ καὶ παιδαρίοις ταῦτα διοικηθήσεται, οἰχήσεται πάντως οὐκ εἰς μακρὰν τῇ τῶν C Ῥωμαίων ἡγεμονίᾳ οὐ τὰ πόρρω μόνον καὶ τοῖς ἐχθροῖς ἀγχιτέρμονα, ἀλλὰ καὶ αὐτὰ τὰ ἀγχίθυρα. καὶ ἐπὶ τούτοις τῶν ὅρκων καὶ τοῦ ἐγγράφου πολλὴν ἐποιεῖτο καταδρομὴν καὶ τὸν τεθνεῶτα βασιλέα ἐκακηγόρει, ὡς μηδὲ τοῦ κοινῇ συμφέροντος θέμενον πρόνοιαν, ἀλλ’ ἐκ ζηλοτυπίας ἐκθέσμους ὅρκους ἀπῃτηκότα καὶ παράνομα ἔγγραφα. τούτοις τοὺς πλείους συντιθεμένους ἐσχηκὼς ἐκεῖνος, εἰ δέ τινες καὶ ἀντέλεγον, τοὺς μὲν δώροις, τοὺς δ’ ὑποσχέσεσι συμψήφους πείσας αὐτῷ γενέσθαι, στέλλει τῇ βασιλίσσῃ τὸ τῶν ὅρκων χειρόγραφον. ἡ δὲ τούτου λαβομένη εἰς ἔργον τὸ βούλευμα ἀπετέλεσε, καὶ ἄγεται μὲν τὸν Διογένη καὶ τούτῳ συζεύγνυται, κοινοῦται δὲ D τὴν πρᾶξιν τῷ πρεσβυτέρῳ τε τῶν υἱῶν καὶ τῷ Καίσαρι μετακληθέντι πρὸς τὰ βασίλεια καὶ μετασχόντι τῶν ὑμεναίων καὶ τῶν ἐπιγαμίων ἀπογευσαμένῳ κρατήρων, καὶ ὁ Διογένης βασιλεὺς ἀνηγόρευτο τῆς βασιλίδος Εὐδοκίας μετὰ τῶν υἱέων ἀρξάσης ἐπὶ μῆνας ἑπτὰ καὶ ἡμέρας τινάς.

11 Ῥωμανὸς δὲ ὁ Διογένης τῆς τῶν Ῥωμαίων ἀρχῆς γενόμενος ἐγκρατὴς οὐ κατὰ τὰς ἐλπίδας τῆς βασιλευσάσης αὐτὸν Εὐδοκίας ἀποβεβήκει. ἡ μὲν PII278 γὰρ ἐκ κατακρίτου καὶ ἤδη τὸν δήμιον ἐφεστηκότα ὁρῶντος αὐτῷ, οὐ μόνον κινδύνου προφανοῦς ἐξαρπάσασα, ἀλλὰ καὶ τηλικαύτης ἀρχῆς ἀξιώσασα ᾤετο ἐν πᾶσιν ἕχειν τοῦτον ὑπείκοντα καὶ αὐτὴ κατάρχειν τοῦ βασιλεύοντος. ὁ δὲ καὶ ἄλλως ὢν ἀλαζονικὸς καὶ ἀδούλωτος, ἐπ' ὀλίγον μὲν βιασάμενος τὸ ἦθος ὑπέπιπτε ταῖς τῆς Αὐγούστης θελήσεσι καὶ ὑπεκρίνετο τὴν ὑπόπτωσιν, εἶτα μὴ στέγων τὴν βίαν ταχὺ πρὸς τὸν οἰκεῖον τρόπον ἐπανελήλυθε καὶ τὴν ὑπακοὴν ἐδυσχέραινε καὶ ἤθελεν αὐτὸς τὸ κράτος καθαρῶς ἀναδήσασθαι. κακῶς δὲ τῶν ἑῴων διακειμένων, καὶ τῶν μὲν ἤδη ἀπεγνωσμένων, τῶν B δὲ πρὸς αὐτὸ χωρούντων, ἐκστρατείαν κηρύττει, καὶ πήγνυσι τὴν σκηνὴν τὴν βασίλειον κατὰ τὸ τῆς ἑῴας τμῆμα τὸ τῇ Βυζαντίδι ἀντίπορθμον, δύο ταῦτα πραγματευόμενος, ἀποτειχίσαι τε τοῖς βαρβάροις τὴν ἔφοδον καὶ σωτηρίαν ὡς ἐνὸν πρυτανεῦσαι τῷ ὑπηκόῳ καὶ ἑαυτῷ γαυρίαμά τι περιποιήσασθαι καὶ μὴ πάντα ὑπείκειν τῇ βασιλίδι, ἀλλ' αὐτὸς αὐταρχεῖν. ἄρας οὖν ἐκ τῶν βασιλείων πανοπλίτης ἐπεραιώθη πρὸς τὴν ἑῴαν, οὔτ' ἀξιόμαχον ἐπαγόμενες στράτευμα, καὶ ὃ ἐπήγετο, ἀπορίᾳ καὶ ὅπλων καὶ WIII221 ἵππων καὶ τῶν ἀναγκαίων αὐτῷ ἐτετρύχωτο. ἐκ C μακροῦ γὰρ κατολιγωρηθεῖσαν τὴν στρατιάν, ὥσπερ εἴρηται, ἀθρόον ἀνακτηθῆναι οὐκ ἦν εὐχερές. ἀθροισθέντων οὖν τῶν οὕτως ἐχόντων στρατιωτῶν κατὰ τὸ θέμα τῶν Ἀνατολικῶν, ὃ τῆς Φρυγίας ἐστιν, οἱ ἐναντίοι μαθόντες τὸν βασιλέα ἐπιέναι σφίσιν αὐτόν, καὶ τοιοῦτον εἶναι ὡς ἑτοίμως προκινδυνεύειν

τῶν ὑπηκόων, ἀρήιόν τε καὶ τὴν ὁρμὴν ἀνυπόστατον, τὰ γὰρ τῆς στρατιᾶς ὅπως διέκειτο οὐκ ἠκρίβουν οἱ βάρβαροι, εὐλαβῶς εἶχον καὶ ὤκνουν κατὰ συστάδην μαχέσασθαι. ἔνθεν τοι ὁ μὲν Σουλτὰν εἰς τοὐπίσω πεποίητο τὴν ὁρμήν, δύο δὲ μοίρας τῆς βαρβαρικῆς διελὼν στρατιᾶς τὴν μὲν εἰς τὴν νοτιω- D
τέραν Ἀσίαν τὴν ἄνω, τὴν δὲ πρὸς τὴν βορειοτέραν ὁρμῆσαι τοῖς προεστῶσιν αὐτῶν ἐνετείλατο. οἱ δὲ ἐπιόντες τὰ προστυχόντα τε ληιζόμενοι τὴν Νεοκαισάρειαν αἰφνίδιον ἐπεισπεσόντες αὐτῇ ἐξεπόρθησαν καὶ λαφύρων ἐμπλησθέντες ἐκεῖθεν ἀπῄεσαν. τοῦτο τῷ βασιλεῖ ἀγγελθὲν ἀθυμίαν ἐνέσταξε, καὶ τοὺς εὐζωνοτέρους ἀναλαβὼν τοῦ στρατεύματος ἀπῄει διὰ δυσβάτων ὁδῶν καὶ ὀρῶν, φθάσαι τοὺς ἐχθροὺς ἐπειγόμενος. ὡς οὖν αὐτοῖς ἐπῆλθεν ἀδόκητος, εἰς πτοίαν ἐνέβαλεν ἅπαντας, καὶ πρὸς δρασμὸν ἀπεῖδον εὐθύς, αὐτοῦ που καταλιπόντες καὶ τὴν λείαν καὶ τὴν ἀποσκευήν. φθορὰ μὲν οὖν τῶν βαρβάρων οὐ πάνυ τι γέγονε, τῶν περὶ τὸν βασιλέα P II 279
κεκοπιακότων ἐκ τῆς ὁδοιπορίας καὶ μὴ οἵων τε ὄντων διώκειν ἐπὶ πολύ. οἱ μέντοι ληφθέντες αἰχμάλωτοι καὶ εἴ τι ἕτερον ἐπλήρου τὴν λείαν, ξύμπαντα ἠλευθέρωτο. ἐκεῖθεν τῆς πρὸς Συρίαν ἥψατο ἀπαγούσης, καὶ φάλαγγα μὲν εἰς Μελιτηνὴν ἐξαπέστειλεν, αὐτὸς δὲ εἰς τὸ Χάλεπ ὁρμήσας πολλὴν ἀπήγαγε λείαν ἀνθρώπων καὶ ζῴων ἄλλων. κἀκεῖθεν εἰς Ἱεράπολιν τῆς Συρίας ἐγένετο. καὶ πολιορκεῖν ἐπιχειρήσας αὐτὴν ὁμολογίᾳ τὴν πόλιν παρέλαβεν. εἶτα τῶν βαρβάρων ἐπιθεμένων μέρει τῆς Ῥωμαϊκῆς στρατιᾶς καὶ ἡττησάντων αὐτό, οὐδεὶς τῶν ἄλλων εἰς ἐπικουρίαν τῶν ἡττωμένων γενέσθαι προεθυμήθη. ὁ δέ γε βασιλεὺς ἔνδον τῆς ἑαλωκυίας πό-

B λεως ὢν καὶ τὸ συμβὰν ἐγνωκώς, ταχύτατα μετὰ τῶν περὶ αὐτὸν εἰς ἀρωγὴν τῶν ἡττημένων ἐξώρμησε. μαθὼν δὲ ὁ τοῦ Χάλεπ ἡγεμονεύων τὴν τῶν Ῥωμαίων ἧτταν προσέθετο καὶ αὐτὸς τοῖς ἄλλοις βαρβάροις μετὰ τῆς οἰκείας πάσης δυνάμεως, αὐτίκα τὸν βασιλέα προσδοκῶν ἀπαγαγεῖν δοριάλωτον. καὶ τὸ Ῥωμαϊκὸν κύκλῳ στρατόπεδον περιέλαβον. ὁ μέντοι βασιλεὺς ἀκήρυκτον αὐτοῖς τὴν μάχην ἐπενεγκών, ἐξῄει γὰρ τοῦ χάρακος καὶ τὸ στράτευμα συνεξήγαγε, μήτε σαλπίγγων γενομένης ἠχῆς μήθ' ἑτέρου διαδήλου συνθήματος, ἐτρέψατο τοὺς ἐναντίους καὶ εἰς φυγὴν ἠνάγκασεν ἀπιδεῖν. εἰ οὖν ἐπὶ πολὺ τὸ Ῥωμαϊκὸν ἐπεδίωξε στράτευμα, νίκην ἂν C ἤρατο μεγίστην καὶ περιβόητον. οἱ γὰρ ἵπποι τοῖς Ἄραψι ταχεῖς μέν εἰσι τὴν πρώτην ὁρμὴν καὶ τῶν λοιπῶν ποδωκέστατοι, οὐκ ἐπὶ πολὺ δὲ τὸν δρόμον ἐκτείνουσιν, ἀλλ' ἀποκναίουσι τάχιστα. ἀνακληθέντες δὲ καὶ τῆς διώξεως ἀποσχόμενοι τοὺς ἐναντίους μὲν περιέσωσαν, ἑαυτοὺς δὲ μεγάλου κατορθώματος καὶ εὐκλείας ἐστέρησαν. ὅμως τῷ βασιλεῖ, ὅτι ὅλως οἱ Ῥωμαῖοι ἀντεπιέναι τοῖς ἐχθροῖς ἀπεθάρρησαν καὶ τὸ πολὺ τῆς πρῴην δειλίας ἀπέθεντο, ἀρκοῦν ἐδόκει εὐτύχημα. ἐνῴκιστο δὲ τῆς Ἱεραπόλεως ἡ ἀκρόπολις, τοῦ βασιλέως προστάξαντος. ἑτέροις δὲ πολίσμασιν ἐπελθών, καὶ τὰ μὲν διὰ τὸ ἀνάλωτον παρελθών, τὰ δὲ κατασχών, εἰς πόλιν τῆς Κιλικίας τὴν Ἀλέξανδρον λεγομένην κατήντησε. κἀ-
D κεῖθεν ἀπιόντι λαφυραγωγηθῆναι τὸ Ἀμόριον διαγγέλλεται καὶ κτανθῆναι πολλούς. ἐδυσφόρησε μὲν οὖν πρὸς ταῦτα ὁ βασιλεύς, μὴ δυνάμενος δ' ἐπαμῦναι τοῖς πεπονθόσι, τὰ περὶ τὸν οἰκεῖον στρατὸν
W III 222 οἰκονομησάμενος, ἵνα τὴν τοῦ χειμῶνος ὥραν ἀνευ-

δεῶς τῶν ἀναγκαίων παρέλθωσιν, αὐτὸς ἐπὶ τὴν βασιλίδα τῶν πόλεων ἐπανῆλθεν, ἀλαζονικώτερον διακείμενος, ὡς τάχα κατωρθωκὼς πλείω, οὐ μόνον πρὸς τοὺς ἄλλους, ἀλλὰ καὶ πρὸς αὐτὴν τὴν βασίλισσαν. ἡ δὲ πρὸς τοὐναντίον αὐτῇ τὰς ἐλπίδας τραπείσας κατανοοῦσα ἐδυσχέραινε καὶ τὴν καρδίαν εἶχεν οἰδαίνουσαν, τὰς ἐπιπλήξεις μὴ στέγουσα.

12 *Ἄρτι δ' ἀναλάμπειν ἠργμένου τοῦ ἔαρος αὖθις ὁ βασιλεὺς ἑτέρας ἐκστρατείας ἐμέμνητο. ἐκδημήσας τοίνυν τῆς Βυζαντίδος καὶ γενόμενος εἰς Καισάρειαν, ἔμαθε Τούρκων πλῆθος πολὺ κατατρέχειν τὴν χώ-* PII280 *ραν, καὶ τούτοις πῇ μὲν μέρος τῆς στρατιᾶς ἐπαφιείς, πῇ δὲ καὶ αὐτὸς συμβαλών, ἐτρέψατο τοὺς ἐχθρούς, καὶ τοὺς ζωγρηθέντας τῷ ξίφει πάντας ὑπαγαγὼν πρὸς τὸν Εὐφράτην ἐτίθει τὸ ὅρμημα. τὸν μέντοι Φιλάρετον στρατηγὸν προβαλόμενος, ἦν δὲ τοῦ Βραχαμίων γένους ὁ ἀνήρ, δοκῶν μὲν πρὸς στρατιωτικὴν ἐμπειρίαν ἱκανῶς ἔχειν, βίου δὲ τυγχάνων οὐκ ἀγαθοῦ, ἀλλ' ἀντιρρόπου πάνυ πρὸς τὴν κλῆσιν αὐτοῦ, τούτῳ τὸ ἥμισυ παραδίδωσι τοῦ στρατεύματος, αὐτὸς δ' ἀπένευσε πρὸς τὰ βορειότερα. τοῖς δὲ μετὰ τοῦ Φιλαρέτου ἐπιφανέντες οἱ ἐναντίοι πτοίαν ἐνέβαλον, καὶ τοὺς τόπους καταλιποῦσιν, οὓς φυλάττειν ὡρίσθησαν, καὶ εἰς φυγὴν τραπεῖσιν* B *εἵποντο οἱ πολέμιοι, καὶ εἷλον ἅπασαν τὴν ἐκείνων ἀποσκευήν. τοῦτο ἐλθὸν εἰς γνῶσιν τῷ βασιλεῖ σκυθρωπάσαι πεποίηκεν, οἱ δ' ἐναντίοι κατὰ τῆς Καππαδοκίας τὸ ὅρμημα θέμενοι αὐτήν τε ἐπόρθουν καὶ πρὸς τὸ Ἰκόνιον ἵεντο, ἀνθρώπων τε πολυπλήθειαν ἔχον καὶ πᾶσι τοῖς δοκοῦσιν ἀγαθοῖς εὐθηνούμενον. ὁ δὲ βασιλεὺς εἰς Σεβάστειαν ἀφικόμενος, καὶ μαθὼν τὴν κατὰ τοῦ Ἰκονίου τῶν Τούρκων*

ἐπέλασιν συνέτεινε καὶ αὐτὸς τὴν πορείαν ὀπίσω αὐτῶν. γνοὺς δὲ ἤδη ἐκπεπορθηκότας αὐτοὺς τὸ Ἰκόνιον καὶ τὴν αὐτοῦ εὐλαβουμένους κατάληψιν ἀπᾶραι, τῷ τῆς μεγάλης Ἀντιοχείας δουκὶ τῷ Χατατουρίῳ μοῖραν ἐκπέμψας τινὰ τῶν Ῥωμαϊκῶν δυνά- C μεων ἐνετείλατο εἰς Μοψουεστίαν ἀφίξεσθαι καὶ τοῖς Τούρκοις ἐκεῖ διιοῦσι συμμίξαι. ἀλλ' οἱ πολέμιοι εἰς τὴν τῆς Ταρσοῦ πεδιάδα γενόμενοι τοῖς Ἀρμενίοις ἐνέπεσον, καὶ πᾶσαν σχεδὸν τὴν λείαν ἀπέβαλον. ἐνωτισθέντες δὲ καὶ τὴν ἐν Μοψουεστίᾳ τῶν Ῥωμαίων ἐφέδρευσιν, ᾤχοντο διὰ τῆς νυκτὸς καὶ διέφυγον. ὃ τῷ βασιλεῖ λύπης ὑπόθεσις γέγονε, καὶ ἀπογνοὺς ὡρμήκει πρὸς τὸ Βυζάντιον· ἤδη γὰρ ἐπέστη καὶ τὸ μετόπωρον. ὅτε καὶ ὁ μέγας τῶν Βλαχερνῶν ἐπυρπολήθη ναός, ἔτους ἐνισταμένου ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ ἑβδομηκοστοῦ ὀγδόου. ἐφισταμένου δέ γε τοῦ ἔαρος Μανουὴλ πρωτοπρόεδρον τὸν Κομνηνόν, τὸν τοῦ βεβασιλευκότος ἤδη D Ἰσαακίου ἀδελφιδοῦν, κουροπαλάτην τιμήσας ἐφίστησι τοῖς στρατεύμασιν. ὁ δὲ νέος μὲν ἐτύγχανεν ὤν, ἦρχε δὲ κατὰ γέροντας, καὶ βαρβάρων ἐντυχὼν στρατιᾷ προσμίγνυσι καὶ νικᾷ. τοῦτο λέγεται τῷ Διογένει φθόνον κινῆσαι, καὶ διὰ τοῦτο τῆς περὶ ἐκεῖνον στρατιᾶς μοῖραν οὐκ ἐλαχίστην ἀποδιελεῖν καὶ στεῖλαι κατὰ Συρίας. εἶτα τοῦ Κομνηνοῦ μετὰ τῶν ὑπολελειμμένων γενομένου κατὰ Σεβάστειαν, Τούρκων ἀνεφάνη πληθύς, καὶ ἐπῄει τούτοις ἐκεῖνος. οἱ δὲ φυγὴν ὑπεκρίθησαν, καὶ οἱ περὶ τὸν Κομνηνὸν τοὺς φεύγοντας ἐπεδίωκον. ἐκ δέ γε συνθήματος μεταστρέψαντες τὰ νῶτα οἱ βάρβαροι ἐσκεδασμένοις τοῖς Ῥωμαίοις ἐπέθεντο, καὶ πολλοὺς μὲν ἀνεῖλον, καὶ εἷλον οὐ μείονας καὶ αὐτὸν τὸν στρατάρχην

τὸν Μανουὴλ καὶ τὸ στρατόπεδον διηρπάκασιν. ἡ δὲ περὶ τούτων ἀγγελία τὸν αὐτοκράτορα διετάραξε, PII281 καὶ ἔτι φήμη τις γενομένη ὡς ἡ ἐν Χώναις πολιτεία καὶ τὸ ἐκεῖ τοῦ ἀρχιστρατήγου περίπυστον τέμενος τοῖς βαρβάροις παρείληπται. ὁ μὲν οὖν βασιλεὺς ὅλος ἦν τοῦ αὐτίκα χωρῆσαι κατὰ τῶν πολεμίων καὶ ἐπαρῆξαι τοῖς κινδυνεύουσιν, ἀλλά τινες αὐτῷ συνεβούλευον WIII223 ἐπέχειν τέως. ἐν τούτοις δὲ ἧκεν ὁ Κομνηνὸς Μανουὴλ μετὰ καὶ τοῦ ἑλόντος αὐτὸν Τούρκου, προσελθόντος τῷ βασιλεῖ. ἔκ γάρ τινος αἰτίας δυσμένειαν ὁ Σουλτὰν ἐσχηκὼς κατὰ τοῦ ἀνδρὸς στρατιὰν ἐξαπέστειλε κατ' αὐτοῦ συλληψομένην αὐτόν. διὸ δείσας ἐκεῖνος εἵλετο τῷ βασιλεῖ προσφυγεῖν, ὃν αὐτίκα τετίμηκε πρόεδρον. ἦν δὲ τὴν ἡλικίαν βραχύτατος, τὴν δὲ μορφὴν εἰδεχθέστατος. B

13 Ἐπεὶ δὲ τὸ ἔαρ ὑπέλαμπεν, ἐμβεβήκει μὲν τῇ τριήρει τῇ αὐτοκρατορικῇ· διαπεραιουμένου δ' ἄρτι περιστερὰ οὐ πάνυ μὲν μέλαινα τὴν χροιάν, πρὸς δὲ τὸ μελάντερον ἀποκλίνουσα, τὴν τριήρη αὐτοῦ περιίπτατο καὶ οὐκ ἀπέστη πτερυσσομένη περὶ αὐτόν, ἕως ἐκεῖνος ταῖς χερσὶν αὐτῆς ἐπελάβετο. ὁ δὲ ταύτην τῇ βασιλίσσῃ ἐκπέπομφεν, ἐκρίθη δὲ τὸ τῆς περιστερᾶς οὐκ ἀγαθόν τι τεκμήριον οὔτε τῷ ταύτην ἑλόντι οὔτε μὴν τῇ πρὸς ἣν ἔσταλτο. ἀλλὰ καὶ τοῦ ξύλου, ᾧ μέσον ἱσταμένῳ ἡ βασίλειος σκηνὴ ἐπερείδεται, αὐτομάτως κατεαγότος, κατέπεσεν ἡ σκηνή· καὶ τοῦτο δὲ σύμβολον ἐνομίσθη ἀπαίσιον. ὅμως C οὐδὲν τὸν βασιλέα τῆς προθυμίας ἀνέκοψεν, ἀλλὰ προήει ἕως τοῦ θέματος τῶν Ἀνατολικῶν, φειδωλίας ἐχόμενος παρὰ τὸ εἰωθός. ἐσκηνωμένῳ δέ που ἐν δωματίοις πῦρ ποθεν ἐνεχθὲν αὐτά τε κατέφλεξε τὰ δωμάτια καὶ ἵππους ἡμιφλέκτους εἰργάσατο τῶν

βασιλικῶν καὶ χαλινὰ καὶ ὀχήματα, ὃ καὶ τούτῳ κακὸν οἰώνισμα ἔδοξεν. ἐκεῖθεν μετελθὼν καὶ τὸν Ἅλυν διαπεράσας καὶ παρελθὼν τὴν Καισάρειαν εἰς τὴν λεγομένην Κρύαν πηγὴν τὸν χάρακα ἔθετο, ἔνθα τισὶ τῶν Νεμίτζων ἀπηνέστερον προσηνέχθη δι' ἀδικήματα. τοῦ δὲ τάγματος τούτων ἀποστατήσαντος ἱππότης αὐτὸς αὐτίκα ἐπιφανεὶς καὶ τὸ στρα- D *τιωτικὸν ἐπαγόμενος κατέπληξέ τε τὸ ἀποστατῆσαν καὶ αὖθις συμμαχικὸν αὐτῷ ἐποιήσατο. εἶτα ἄπεισιν εἰς Θεοδοσιόπολιν, κἀκεῖ δύο μηνῶν ἕκαστον ἐπάγεσθαι κελεύσας τροφήν, ὡς διὰ ἀοικήτου μέλλων πορεύεσθαι, διεῖλε τὸ στράτευμα καὶ μοῖραν μὲν τῷ Ῥουσελίῳ παρέσχεν, ἀνὴρ δ' οὗτος Λατῖνος πολεμικώτατος, καὶ κατὰ τοῦ Χλιὰτ αὐτὸν ἐξαπέστειλεν. ἑτέραν δὲ μοῖραν ἑτέρῳ προσένειμε, προστάξας αὐτῷ πορθῆσαι τὸ Μανζικίερτ· αὐτὸς δὲ ὁ βασιλεὺς μετὰ τῶν λοιπῶν οὐκ ἀξιομάχων ὄντων περιελέλειπτο. τὸ μὲν οὖν Μανζικίερτ δι' ὁμολογίας τῷ βασιλεῖ παραδέδοτο, ἀποδεδειλιακότων τῶν Τούρκων καὶ πίστιν αἰτησαμένων, καὶ τούτου ἐκστάντων.* P II 282 *στρατιώταις δὲ εἰς συλλογὴν ἐξελθοῦσι τῶν χρειωδῶν πολέμιοι ἀθρόον ἐπήλθοσαν. ὃ γνοὺς ὁ βασιλεὺς τὸν μάγιστρον Νικηφόρον τὸν Βρυέννιον ἐπ' αὐτοὺς ἐξαπέστειλε μετά τινος συντάγματος, ὃς τοῖς Τούρκοις προσβαλὼν καὶ κάμνουσαν βλέπων τὴν μετ' αὐτοῦ δύναμιν, στείλας ᾔτει ἐπικουρίαν. ὁ δὲ βασιλεὺς ἀγνοῶν τῶν ἐναντίων τὴν δύναμιν, δειλίαν κατέγνω τοῦ Βρυεννίου καὶ κατὰ τοῦ ἀνδρὸς ἐτραχύνετο. ἔτυχε δὲ τότε ὁ ἱερεὺς ἀναγινώσκων τὸ εὐαγγέλιον καὶ λέγων "εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν." ὅμως ἔστειλε καὶ τὸν μάγιστρον Νικηφόρον τὸν Βασιλάκιον μετὰ μοίρας στρατιωτῶν, ὧν προσ-*

*τεθέντων τῷ Βρυεννίῳ μέχρι μέν τινος ἰσοπαλὴς
ἦν ὁ ἀγών. εἶτα τοῦ Βασιλακίου ὁρμήσαντος ἐν* B
*προμάχοις κατὰ τῶν ἐναντίων μετὰ τῶν περὶ αὐτὸν
τὰ νῶτα ἔτρεψαν οἱ πολέμιοι, ὁ δὲ ἐδίωκε, τοῦ Βρυ-
εννίου σὺν τοῖς ἀμφ' αὐτὸν μὴ διώκοντος. ὡς δὲ
περὶ τὸν χάρακα τῶν ἐναντίων ἐγένετο, πληγέντος
αὐτῷ τοῦ ἵππου ἀπέβη αὐτοῦ, καὶ διὰ τὸ τῶν ὅπλων
βάρος οὐκ εὐκίνητος ὢν κυκλοῦται παρὰ τῶν πολε-
μίων, καὶ ζωγρηθεὶς τῷ Σουλτάνῳ προσάγεται· οὔτε
δ' ἐκεῖνος δουλικώτερον αὐτῷ προσήει οὔτε μὴν ὁ* W III 224
*Σουλτὰν ὡς αἰχμαλώτῳ αὐτῷ προσήνεκτο, συχνάκις
δὲ τὸν ἄνδρα μετακαλούμενος περὶ τοῦ βασιλέως
διεπυνθάνετο καὶ τὰς οἰκείας δυνάμεις ἐδείκνυεν. ὁ
δὲ καὶ ἐπῄνει τὰ τοῦ Σουλτὰν καὶ ἐθαύμαζεν, οὐ
μέντοι συμφέρειν αὐτῷ ἔλεγεν ἀντιπαρατάξασθαι τῷ
βασιλεῖ. ὁ δέ γε βασιλεὺς μετὰ τῶν περιλοίπων ἐξ-* C
*ῆλθε τοῦ χάρακος κατασκοπήσων τί τὸ γινόμενον,
ἑστὼς δ' ἐπὶ γεωλόφων μέχρις ἑσπέρας ὑπέστρεψε.
καὶ οἱ Τοῦρκοι δ' εὐθὺς ἐκύκλωσαν τὸ στρατόπεδον,
καὶ τοῦτο περιιππεύοντες βέλη ἔβαλλον καὶ βοαῖς
ἀσήμοις καὶ ὑλακαῖς περιήχουν τὴν στρατιάν. οὕτω
μὲν οὖν ἡ νὺξ ἐκείνη παρῆλθεν. ἕωθεν δὲ Οὔζων
τι σύνταγμα πρὸς τοὺς πολεμίους ἀπηυτομόλησε.
καὶ τοῦτο ὕποπτον καὶ τὸ μεῖναν ἔτι πλῆθος τῶν
Οὔζων ἐποίησεν.*

Ὁ δὲ βασιλεὺς ὀξύτατα πέμψας εἰς τὸ Χλιὰτ 14
*μετεκαλεῖτο τὰ ἐκεῖσε στρατεύματα. ὡς δ' οὐκ ἀφί-
κοντο, ὁ γὰρ Ταρχανειώτης, οὗτος γὰρ ἦν ὁ εἷς
τῶν ἐκεῖ στραταρχῶν, μαθὼν τοῦ Σουλτάνου τὴν
ἄφιξιν, παρέπεισε καὶ τὸν Ῥουσέλιον, καὶ μετὰ τῶν* D
*ὑπ' αὐτοὺς δυνάμεων ἄραντες φυγῇ πρὸς τὰ Ῥω-
μαίων ἐχώρησαν ὅρια, ἔγνω ὁ Διογένης μετὰ τῶν*

συνόντων αὐτῷ διαγωνίσασθαι ἐς τὴν αὔριον καὶ ἅμα πρωὶ πρὸς τὸν πόλεμον ἐξηρτύετο. ἐν τούτῳ δὲ πρέσβεις ἧκον ἐκ τοῦ Σουλτάνου περὶ εἰρήνης διαλεξόμενοι. ὁ δὲ βασιλεὺς οὐ πάνυ φιλανθρώπως τοὺς πρέσβεις ἐδέξατο, ὅμως μέντοι καὶ λόγων σφίσι μετέδωκε καὶ ἀπελθεῖν πρὸς τὸν κύριον αὐτῶν προετρέψατο καὶ ἀπαγγεῖλαι ὡς "εἰ βούλοιτο περὶ συμβάσεων διαλέξασθαι, καταλιπέτω τὸν τόπον ἐν ᾧπερ ἐστρατοπέδευται καὶ πόρρω ποι μετασκηνωσάτω, ὥστε με μετὰ τῆς Ῥωμαϊκῆς στρατιᾶς τὸν χά-
PII283 ρακα πήξασθαι, ὅπου νῦν ἐστιν ἡ τῶν βαρβάρων παρεμβολή." ταῦτα τοῖς πρέσβεσι διαλεχθεὶς ἀλαζονικώτερον συντόμως ἐπανελθεῖν ἐνετείλατο. οἱ μὲν οὖν τῷ Σουλτὰν τοὺς τοῦ βασιλέως λόγους ἀπήγγελλον, κἀκεῖνος μετὰ τῶν περὶ αὐτὸν περὶ τῶν τῆς εἰρήνης συνθηκῶν ἐβουλεύετο. ὁ δέ γε βασιλεὺς ὑπερφρονήσας καί τισι πεπεισμένος τῶν ᾠκειωμένων αὐτῷ δεδειλιακέναι λέγουσι τὸν Σουλτάν, ὡς μὴ ἀξιόμαχον ἐπαγόμενον δύναμιν, καὶ διὰ τοῦτο τὴν εἰρήνην ζητεῖν, ἵνα τῆς μάχης ὑπερτεθείσης καὶ ἄλλην δύναμιν προσαγάγηται, μήτε τὴν τῶν πρέσβεων ἀναμείνας ὑποστροφὴν μήθ' ἕτερόν τι σκοπήσας τοῖς σαλπιγκταῖς ἐκέλευσεν ἠχῆσαι τὸ ἐνυάλιον.
B τοὺς δὲ βαρβάρους τὸ αἰφνίδιον διεθρόησεν, ἀλλὰ καὶ οὕτως εἰς ἀντιπαράταξιν ἔστησαν, καὶ ἐπιόντων αὐτοῖς τῶν Ῥωμαίων οὐκ ἀντεπῄεσαν, ἀλλ' ἀνεχάζοντο, μήτε τὰ νῶτα τρέποντες μήτε μέντοι μαχόμενοι. ὡς δὲ περὶ δείλην ὀψίαν ἡ ἡμέρα ἐγένετο, εἰδὼς ὁ βασιλεὺς ὅτι φυλακὴ περὶ τὸ στρατόπεδον οὐκ ἦν ἀξιόλογος, καὶ δείσας μὴ ἐπελθόντων τῶν ἐναντίων αὐτῷ διαρπαγῇ, ἔγνω τὴν μάχην λῦσαι καὶ ἐπαναζεῦξαι περὶ τὸν χάρακα. ἐπιστρέψας οὖν τὴν

βασιλικὴν σημαίαν αὐτός τ' ἐπανῄει καὶ τῇ στρατιᾷ ταὐτὸ ποιεῖν διεσήμαινεν. οἱ μὲν οὖν περὶ αὐτὸν ὄντες ἀθορύβως ἐποίουν τὸ κελευσθέν. ὅσοι δὲ πόρρω ποι τὰς τάξεις ἐκέκτηντο, φυγὴν τοῦ βασιλέως τὴν ὑποστροφὴν ὑπετόπασαν, Ἀνδρονίκου C τοῦ υἱοῦ τοῦ Καίσαρος τὸν λόγον ὑποβαλόντος ταῖς φάλαγξιν. ἀεὶ γὰρ ὅ τε Καῖσαρ καὶ οἱ τούτου υἱεῖς ἐφήδρευον τῷ βασιλεῖ καὶ ἀφανῶς ἐπεβούλευον. ἄρας οὖν αὐτίκα μετὰ τῶν περὶ αὐτὸν ὁ Ἀνδρόνικος, ἐξῆρχε γὰρ οὐκ ἐλαχίστης μοίρας στρατιωτῶν, ἀπὸ ῥυτῆρος ἐπανελήλυθεν εἰς τὸν χάρακα. τοῦτο καὶ τοὺς λοιποὺς ἐτρέψατο εἰς φυγήν, οὓς οὕτως ἀκόσμως ἐπανιόντας ὁ βασιλεὺς θεασάμενος ἔστη, στῆναι δὲ καὶ τοῖς ἀπιοῦσιν ἐνεκελεύετο. ἀλλ' ἐξεκεκώφεισαν ἅπαντες καὶ τῆς φυγῆς οὐ μεθίεντο. W III 225 ὡς δὲ τὸ παράλογον τῆς φυγῆς δυστύχημα τῶν Ῥωμαίων καὶ μήνιμα θεῖον ἔγνωσαν οἱ πολέμιοι, εὐθὺς ἐπῆλθον τῷ βασιλεῖ. ὁ δὲ μετὰ τῶν περὶ αὐτὸν τὴν D μάχην ἐδέξατο, καὶ μέχρι μέν τινος ἐρρωμένως ἀντεῖχον, εἶτα τῶν μὲν πεσόντων, ἑαλωκότων δ' ἑτέρων, περιεστοιχίσθη πρὸς τῶν βαρβάρων ὁ βασιλεύς. ἀλλ' οὐδὲ οὕτως ἐνέδωκε. πολλοὺς δὲ πλήξας καὶ ἀνελὼν ἐπλήγη κἀκεῖνος τὴν χεῖρα, καὶ οὕτως ἀποκαμὼν καὶ μηκέτι ἀμύνεσθαι τοὺς ἐπιόντας δυνάμενος μήτε μέντοι φυγεῖν, ἤδη τοῦ ἵππου αὐτῷ πεπτωκότος ἐκ τῶν βελῶν, ἑάλω καὶ ἀπῆκτο τοῖς βαρβάροις ὁ βασιλεὺς Ῥωμαίων αἰχμάλωτος. ἀγγελθεῖσα δὲ ἡ τοῦ βασιλέως ἅλωσις τῷ Σουλτάνῳ χαρὰν μέν, ὡς εἰκός, ἐνεποίησεν, οὐ μέντοι ἐπῆρεν αὐτὸν ὥστε P II 284 καὶ ὑψηλοφρονῆσαι· Ἄξαν ἐκεῖνος ὠνόμαστο, οὗ πολλὰ ἐπὶ δικαιοσύνῃ καὶ μετριοφροσύνῃ ᾄδονται διηγήματα. ὅθεν ἠπίστει καὶ τῇ τοῦ βασιλέως ἁλώ-

σει διὰ τὸ τοῦ εὐτυχήματος ἄκρατον. καὶ ἰδὼν αὐτὸν οὐ πρότερον πιστὸν τὸ πρᾶγμα ἐδέξατο, ἕως καὶ οἱ παρ' αὐτοῦ σταλέντες πρέσβεις αὐτὸν ἀνεγνώρισαν καὶ ὁ Βασιλάκης ἐκεῖ κατεχόμενος καὶ ἰδὼν αὐτὸν εἰς τοὺς πόδας αὐτοῦ θρηνῶν κατέβαλεν ἑαυτόν. τότε δὲ τοῦ θρόνου τε ἀνεπήδησεν ὥσπερ ἔνθους, καὶ τεθέντα κατὰ γῆς, ὡς ἔθος, πατήσας αὐτὸν ἀνέστησε καὶ περιεπτύξατο, καὶ "μὴ
B λυποῦ, βασιλεῦ" ἔφη· "τοιαῦτα γὰρ τὰ ἀνθρώπινα· ἐγὼ δὲ οὐχ ὡς αἰχμαλώτῳ, ἀλλ' ὡς βασιλεῖ σοι προσενεχθήσομαι." καὶ αὐτίκα σκηνὴν αὐτῷ ἀποτάττει καὶ θεραπείαν βασίλειον, κοινωνεῖ τε τραπέζης, ὁμόθρονον ἑαυτῷ ποιησάμενος, λύει τε τῶν αἰχμαλώτων αὐτῷ ὁπόσους ᾔτησε, καὶ οὕτως ἐφ' ἡμέραις τισὶ συνομιλήσας καὶ συνδιαιτηθεὶς τῷ ἀνδρὶ καὶ τιμήσας ὑπερβαλλόντως, εἶτα καὶ συνθήκας θέμενος ἐπὶ εἰρήνῃ διηνεκεῖ καὶ κήδους ὑπόσχεσιν ἐπὶ παισὶ ποιησάμενος, ἀφῆκε τὸν Διογένην ἀπιέναι μεθ' ὅσης οὐκ ἄν τις ἤλπισε δορυφορίας καὶ τιμῆς. ὁ δὲ εἰς Θεοδοσιόπολιν ἀπελθὼν ἐσταλμένος βαρβαρικῶς, ὁ γὰρ Σουλτὰν οἰκείας αὐτῷ παρέσχε στολάς,
C τήν τε χεῖρα ἐκεῖ προσμείνας ἐθεραπεύετο καὶ τὴν ἀμφίασιν πρὸς τὸ ῥωμαϊκώτερον μεθηρμόζετο. ἐκεῖθεν δὲ προῄει ἐπανιών, ἄγων μεθ' ἑαυτοῦ καὶ πρέσβεις τοῦ Σουλτάν. ἀλλ' ὁ μὲν οὕτως ἐπανῄει. τῆς δ' ἁλώσεως αὐτοῦ ἀγγελθείσης εἰς τὰ βασίλεια ἐν διχονοίᾳ οἱ περὶ ταῦτα γεγόνασιν. οἱ μὲν γὰρ τῇ βασιλίσσῃ καὶ αὖθις τὴν ἐξουσίαν ἐδίδοσαν, οἱ δὲ τῷ πρεσβυτέρῳ τῶν ταύτης υἱέων τὸ ξύμπαν ἐπεψηφίζοντο, οἱ δὲ κοινοπραξίαν τῇ τε μητρὶ καὶ τῷ υἱέϊ ἀπένεμον.

15 Ἐν τούτοις δὲ λυθεὶς τῆς αἰχμαλωσίας ὁ Διογέ-

νης ἀγγέλλεται· κομίζεται δὲ καὶ ἰδιόγραφος ἐκεί- D
νου ἐπιστολὴ τὰ αὐτῷ συμβεβηκότα διδάσκουσα.
τοῦτο μείζονα θροῦν ἦρε, καὶ ἀπορία πάντας εἷλε
τοῦ τί ἂν δέοι δρᾶν. ὁ γοῦν Καῖσαρ Ἰωάννης καὶ οἱ
ἐκείνου υἱοί, ἀεί, ὡς εἴρηται, ἐγκοτοῦντες τῷ Διο-
γένει, ἁρπάζουσι τὸν καιρόν, καὶ προσλαβόμενοι τῶν
τῆς συγκλήτου ἐνίους, ὅσοι ὡμοφρόνουν αὐτοῖς, ὧν
ἐξῆρχεν ὁ ὑπέρτιμος ὁ Ψελλός, δύσνους καὶ αὐτὸς
τῷ Διογένει τυγχάνων, τὴν βασίλισσαν Εὐδοκίαν
εἰς τὴν παρ' αὐτῆς δομηθεῖσαν μονὴν κατὰ τὸν ἐν
τῇ Προποντίδι πορθμὸν περιορίζουσι, τὸν δὲ Μιχαὴλ
ἀνακηρύττουσιν αὐτοκράτορα. εἶτα πανταχοῦ δια-
πέμπονται βασίλεια γράμματα μήθ' ὑποδέχεσθαι
μήτε τιμῆς βασιλικῆς ἀξιοῦν ἐπανιόντα τὸν Διογέ- P II 285
νην κελεύοντα. τούτου δὲ τοῦ βουλεύματος εἰση- W III 226
γητὴς ὁ Ψελλὸς γέγονεν, ὡς καὶ αὐτὸς ἐν τῇ περὶ
τούτου φησὶ συγγραφῇ. ὅπερ ὁ Διογένης μαθών,
τὴν Δόκειαν κατασχών, φρούριον δ' αὕτη, παρ'
αὐτῇ ἐστρατοπεδεύσατο. καὶ ὁ Καῖσαρ τῶν σφετέ-
ρων υἱέων τὸν νεώτερον τὸν πρόεδρον Κωνσταντῖ-
νον στέλλει κατὰ τοῦ Διογένους μετὰ δυνάμεως. ὁ
δὲ Διογένης εἰς Καππαδοκίαν ἀφίκετο. προσγενο-
μένου δὲ τοῦ Κρισπίνου, Φράγγος δ' οὗτος, σὺν
ὁμοφύλοις τῷ Κωνσταντίνῳ, ὁ Διογένης Θεόδωρον
τὸν Ἀλυάττην κατ' αὐτῶν ἐξαπέστειλεν. ὁ δὲ συμμί-
ξας αὐτοῖς ἡττήθη, καὶ ἁλοὺς ἐξεκόπη τὰ ὄμματα.
τοῦτο τὸν Διογένη λίαν ἠνίασεν. ὄντι δ' ἐν τῷ B
Τυροποιῷ, τοῦτο δ' ἐστὶ φρούριον ἐρυμνότατον,
πρόσεισιν αὐτῷ τῆς Ἀντιοχείας ὁ δούξ· οὗτος δ' ἦν
ὁ ἐξ Ἀρμενίων ὁ Χατατούριος, στρατιώτας συχνοὺς
ἐπαγόμενος. παραλαβὼν οὖν τὸν Διογένην οὗτος
καὶ εἰς Κιλικίαν ἀπαγαγὼν ἐκ τοῦ Σουλτὰν ἐκαρα-

δόκει βοήθειαν, καὶ αὐτὸς δὲ συνήθροιξε στράτευμα. στέλλεται οὖν αὖθις κατ' αὐτῶν ὁ πρεσβύτερος τῶν παίδων τοῦ Καίσαρος ὁ πρόεδρος Ἀνδρόνικος, καὶ εἰς Κιλικίαν γενόμενος τῷ Χατατουρίῳ συρρήγνυται, καὶ ἀναιρεῖται μὲν ὁ Χατατούριος, οἱ δὲ περὶ ἐκεῖνον εἰς Ἄδαναν συμπεφεύγασιν, ἔνθα ὁ Διογένης διέτριβε. περικαθίσας δὲ τὴν πόλιν ὁ Ἀνδρό-
C νικος ἐπολιόρκει αὐτήν. εἶτα ἐπὶ συνθήκαις ἑαυτὸν ὁ Διογένης παρέδωκεν· αἱ δὲ συνθῆκαι, ἀποθέσθαι μὲν τὴν βασιλείαν αὐτὸν καὶ ἰδιωτεύειν τὴν τρίχα κειράμενον. ἐπὶ ταύταις γὰρ καὶ ἀρχιερεῖς ἐστάλησαν πρὸς τοῦ βασιλεύοντος, πληροφορίαν ἔνορκον διδόντες αὐτῷ ὡς οὐδέν τι πείσεται ἄχαρι. θαρρήσας οὖν τούτοις ὁ Διογένης ἔξεισι μελανείμων, καὶ ἑαυτὸν ἐγχειρίζει τῷ Ἀνδρονίκῳ. ὁ δὲ τοῦτον λαβὼν ἐπανῄει, καὶ εἰς τὸ Κοτυάειον ἀφικόμενος προσέμενεν ἐν αὐτῷ, ἕως ἂν αὐτῷ κελευσθείη τὸ ποιητέον, τοῦ Διογένους νοσηλευομένου ἐκ πόσεως φαρμάκου δηλητηρίου ἐπιβούλως κερασθέντος αὐτῷ. ἐκεῖ τοίνυν ἐπέμφθη βασίλειος ψῆφος, τοῦ φωτὸς στερηθῆναι τὸν μηδὲν ἠδικηκότα κελεύουσα. καὶ αὐτίκα τοὺς ὀφθαλμοὺς ἐξορώρυκτο, παρόντων καὶ
D τῶν ἀρχιερέων καὶ ἐν δεινῷ ποιουμένων τὴν εἰς τὸν ἄνθρωπον συμφοράν, μηδεμιᾶς μέντοι ἀξιουμένων ἐπιστροφῆς. ὠμότατα δὲ τὰ ὄμματα ἐκκοπεὶς καὶ μηδ' ἐπιμελείας τῆς δεούσης τυχών, διῳδήκει τὴν κεφαλήν, καὶ αἱ πληγαί οἱ ἐξέζεσαν σκώληκας καὶ ὁ ἀὴρ ὁ περὶ ἐκεῖνον δυσωδίας μεμέστωτο ἐκ τῆς σήψεως. οὕτως οὖν κακῶς διακείμενος εἰς τὴν καλουμένην Πρώτην νῆσον ἀπάγεται, ἐν ᾗ σεμνεῖον ἀνήγειρε περὶ τὸ τῆς νήσου μετεωρότερον. βραχύ τι τοίνυν ἐπιβιώσας ἐκεῖ τὸν χοῦν ἀποτίθεται ἐν

αὐτῇ, παρὰ τῆς βασιλίδος Εὐδοκίας λαμπρότατα κηδευθείς, βασιλεύσας ἔτη τρία καὶ μῆνας ὀκτώ. λέγεται δὲ τὰ εἰς τὸν ἄνδρα τοῦτον γενόμενα πάντα τοῦ Καίσαρος εἶναι διαταγάς, μηδὲν εἰδότος τοῦ αὐτοκράτορος Μιχαήλ. ἦν γὰρ χαῦνος ἄγαν τὸ ἦθος PII286 *ὁ βασιλεὺς καὶ ἀνειμένος καὶ πρὸς μεταχείρισιν πραγμάτων καὶ τῶν τυχόντων ἀδέξιος, πολλοῦ γε δεῖ πρὸς βασιλείας διοίκησιν. κἀντεῦθεν τῆς εὐηθείας ἐκείνου κατατρυφῶν ὁ θεῖος αὐτοῦ καὶ Καῖσαρ πάντα τὰ εἰς τὸν Διογένην ἐτύρευσεν ἐγκοτῶν τῷ ἀνδρί.*

Ἀποπεφυκὼς δὲ ὁ βασιλεὺς Μιχαὴλ πρὸς τὴν W III 227 *τῆς βασιλείας διοίκησιν τὸν μητροπολίτην Σίδης* 16 *Ἰωάννην, ἐκτομίαν ὄντα, δραστήριον δέ, τοῖς πράγμασιν ἐφιστᾷ. εἶθ' ἕτερον ἐκτομίαν τὸν Νικηφόρον, ὃς νέος προσληφθεὶς παρὰ τοῦ Μονομάχου εἰς τὰ βασίλεια ὑποκοριζόμενος διὰ τὴν νεότητα Νικηφορίτζης ὠνόμαστο καὶ ὥσπερ ἐπωνυμίαν ἔσχηκε τοῦτο,* B *ἐξ Ἑλλάδος καὶ Πελοποννήσου τὰς κρίσεις τούτων διέποντα μετεπέμψατο. ἔφθασε γὰρ ὁ ἀνὴρ οὗτος καὶ τῷ πατρὶ τοῦ βασιλέως τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Δούκᾳ ὑπηρετήσασθαι. ἦν δὲ περὶ πραγμάτων μεταχείρισιν δεξιὸς καὶ λόγοις ὡμιληκώς, τὸ δὲ ἦθος ἔχων ὑποκαθήμενον καὶ γέμον δεινότητος. τούτῳ γοῦν ἐγχειρίζει τὰς ἡνίας τῆς βασιλείας, λογοθέτην ὀνομάσας αὐτόν. ἐντεῦθεν ὁ Σίδης παραγκωνίζεται, καὶ ὁ Καῖσαρ καθίσταται ὕποπτος, καὶ πᾶσα ἡ τῆς βασιλείας διοίκησις ὑπὸ τὸν λογοθέτην ἐγένετο, καὶ ὁ βασιλεὺς ὑπ' αὐτοῦ ὡς ἀνδράποδον ἤγετο. καὶ οὐκ ἦν ὃ μὴ διὰ τοῦ λογοθέτου ἐγίνετο,* C *καὶ πολλοὶ τῶν περιουσιῶν ἐστερήθησαν, ἄλλοις ἄλλων ἐπενηνεγμένων λαβῶν, καὶ ἦν τῶν ἀνθρώπων*

σύντριμμα καὶ ταλαιπωρία καὶ ὁ τούτων ἐπιστρεφόμενος οὐδαμοῦ. ὁ γὰρ βασιλεὺς παιδαριώδεσιν ἐσχόλαζε πράξεσι, τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ ὑπερτίμου Μιχαὴλ τοῦ Ψελλοῦ λόγοις τῷ δοκεῖν αὐτὸν ἐμβιβάζοντος καὶ διδάσκοντος νῦν μὲν τὴν γραμματικὴν τέχνην καὶ μέτρα καὶ διαλέκτους, νῦν δ' ἵνα κατὰ ῥήτορας διαλέγοιτο, νῦν δ' ἱστορίαις αὐτὸν προσεθίζοντος, ἄλλοτε δὲ φιλοσόφων θεωρημάτων ἀκροᾶσθαι παρασκευάζοντος. ὁ δὲ πρὸς οὐδὲν ἐπεφύκει. τούτοις οὖν ὁ Ῥωμαίων αὐτοκράτωρ
D προστετηκὼς ὑφ' ἕτερον, καὶ τοῦτον ἕνα, τὴν τῶν κοινῶν κυβέρνησιν ἐποιήσατο, καὶ νόμος ἦν τὸ τῷ λογοθέτῃ δοκοῦν. τὰ μὲν οὖν τῆς πολιτείας οὕτως εἶχον κακῶς, τὰ δὲ κατὰ τὴν ἕω χεῖρον ἔσχον ἢ πρότερον. ὁ γὰρ Σουλτὰν τὰ κατὰ τὸν Διογένη μαθὼν καὶ ὅτι ὃν ἐκεῖνος λαβὼν δοριάλωτον ἐτίμησε καὶ ἀφῆκεν εἰς τὴν οἰκείαν ἀπελευσόμενον βασιλείαν, τοῦτον οἱ συμφυλέται ἀπηνῶς οἰκτίστῳ θανάτῳ παρέδωκαν, καὶ αἱ πρὸς ἐκεῖνον περὶ σπονδῶν συνθῆκαι ἄπρακτοι μεμενήκασιν, ὑπερήλγησε, καὶ τὰς οἰκείας δυνάμεις κατὰ τῶν Ῥωμαϊκῶν χωρῶν χωρεῖν
PII287 ἐξηρέθισεν· οὐκέτι τοίνυν ὡς ληιζόμενοι ταῖς χώραις ἐπῄεσαν, ἀλλ' ὡς ταύτας καθέξοντές τε καὶ κυριεύσοντες, τοῦ σφᾶς ἀνείργοντος μὴ παρόντος. καὶ οἱ μὲν ταῦτα ἐποίουν· ὁ δὲ βασιλεὺς δύναμιν ἀγείρας στρατάρχην ταύτης τὸν Κομνηνὸν προβάλλεται Ἰσαάκιον, συζεύξας αὐτῷ καὶ τὸν Λατῖνον Ῥουσέλιον, ὁμογενῶν ἄρχοντα τετρακοσίων ἀνδρῶν. ἐπεὶ δὲ περὶ τὸ Ἰκόνιον ἐγεγόνει τὸ στράτευμα, ἐξ αἰτίας τινὸς ἀποστατεῖ ὁ Ῥουσέλιος καὶ τοὺς ὁμοφύλους παραλαβὼν καθ' ἑαυτὸν ἦν, καὶ πῇ μὲν τοῖς Τούρκοις προσέμισγε, πῇ δὲ τὰς χώρας τὰς Ῥωμαϊκὰς

ἐκεράϊξεν. ὁ δὲ Κομνηνὸς Ἰσαάκιος μετὰ τοῦ περιλοίπου στρατεύματος τοῖς Τούρκοις προσβαλὼν ἥττητο, καὶ ἔπεσον μὲν πολλοὶ καὶ ἐξωγρήθησαν ἕτεροι καὶ αὐτὸς ὁ στρατάρχης, καὶ διήρπαστο ἡ παρ- B εμβολή. ὁ μὲν οὖν Κομνηνὸς πολλῶν χρημάτων τὴν ἐλευθερίαν ὠνήσατο. ὁ δὲ βασιλεὺς τὸν θεῖον τὸν Καίσαρα τῷ πολέμῳ στρατάρχην ἐφίστησι. τοῦτο μαθὼν ὁ Ῥουσέλιος, πρὸ τοῦ τὸν Σαγγάριον τὸν Καίσαρα διαβῆναι καταλαβών, ἀντεστρατοπεδεύσατο αὐτῷ, καὶ ὁ Καῖσαρ ἀμνηστίαν αὐτῷ τοῦ πταίσματος ἐπηγγέλλετο, εἰ προσχωρήσει τῷ βασιλεῖ. ἀλλ' ἐκεῖ- W III 228 νος βαρβαρικῶς φρυαττόμενος οὐδὲν ἐφρόνει ἐνδόσιμον. συρρήγνυται τοίνυν πόλεμος, καὶ ἡττήθησαν οἱ περὶ τὸν Καίσαρα καὶ αὐτὸς ἑάλω σὺν πλείοσιν ἄλλοις, τοῦ Βοτανειάτου, ὃς συνεστρατήγει τῷ Καίσαρι, μετ' ὀλίγων φυγόντος. ὁ μέντοι Ῥουσέλιος πρὸς τὸ Βυζάντιον ἵετο ἄγων τὸν Καίσαρα δέσμιον καὶ τὸν Μαλέσην Βασίλειον, ἄρτι τῆς μετὰ τοῦ Διογένους λελυμένον αἰχμαλωσίας, καὶ ἡ Χρυσόπολις C εἶχε τὸν ἀποστάτην, καὶ αὐτίκα πῦρ ταῖς ἐκεῖσε οἰκίαις ἐνῆκεν. ὁ δὲ βασιλεὺς ἀξίωμά τε κουροπαλάτου αὐτῷ ἐπηγγέλλετο, εἰ τὰ ὅπλα κατάθοιτο, καὶ τὴν γυναῖκα αὐτοῦ μετὰ τῶν τέκνων ἐξέπεμψεν· ἀλλ' ὁ βάρβαρος ἀτίθασος ἦν. μετεπέμψατο τοίνυν ὁ βασιλεὺς κατὰ τοῦ Ῥουσελίου Τούρκους ἐπὶ μισθῷ· ὁ δὲ μὴ ἀξιόχρεως ὢν πρὸς τὸν πόλεμον λύει τὸν Καίσαρα τῶν δεσμῶν καὶ εὐφημίαις ἀναγορεύει βασιλικαῖς, οἰόμενος προσθήσεσθαί οἱ πολλούς. αἴφνης δὲ Τούρκων ἀναφανέντων ὁ Ῥουσέλιος κατ' αὐτῶν βαρβαρικῇ θρασύτητι ἀπερισκέπτως ἐχώρησε, καὶ πολλοὺς μὲν οἱ Φράγγοι τῶν Τούρκων κατέβαλον, τοὺς δ' ἄλλους ἐτρέψαντο εἰς φυγὴν καὶ ἀκρα- D

τῶς ἐδίωκον. οἱ μὲν οὖν πλείους ὀπίσω που ἀπελείφθησαν, τῶν ἵππων σφίσι μὴ εὐτονούντων πρὸς τὸ πολὺ τῆς διώξεως. ὁ Ῥουσέλιος δὲ μετὰ τοῦ Καίσαρος σὺν ὀλίγοις ἐπήλαυνον. ἤδη δὲ τῶν οἰκείων ἐκμηκυνθεῖσι πολὺ ἑτέρα πληθὺς ἀνεφάνη Τούρκων εἰς πολλὰς πάνυ χιλιάδας ἀριθμουμένη· ὡς δ' ἐπῆλθον αὐτοῖς οἱ φανέντες καὶ ἄκοντες αὐτοῖς συνερράγησαν. περιειληθέντες δ' ὑπὸ τοῦ πλήθους καὶ τοὺς ἵππους ἀποβαλόντες ἑάλωσαν ὅ τε Καῖσαρ καὶ ὁ Ῥουσέλιος. ἀλλὰ τὸν μὲν Ῥουσέλιον ἡ σύνευνος προλαβοῦσα ἐπρίατο, τὸν δὲ Καίσαρα ὁ βασιλεὺς ἐλυτρώσατο. ὁ δὲ ἀπαγόμενος πρὸς τὸν βασιλέα, καὶ ἐν τῇ Προποντίδι γενόμενος, κείρεται τὴν τρίχα P II 288 *καὶ μεταμφιέννυται τὴν στολήν, ῥάκος μοναχικὸν περιθέμενος· ηὐλαβεῖτο γὰρ μή τι πάθοι πρὸς τοῦ ἀνεψιοῦ διὰ τὴν ἀνάρρησιν. ὁ δέ γε Ῥουσέλιος λυθείς, ὡς εἴρηται, τῆς αἰχμαλωσίας, τὴν γυναῖκα μετὰ τῶν περιλειφθέντων Φράγγων λαβὼν εἰς τὸ τῶν Ἀρμενιακῶν θέμα ἐγένετο, ἐν ᾧ διῆγε καὶ πρότερον. στέλλει τοίνυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν πρόεδρον Ἀλέξιον τὸν Κομνηνόν, νέον μὲν ὄντα, ἄνδρα δὲ συνετὸν καὶ δραστήριον. ὃς γενόμενος κατὰ τὴν Ἀμάσειαν δι' ἀπορρήτων δηλοῖ τοῖς Τούρκοις ὡς εἰ κατασχόντες τὸν Ῥουσέλιον παραδοῖεν τοῦτον αὐτῷ, πολλῶν αὐτοὺς ἐμπλήσει χρημάτων. φιλίαν γοῦν ὑποκριθέντες ἐκεῖνοι πρὸς τὸν Ῥουσέ-* B *λιον κατέσχον τὸν ἄνδρα, καὶ πολλῶν αὐτὸν χρημάτων ἠλλάξαντο, ὃς αὐτίκα παρὰ τοῦ Ἀλεξίου δέσμιος ἀπήχθη πρὸς τὸ Βυζάντιον, καὶ σφοδρῶς αἰκισθεὶς εἰς πύργον δέσμιος κατεκέκλειστο. σίτου δὲ γενομένης ἐνδείας ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τούτου, ὥστε μὴ ὅλον μέδιμνον εἰς νόμισμα ἀποδίδοσθαι,*

ἀλλὰ παρὰ πινάκιον, εἰς ἐπώνυμον τῷ βασιλεῖ τὸ κοινὸν δυστύχημα ἐχρημάτισε, ὡς καὶ μέχρι τοῦδε οὕτω καλεῖσθαι τοῦτον τὸν ἄνακτα· οὐ γάρ τις ἄλλως γνωριεῖ τοῦτον εἰ μὴ τὸν Παραπινάκιον εἴποι.

Τῷ τρίτῳ δ' ἔτει τῆς βασιλείας αὐτοῦ τὸ τῶν 17 *Χροβάτων ἔθνος, οὓς δὴ καὶ Σέρβους τινὲς καλοῦσι, κεκίνητο, τὴν τῶν Βουλγάρων χώραν ἐπικεχειρηκὸς* C *κατασχεῖν. ἀλλὰ μὴν καί τινα ταύτης κατεσχηκός, πολλαῖς δὲ μάχαις καὶ φθορᾷ πολλῶν ἑκατέρωθεν, τῶν τε κατεσχημένων ἐκπέπτωκε καὶ καταπολεμηθὲν τῶν Ῥωμαϊκῶν ὁρίων ἐξώσθη καὶ εἰς τὰ σφέτερα ἤδη μένειν ἠνάγκαστο. δοῦλος δέ τις τοῦ πατρὸς τούτου τοῦ αὐτοκράτορος Νέστωρ ὄνομα, βεστάρχης δὲ τὸ ἀξίωμα, δοὺξ τῶν παριστρίων προχειρισθείς,* W.III 229 *ἦρεν ὅπλα κατὰ τοῦ βασιλέως. ὁμαιχμίαν γὰρ θέμενος μετά τινος ἀρχηγοῦ Πατζινάκων, ὃς ἐκαλεῖτο Τατούς, εἰς τὴν τῶν πόλεων βασιλεύουσαν παρεγένοντο, καὶ παρενέβαλον πρὸ αὐτῆς. καταθέσθαι δὲ τὰ ὅπλα τοῦ βασιλέως δηλοῦντος αὐτῷ, ἐκεῖνος ἕτοιμος εἶναι ποιῆσαι τοῦτο ἔλεγεν, εἰ αὐτῷ ὁ λογοθέτης* D *Νικηφόρος ἐκδοθείη ἢ τέως ἐκ μέσου γένηται, ὡς κοινὴ συμφορὰ καὶ κακὸν ἐπιδήμιον. τοῦτο δὲ τοῦ βασιλέως μὴ ποιοῦντος, ἀπανίσταται μὲν τῆς πόλεως, τὰ τῶν Θρᾳκῶν δὲ καὶ τὰ Μακεδόνων ληΐζεται καὶ ὅσα τούτοις τῆς Βουλγαρίας παράκειται καὶ εἰς τὴν τῶν Πατζινάκων μεταχωρεῖ. υἱοῦ δὲ τεχθέντος αὐτῷ ἐκ τῆς ἐξ Ἀλανῶν Μαρίας, ἣν βασίλισσαν ἔστεψε, Κωνσταντῖνον αὐτὸν ὠνόμασεν ἐπὶ τῷ πατρὶ καὶ βασιλικῶς ἐταινίωσε, καὶ στείλας πρὸς τὸν Λογγιβαρδίας ἡγεμονεύοντα Ῥομπέρτον τὴν ἐκείνου θυγατέρα τῷ υἱῷ ἐμνηστεύσατο, ἣν καὶ ἀχθεῖσαν Ἑλένην μετωνόμασεν. ἐτέχθη δὲ τότε ἐν τῷ Βυζαν-*

P II 289 τίῳ παιδίον, ἕνα ἔχον κατὰ τὸ μέτωπον ὀφθαλμὸν καὶ τραγοσκελές. τῶν μέντοι βαρβάρων τὴν ἑῴαν ληιζομένων καὶ οἷς ἐντύχοιεν ἔργον τιθεμένων μαχαίρας, φεύγοντες οἱ Ἀσιανοὶ τῇ Κωνσταντίνου προσῄεσαν. μή τινος δὲ προνοουμένου τῶν κοινῇ συμφερόντων, ὁ γὰρ βασιλεὺς περὶ λόγους ἠσχόλητο καὶ ἰάμβους συντιθέναι πρὸς τοῦ Ψελλοῦ ἐδιδάσκετο, σιτοδεία τοὺς ἐν τῇ πόλει ἐπίεζεν. ἵνα δ' ἐκφαντικώτερον τὸ πάθος ἐκτραγῳδήσαιμι, λιμὸς ἦν ἄντικρυς τὸ κακόν, τῷ δὲ παρείπετο καὶ λοιμός, κἀκ τούτου συνέβαινον θάνατοι, καὶ οὗτοι συχνοί τε καὶ ἀλλεπάλληλοι, ὥστε ἀδυνατεῖν τοὺς ζῶντας ταφῇ παραδιδόναι τοὺς θνήσκοντας. τοσοῦτοι γὰρ ἦσαν
B ὡς πολλάκις πολλοὺς ἐν μιᾷ κλίνῃ ἐκφέρεσθαι, κἀν ταῖς ἀμφόδοις δὲ ἀτάφους κεῖσθαι πολλούς. ἐντεῦθεν πάντα κατηφείας μεμέστωτο διά τε ταῦτα καὶ ὅτι καὶ ἀδίκοις εἰσπράξεσιν ἐπιέζετο τὸ ὑπήκοον. οὕτω δὲ τῶν πραγμάτων ἐχόντων, οἱ τῶν ἑῴων ἀρχόντων προέχοντες συνελθόντες ἀποστασίαν ὠδίνησαν, καὶ τὸν κουροπαλάτην Νικηφόρον τὸν Βοτανειάτην εἰς βασιλέα προείλοντο καὶ ἀνηγόρευσαν αὐτοκράτορα. τοῦτο τὸν βασιλέα θορύβου καὶ δέους ἐνέπλησεν. ᾔδετο γὰρ ὡς ὑπερτερήσει ποτὲ τοῦ Μ στοιχείου τὸ Ν. ἦν δὲ τῶν εὐπατριδῶν ὁ Βοτανειάτης, ἐκ τοῦ Φωκᾶ τὴν τοῦ γένους ἕλκειν σειρὰν νομιζόμενος. διακηρυκεύεται τοίνυν πρὸς τοὺς Τούρ-
C κους ὁ βασιλεύς, ἁδρὰς αὐτοῖς ἐπαγγελλόμενος δωρεάς, εἰ τοὺς ἀποστατήσαντας συσχόντες παραδοῖεν αὐτῷ. ὁ μὲν οὖν Βοτανειάτης ἐξ ἑῴας, ὡς εἴρηται, βασιλείας ἑαυτῷ περιθέμενος σχῆμα καὶ ὄνομα ἐφοίτα πρὸς τὸ Βυζάντιον. ἐξ ἑσπέρας δ' αὖθις ἑτέρας ἀποστασίας ἐπεκυμάνθη κλυδώνιον. ὁ γὰρ

πρόεδρος Νικηφόρος ὁ Βρυέννιος δοὺξ Δυρραχίου τυγχάνων, ἐπεὶ μεμαθήκει ἀφαιρεθεὶς τὴν ἀρχήν, ἀφίσταται καὶ αὐτός, καὶ περιβάλλεται τὰ τῆς βασιλείας παράσημα καὶ τοῖς ἐκεῖ παροῦσι δορυφορούμενος τάγμασιν εἰς τὴν Ἀδριανούπολιν ἀπῄει, ἀφ᾽ ἧσπερ καὶ ὥρμητο, καὶ τῷ ἀδελφῷ Ἰωάννῃ ἐκεῖ ἑνωθεὶς πλῆθός τε στρατιωτῶν ἐκεῖθεν ἐθνικῶν τε καὶ Μακεδόνων πείσας συνάρασθαί οἱ τῆς τυραννίδος D *ἀπήρξατο. τισὶ δὲ τῶν τοῦ Βρυεννίου ὁ Θεοδωροκᾶνος συμμίξας ἡττᾶταί τε καὶ ἁλίσκεται. προσερρύησαν δὲ τῷ Βρυεννίῳ καὶ οἱ Ῥαιδεστηνοί, ἀλλὰ μέντοι καὶ οἱ οἰκοῦντες τὸ Πάνιον. εἴχετο τοίνυν τῆς ἀποστασίας ὁ Βρυέννιος κραταιῶς, τὸν ἀδελφὸν κουροπαλάτην τιμήσας καὶ στείλας σὺν δυνάμει πρὸς τὸ Βυζάντιον, ὡς αὐτίκα τοῦτο παραληψόμενον. ᾐώρητο γὰρ ἐλπίσιν ὡς ὑπτίαις τὸ τοῦ λόγου χερσὶν οἱ τῆς συγκλήτου βουλῆς αὐτὸν ὑποδέξονται διὰ τὴν πρὸς τὸν λογοθέτην Νικηφόρον* W III 230 *ἀπέχθειαν καὶ τὴν τοῦ βασιλέως ἀφέλειαν· ἀλλ᾽ οὐ κατὰ τὸν σκοπὸν αὐτῷ καὶ τὰ πράγματα ἀπηντήκασιν.* P II 290 *ἐπελθόντες γὰρ οἱ σταλέντες τῷ τείχει τῶν Βλαχερνῶν ἠκροβολίσαντο μέν, ἤνυσαν δὲ οὐδέν. ὅθεν διὰ τῆς γεφύρας διαβάντες εἰς τὴν ἀντικρὺ τῆς πόλεως ἤπειρον τὰς ἐκεῖ τυγχανούσας οἰκοδομὰς παρέδοσαν τῷ πυρί, κἀκεῖθεν εἰς τὸν Ἀθύραν ὑπέστρεψαν. οὕτω δ᾽ ὁ βασιλεὺς περιστατούμενος πάντοθεν τὸν Ῥουσέλιον λύει τε τῶν δεσμῶν καὶ ῥήμασι καὶ χρήμασι τὸν ἄνδρα ἐκμειλιξάμενος ἐπελθεῖν πείθει τῷ τοῦ Βρυεννίου ὁμαίμονι μετὰ τοῦ προέδρου Ἀλεξίου τοῦ Κομνηνοῦ, στρατάρχοῦντος τῆς τῷ βασιλεῖ κατὰ τὸ Βυζάντιον προσούσης δυνάμεως. ὃ μαθὼν ὁ τοῦ Βρυεννίου ἀδελφὸς ἔφθη* B

διαδράς. τῶν Μακεδόνων μέντοι καταληφθέντες πολλοὶ οἱ μὲν ἔπεσον, οἱ δ' ἑάλωσαν.

18 Ἐν τοσούτῳ δὲ καὶ Πατζινάκων πλῆθος ἐπῆλθε κατὰ Ἀδριανουπόλεως, καὶ περὶ ταύτην παρεμβαλόντες τὴν πέριξ αὐτῶν ἐληίζοντο χώραν, οὓς ὁ Βρυέννιος δεξιωσάμενος χρήμασι μεταναστῆναι τῆς πόλεως ἔπεισε. περὶ δέ γε τὴν Κύζικον τῷ ἀδελφῷ αὐτοῦ ἀπελθόντι καὶ πειρωμένῳ ὑπαγαγέσθαι τοὺς ἐκεῖ ὁ Ῥουσέλιος ἐντυχὼν ἐτρέψατο κατὰ κράτος αὐτόν. ἄρτι δὲ τοῦ πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου πρὸς τὰς αἰωνίους μεταθεμένου μονὰς ἐπὶ δέκα ἐνιαυτοὺς ἐφ' ἑνὶ καὶ μησὶν ἑπτὰ τὴν ἐκκλησίαν ποι-
C μάναντος προεχειρίσθη πατριάρχης Κοσμᾶς μοναχός, λόγοις μὲν οὐχ ὡμιληκώς, ἀρεταῖς δὲ παντοίαις κοσμούμενος, καὶ διὰ τοῦτο καὶ πρὸς τοῦ βασιλέως ἐξόχως τιμώμενος. ὁ μέντοι Βοτανειάτης ἐκ διαφόρων γενῶν ἑαυτῷ περιποιησάμενος τάγματα καὶ Τούρκους προσηταιρίσατο, ὧν ἐξῆρχεν ὁ Κουτλουμούς, τῶν παρὰ Πέρσαις τυγχάνων περιφανῶν, ὃς τῷ Σουλτάνῳ κατὰ γένος προσήκων περὶ τῆς ἀρχῆς αὐτῷ διεφέρετο, καὶ πρὸς πολέμους ἤδη χωρεῖν ἡτοιμάζοντο. τοῦτο τῷ Χαλιφᾷ ἀγγελθέν, οὗτος δὲ παρ' αὐτοῖς ὑπερβαλλόντως τετίμηται, ὡς ἐκ τοῦ γένους τοῦ Μουχούμετ κατάγεσθαι νομιζόμενος, εἰς ἀγωνίαν ἐνέβαλεν ἵνα μὴ παρ' αὐτοῖς ἐμφύλιος γένηται πόλεμος. αὐτίκα τοίνυν εἰ καὶ τῆς οἰκείας
D διατριβῆς μὴ ἐξιέναι τῷ Χαλιφᾷ μηδὲ δημοσιεύειν νενόμισται, ἐκεῖνος τοῦ ἔθους καταφρονήσας ἔξεισι καὶ ἄπεισι πρὸς τοὺς περὶ τῆς ἀρχῆς ἀντερίζοντας, καὶ πείθει τούτους τῆς μὲν μάχης ἀφέξεσθαι, τὸν δὲ Σουλτὰν ἔχειν μὲν τὴν οἰκείαν ἀρχὴν ἀνακρωτηρίαστον, συνάρασθαι δὲ τῷ συγγενεῖ παντοίως, ἐν κα-

τασχέσει γενέσθαι χώρας Ῥωμαϊκῆς καὶ ταύτης ἄρχειν. ἐπὶ τούτοις γενομένων ἐκείνοις συμβάσεων, ὁ Κουτλουμοὺς εἰς τὴν ὑπὸ Ῥωμαίους ἐγένετο καὶ τότε τῷ Βοτανειάτῃ συνεστρατεύετο. ἔχων οὖν στρατιὰν ἀξιόλογον ὁ Βοτανειάτης μεθ' ἑαυτοῦ ἔσπευδε τὴν Νίκαιαν καταλήψεσθαι. ἤδη γὰρ προυδέδοτό οἱ ἡ πόλις αὕτη παρὰ τῶν τεταγμένων αὐτῆς ἐπὶ φυλακῇ, κἀκεῖνοι αὐτῷ ἐθελονταὶ προσεχώρησαν, κἀκ τῆς μεγαλοπόλεως δὲ πολλοὶ καθ' ἑκάστην προσεφοίτων P II 291 αὐτῷ. οὕτω μὲν οὖν τῷ Βοτανειάτῃ κατὰ ῥοῦν ἐχώρουν τὰ πράγματα. ἐν δὲ τῇ τῶν πόλεων ὑπερκειμένῃ παμπληθεὶ συνελθόντες τό τε ταύτης δημοτικὸν καὶ τὸ ὑπερέχον ἐν ἄρχουσιν, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ κεκληρωμένων τὸ ἔκκριτον, κατὰ τὴν ἡμέραν τῆς τοῦ εὐαγγελισμοῦ πανηγύρεως αὐτοκράτορα τὸν Βοτανειάτην ἀναγορεύουσι, προεξάρχοντος τοῦ τοιούτου συλλόγου τοῦ πατριάρχου Ἀντιοχείας, τοῦ καλουμένου Αἰμιλιανοῦ, καὶ τοῦ μητροπολίτου Ἰκονίου. διαιρεθέντες οὖν κατὰ φατρίας τῆς πολιτείας οἱ ἔξοχοι, καὶ κατὰ φάλαγγας συνασπίσαντες, ἐπίασι τῶν ἀνακτόρων τοῖς πρὸς τὸν ἀνίσχοντα ἥλιον, καὶ τούτων κρατήσαντες στρατιώτας οἰκείους ἐφιστῶσιν εἰς αὐτῶν φυλακήν. W III 231 B τὸν δὲ βασιλέα σὺν τῇ βασιλίσσῃ Μαρίᾳ καὶ τῷ υἱῷ εἰς τὰ ἐν Βλαχέρναις καταπεφευγότα ἀνάκτορα καθαιροῦσι τῆς βασιλείας καὶ ῥάκος ἀμφιεννύουσι μοναχοῦ καὶ πρὸς τὴν μονὴν τοῦ Στουδίου ἀπάγουσιν, ἀπολελαυκότα τῆς βασιλείας ἐν ἔτεσιν ἓξ καὶ τοσούτοις μησί. ταῦτα κατὰ τὸ σάββατον γέγονεν, ἐν ᾧ τὴν ἐπὶ τῇ ἐκ νεκρῶν ἐγέρσει τοῦ Λαζάρου θαυματοποιίαν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν πανηγυρίζειν ἡ ἐκκλησία παρείληφε. τοῦ γὰρ Μιχαὴλ οὕτω τῆς

βασιλείας ἐκπεπτωκότος, ἀπραγμάτευτον εὗρεν ὁ Βοτανειάτης τὴν αὐταρχίαν καὶ ᾔει πρὸς τὴν βασιλίδα τῶν πόλεων. ὁ μέντοι Νικηφόρος ὁ λογοθέτης τῷ Ῥουσελίῳ ἐν Ἡρακλείᾳ σκηνουμένῳ τῆς πόλεως C *ὑπεξελθὼν προσεχώρησεν. οἱ δ' ἐν τῇ πόλει τὸν Μιχαὴλ κατασπάσαντες, ἐπὶ τρισὶν ἡμέραις βασιλέως χηρεύοντα συντηρήσαντες τὰ βασίλεια τῷ Βοτανειάτῃ ἐπισπεῦσαι καὶ ἐλθεῖν ἐπιστέλλουσιν. ὁ δὲ ἕνα τῶν οἰκείων δούλων προπέμψας, τὸν Βορίλαν φημί, καὶ δι' αὐτοῦ κατασχὼν τὰ ἀνάκτορα, ἐπικατέλαβε κἀκεῖνος μετ' οὐ πολύ.*

19 *Ἐπεὶ δ' ἐν τοῖς βασιλείοις ὁ Βοτανειάτης ἐγένετο, ἀναδεῖται κατὰ τὴν μεγάλην τρίτην παρὰ τοῦ πατριάρχου βασιλικῇ ταινίᾳ, καὶ πρῶτον ἅπασι παρέσχε τὸ φιλοτίμημα τὰς εἰς τὸ δημόσιον ἁπάντων κοινῶς ὀφειλὰς ἐκτεμὼν ἀπροσδιορίστως καὶ* D *χρεοκοπίαν τούτων θεσπίσματι μεγαλοπρεπῶς ἐργασάμενος. ἔτι δὲ τῷ Βρυεννίῳ κατὰ τὴν ἑσπέραν ἐχομένῳ τῆς τυραννίδος στέλλει τοὺς ἀπαγγέλλοντας τὴν τοῦ Καίσαρος ἀξίαν αὐτῷ διδόναι, εἰ τῆς τυραννίδος ἀπόσχοιτο, καὶ τοῖς αὐτῷ συναραμένοις τὰς τιμὰς ἐπιβεβαιῶσαι, αἷς αὐτοὺς ἐκεῖνος ἐτίμησεν. ὁ δὲ σφόδρα τῆς βασιλείας ἐφίετο καὶ ἀνένδοτος ἦν. πάλιν οὖν ἑτέρα πρεσβεία καὶ ἐπὶ ταύτῃ τρίτη. ὁ δ' ὑπερηφανεύετο, καὶ οὐδὲ κατὰ τὰ τῶν πρέσβεων νόμιμα τοὺς πρέσβεις ἐδέχετο, ἀλλ' ἀτίμως αὐτοὺς ἀπεπέμπετο. ὡς οὐδὲν οὖν εἰρηνικῶς ἀνύειν ἔγνω ὁ βασιλεύς, καὶ ἄκων πρὸς μάχην ἀπένευσε, καὶ τὸν Κομνηνὸν Ἀλέξιον τετιμηκὼς νωβε-* PII292 *λίσσιμον, καὶ προχειρισάμενος μέγαν δομέστικον καὶ τῶν Ῥωμαϊκῶν αὐτὸν δυνάμεων προστησάμενος, κατὰ τοῦ Βρυεννίου ἐξέπεμψεν· ὃς τούτῳ συμβαλὼν κατὰ*

τι χωρίον Καλαβρύην λεγόμενον διὰ τὸ κατάρρυτον εἶναι τὸν τόπον βρύσεσιν ὑδάτων πολλαῖς τε καὶ ἀγαθαῖς ῥᾳδίως τῆς ἐκείνου περιεγένετο στρατιᾶς, καὶ τῶν μὲν πεσόντων, τῶν δὲ φυγόντων, εἷλε μονωθέντα τὸν τυραννήσαντα, καὶ τοῦ φωτὸς τὸν δείλαιον ἀπεστέρησε καὶ εἰσήγαγε τυφλὸν εἰς τὴν βασιλεύουσαν. καὶ ἡ μὲν τοῦ Βρυεννίου εἰς τοῦτο τέλους κατήντησεν ἐπανάστασις. ἐπανέστησαν δὲ καὶ οἱ Βάραγγοι κατὰ τοῦ βασιλέως, ἀνελεῖν αὐτὸν μελετήσαντες. ἀντιταξαμένης δ' αὐτοῖς χειρὸς ἑτέρας Ῥωμαϊκῆς, εἰς ἱκεσίαν ἐτράποντο, καὶ συγγνώμης ἐπέτυχον. τῷ δὲ βασιλεῖ τούτῳ τῆς ὁμοζύγου B τελευτησάσης, πολλαὶ μὲν ἐμνηστεύοντο παρθένοι, καὶ πρὸ τῶν ἄλλων ἡ τοῦ βασιλέως τοῦ Δούκα θυγάτηρ Ζωή. ὁ δὲ ἢ τὴν βασιλίδα Εὐδοκίαν ἤθελεν ἀγαγέσθαι ἢ τὴν ἐξ Ἀλανῶν Μαρίαν, τὴν τῷ πρὸ αὐτοῦ συνοικήσασαν. στέλλει γοῦν τὴν Εὐδοκίαν μετακαλούμενος. ἡ δέ, ὡς λόγος, οὐκ ἀπηνήνατο, ἐκωλύθη δὲ πρὸς τοῦτο ὁ βασιλεὺς παρά τινων μοναχῶν. καὶ ἄγεται τὴν βασιλίδα Μαρίαν, οὐδὲν ἧττον παρανομήσας ἢ εἰ τὴν Εὐδοκίαν ἠγάγετο· W III 232 μοιχεία γὰρ ἦν ἀπηρυθριασμένη τὸ τολμηθέν. διὸ καὶ ὁ τὴν ἱερολογίαν τετελεκὼς ἐπ' αὐτοῖς τῆς ἱερωσύνης ἐκπέπτωκεν. ὁ μέντοι προβεβασιλευκὼς Μι- C χαήλ, ὡς εἴρηται, τὴν τρίχα καρείς, ψήφῳ συνοδικῇ μητροπολίτης Ἐφέσου κεχειροτόνητο, καὶ ἅπαξ φοιτήσας ἐκεῖ ἐπανῆλθε, καὶ ἐν τῇ τοῦ Μανουὴλ μονῇ ἐποιεῖτο τὴν δίαιταν. μετὰ δὲ τὸ τὸν Βοτανειάτην τῆς βασιλείας ἐκπεπτωκέναι θνήσκων οὗτος ὁ Μιχαήλ, πολλὰ δεηθείσης αὐτοῦ τῆς βασιλίσσης Μαρίας, ἤδη κἀκείνης μοναχῆς γεγονυίας, συγγνώμην ἔνειμε ταύτῃ καὶ συγχώρησιν ἐπηύξατο ἐκ θεοῦ. ὁ

δὲ πρωτοπρόεδρος Νικηφόρος ὁ Βασιλάκιος, τοῦ Βρυεννίου γενόμενος ἐπὶ τῷ Δυρραχίῳ διάδοχος, καὶ αὐτὸς ἔρωτα τῆς βασιλείας ἐνεκυμόνησε, καὶ στρατιὰν ἀθροίσας σὺν αὐτῇ πρὸς Θεσσαλονίκην D ἀνῄει. ἔνθα μαθὼν ὡς ὁ Βοτανειάτης βεβασιλεύκει, ἐκείνῳ μὲν ἐπέστειλε δουλικῶς, λάθρᾳ δὲ τὰ τῆς ἀποστασίας ἐτύρευε καὶ πρὸς συμμαχίαν μετεπέμπετο Πατζινάκας. ὃ γνοὺς ὁ Βοτανειάτης χρυσόβουλλον αὐτῷ στέλλει γραφήν, ἅμα μὲν περιποιοῦσαν αὐτῷ ἐφ' οἷς ἐτόλμησε τὸ ἀμέριμνον, ἅμα δὲ καὶ τιμὴν αὐτῷ νωβελισσίμου βραβεύουσαν· ἀλλ' ἐκεῖνος ἄτεγκτος ἦν. ὅθεν καὶ κατ' αὐτοῦ ὁ Κομνηνὸς Ἀλέξιος στέλλεται, τιμηθεὶς σεβαστός, καὶ κατὰ Θεσσαλονίκην γενόμενος καὶ τῷ Βασιλακίῳ συμμίξας τοὺς περὶ ἐκεῖνον κατετροπώσατο, κἀκεῖνον εἰς τὴν τῆς Θεσσαλονίκης συμφυγόντα ἀκρόπολιν πολιορκίᾳ ἐζώγρησε, καὶ τοὺς ὀφθαλμοὺς ἐξέκοψε τοῦ ἀνδρὸς κελεύσει βασιλικῇ. καὶ ἄλλοι δὲ ἀντάραντες PII293 ἦσαν χεῖρας τούτῳ τῷ βασιλεῖ, ἀλλ' ἐκ τῶν περὶ τὸν Βρυέννιον συμβάντων καὶ τῶν περὶ τὸν Βασιλάκιον σωφρονισθέντες τὰ ὅπλα κατέθεντο. τῶν Τούρκων δὲ τὴν ἑῴαν κατατρεχόντων, στέλλει κατ' αὐτῶν ὁ βασιλεὺς σὺν ἀξιομάχῳ στρατεύματι Κωνσταντῖνον τὸν υἱὸν τοῦ προβεβασιλευκότος Κωνσταντίνου τοῦ Δούκα, ἐκεῖνον στρατάρχην τῆς κατὰ τῶν Τούρκων στρατιᾶς προστησάμενος. ὁ δὲ πρὸς τὴν καλουμένην Χρυσόπολιν διαπεραιωθεὶς νεωτερίζει εὐθύς, καὶ παρὰ τῆς ἐκεῖσε οὔσης στρατιωτικῆς πληθύος ἀναγορεύεται βασιλεύς. ἀλλὰ τοὺς μὲν τῶν στρατιωτῶν δώροις ὁ βασιλεὺς ὑπηγάγετο, τοὺς δ' ἀξιωμάτων τιμαῖς ᾠκειώσατο, ἄλλους δ' ἄλλως μετεχειρίσατο, καὶ παρ' αὐτῶν συσχεθεὶς ὁ Κων-

σταντῖνος παρεδόθη τῷ βασιλεῖ. κείρεται τοίνυν ὁ B νεανίας καὶ εἰς νῆσον περιορίζεται. λόγος δ' ἔχει καὶ ἱερέα χρισθῆναι τὸν ἄνθρωπον. τοῦ πατριάρχου δὲ Ἀντιοχείας τοῦ Αἰμιλιανοῦ τὸν βίον μετηλλαχότος προκεχείριστο ἕτερος Νικηφόρος ὁ Μαῦρος λεγόμενος. οὗτος τοίνυν ὁ βασιλεὺς τὸ μέν τι καὶ διὰ γῆρας βαθύ, τὸ δέ τι καὶ διὰ φυσικὴν χαύνωσιν, οὐ πάνυ τι τῆς τῶν πραγμάτων ἥπτετο διοικήσεως, ἀλλὰ τὸν Σίδης μητροπολίτην καὶ οὗτος προσλαβόμενος ἐκείνῳ τὴν τῶν κοινῶν ἀνέθετο πρόνοιαν. ἦσαν δὲ τῷ βασιλεῖ τούτῳ καὶ δύο δοῦλοι, ὧν ὁ μὲν Βορίλος, ἅτερος δὲ Γερμανὸς ὠνομάζοντο· οὗτοι τοίνυν ἦγον τὰ πάντα καὶ ἔφερον ὡς ἐβούλοντο, καὶ αὐτὸν τὸν κρατοῦντα καὶ κύριον ἑαυτῶν, δι' οὓς καὶ μισεῖσθαι τοῦτον παρὰ τῶν ἐν τέλει συνέβαινε, προσφερομένων τῶν δούλων ἐκείνοις ἀλαζονικώτερον καὶ θρασύτερον. ὡς ἤδη δὲ εἴρηται, ὁ C λογοθέτης Νικηφόρος προσχωρήσας τῷ Ῥουσελίῳ ὑπὸ δεσμοῖς παρ' ἐκείνου τετήρητο. ἀλλ' αἰφνίδιον θανὼν ὁ Ῥουσέλιος ὑποψίαν παρέσχεν ὡς παρὰ τοῦ λογοθέτου φαρμάκῳ ἀνῄρηται. διὸ καὶ παρὰ τῶν τῷ Ῥουσελίῳ προσηκόντων τῷ Βοτανειάτῃ παραδοθεὶς εἰς μίαν τῶν πρὸ τῆς βασιλίδος τῶν πόλεων κειμένων νήσων περιορίζεται. οἱ δέ γε περὶ τὸν βασιλέα δεδοικότες ὡς εἰ εἰς ὄψιν ἐλεύσεται τῷ βασι- W III 233 λεῖ, προσληφθήσεται καὶ πάντας παραγκωνίσεται, ὑποτιθέασι τῷ Βοτανειάτῃ ἀμυθήτων εὐπορεῖν χρημάτων τὸν λογοθέτην, καὶ ταῦτα τῷ βασιλικῷ χρῆναι προσενεχθῆναι ταμείῳ. στέλλεται τοίνυν ὁ Στραβορωμανός, μέγας ἑταιρειάρχης τότε γενόμενος, ἐρω- D τήσων τὸν ἄνθρωπον ὅπῃ αὐτῷ τὰ χρήματα κέκρυπται. οἱ δὲ περὶ τὸν βασιλέα, οὓς καὶ δεδοικέναι

τὴν τοῦ λογοθέτου παρουσίαν ὁ λόγος προδιηγήσατο, πείθουσι τὸν Στραβορωμανὸν ἀνελεῖν τὸν ἄνθρωπον ἐκ τρόπου παντός. ὃς καὶ γενόμενος κατὰ τὴν νῆσον, ἐν ᾗ περιώριστο, ἐτάζει τὸν ἄνδρα οὕτω σφοδρῶς ὡς ἐν αὐταῖς ταῖς βασάνοις ἐναποψύξαι, καὶ ταῦτα ὑπισχνούμενον ὡς πάντα δοίη ἐν ἀπογράφοις, εἰ τὸν ἐτασμὸν διαφεύξοιτο. ὁ μὲν οὖν οὕτως ἀπόλωλεν.

20 *Οἱ δὲ Κομνηνοὶ ὁ Ἰσαάκιος καὶ ὁ Ἀλέξιος ὑπερβαλλόντως πρὸς τοῦ βασιλέως καὶ τετίμηντο καὶ*
PII294 *ἐστέργοντο, καὶ διαδόχους αὐτοὺς τῆς βασιλείας ὠνόμαζε. διὸ καὶ παρὰ τῶν περὶ τὸν Βοτανειάτην σφοδρῶς ἐβασκαίνοντο, καὶ μᾶλλον παρὰ τῶν εἰρημένων δύο δούλων αὐτοῦ, οἳ καὶ πρὸς ἐκεῖνον τοὺς ἄνδρας διέβαλλον ὡς τυραννίδα μελετῶντας καὶ τὴν εἰς αὐτοὺς τοῦ βασιλέως διάθεσιν ὑπώρυττόν τε καὶ παρεσάλευον. ἃ γνόντες οὗτοι, καὶ μή τι πάθωσι πτοηθέντες, ὡς δὲ λόγος, καὶ πάλαι παρ' ἑαυτοῖς τὸν τῆς βασιλείας τρέφοντες ἔρωτα, καὶ ἄλλοις οἷς ἐθάρρουν τὸ βούλευμα κοινωσάμενοι, ἐξῆλθον τῆς πόλεως, καὶ τὴν πόλιν Ἀδριανοῦ κατειληφότες εἰς ἑαυτοὺς τὸ στρατιωτικὸν ξύμπαν σχεδὸν ἐπεσπάσαντο. καὶ ἀναγορεύεται βασιλεὺς ὁ Ἀλέξιος, τοῦ*
B *μείζονος προτιμηθεὶς ἀδελφοῦ, ὅτι τε προσέκειντο τούτῳ οἱ στρατιῶται μᾶλλον ὡς στρατηγικωτέρῳ καὶ ὅτι σπουδῇ τε καὶ ὑποσχέσεσι παρὰ τῶν περὶ αὐτὸν μεθειλκύσθησαν. οὕτως οὖν ἀναρρηθεὶς ὁ Ἀλέξιος καὶ τοῦ Ἰσαακίου μὴ πάνυ τι πρὸς τὴν ἀνάρρησιν δυσχεράναντος, τὴν βασιλίδα καταλαμβάνει καὶ πρὸς πολιορκίαν ἡτοίμαστο. ὁ δὲ Βοτανειάτης τοῖς τείχεσιν ἐπέστησε φύλακας. ἦσαν δὲ περί τινα πύργον πρὸς τῇ πύλῃ τῆς πόλεως, ἣ Χαρσίου καλεῖται, φυ-*

*λάσσοντες Νέμιτζοι· ἔθνος δ' οἱ Νέμιτζοι Κελτικόν·
οὗτοι λάθρα τοῖς περὶ τοὺς Κομνηνοὺς ἐκοινολο-
γήσαντο περὶ προδοσίας τῆς πόλεως. ἕωθεν οὖν
κατὰ τὴν μεγάλην πέμπτην τῆς ἑβδομάδος τοῦ σω-* C
*τηρίου πάθους τοῦ σωτῆρος ἡμῶν οἱ μὲν περὶ τοὺς
Κομνηνοὺς τῷ κατ' ἀντικρὺ τοῦ παρὰ τῶν Νεμίτ-
ζων κατεχομένου πύργου ἐξωτέρῳ τείχει προσέβαλλον
κατὰ σύνθημα, οἱ δὲ ἐφεστῶτες αὐτῷ τοὺς προσ-
βάλλοντας ἔβαλλον καὶ ἀπεῖργον τοῦ προσιέναι ἀγ-
χοῦ. ὡς δ' ὑπὸ τῶν Νεμίτζων ἐκ τοῦ πύργου οἱ ἐν
τῷ τείχει ἐβάλλοντο, μὴ οἷοί τε ὄντες καὶ πρὸς τοὺς
ἐκτὸς ἀνθίστασθαι καὶ πρὸς τοὺς ἐντὸς ἀπομάχε-
σθαι, ἐξ ὑπερδεξίων εἰς αὐτοὺς ἀκοντίζοντας, ἐνέ-
δωκαν τῆς ὁρμῆς. οἱ δὲ τειχομαχοῦντες κλίμαξιν
αὐτίκα πρὸς τὸ τεῖχος ἀνῄεσαν, καὶ τὰ κλεῖθρα τῶν
πυλῶν διατεμόντες πελέκεσιν ἄνετον τοῖς συνωμό-* D
*ταις παρέσχον τὴν εἴσοδον. ὅπερ ἰδόντες οἱ τὸν ἐν-
τὸς τηροῦντες περίβολον, σύγκλυδες ἄνθρωποι καὶ
πολέμων οἱ πλείονες ἀδαεῖς ἢ μᾶλλον ἐξ ἀγοραίων
ἀθροισθέντες καὶ πληθύος δημότιδος, οἱ μὲν κατιόν-
τες ᾤχοντο, οἱ δὲ καὶ ἑαυτοὺς ἐπισφαλῶς κατακρη-
μνίζοντες ἔφευγον. ὅθεν κατὰ πολλὴν τοῦ κωλύ-
σοντος ἐρημίαν καὶ τὸν ἐντὸς περίβολον οἱ περὶ τοὺς
Κομνηνοὺς παρειλήφασι, καὶ τὰς τούτου πύλας ὁμοί-
ως ἀναπετάσαντες βατὴν τὴν πόλιν παντί που παρέ-
σχοντο, καὶ αὐτίκα πρὸς διαρπαγὴν χρημάτων οἱ
εἰσελθόντες ὡρμήκασι, σύμμικτον πλῆθος ἐκ Θρᾳκῶν
τε καὶ Μακεδόνων καὶ Ῥωμαίων ἄλλων καὶ βαρβά-* W III 234
*ρων συνεστηκός, οὐδὲν ἄμεινον πολεμίων πρὸς τοὺς
ὁμοφύλους διατιθέμενοι. καὶ μέχρι γὰρ ἐκχύσεως* P II 295
*αἱμάτων προυχώρησε τὸ κακόν, καὶ παρθένοι δὲ τῷ
θεῷ καθιερωμέναι ἀσεβῶς ἐμιάνθησαν, καὶ γυναῖκες*

ἀνδράσι συνεζευγμέναι πρὸς βίαν ὑβρίσθησαν, καὶ θεῖοι ναοὶ τὸν κόσμον αὐτῶν ἐσυλήθησαν, καὶ οὐδὲ τῶν ἁγίων κρατήρων ἀπέσχοντο, ἀλλὰ καὶ τούτους οἱ πάντολμοι καὶ τὰς ἱερὰς φιάλας τῆς ἀναιμάκτου καὶ φρικώδους θυσίας πλήρεις διήρπαξον, ἐκχέοντες τὰ ἅγια κατὰ γῆς. καὶ ὅσοις δὲ τῆς γερουσίας συνήντων, κατασπῶντες τῶν ἡμιόνων αὐτούς, ἐνίους δέ γε καὶ ἀποδύοντες, ἐν μέσαις ταῖς ἀγυιαῖς εἴων ἡμιγύμνους τε καὶ πεζούς. καὶ ταῦτα καθ' ὅλην τὴν ἡμέραν ἐπράττετο, καὶ τὸ δεινὸν ἄχρι τοῦ Βοὸς ἐπεφθάκει γινόμενον κοινόν τε καὶ πάνδημον, ἤδη δέ τινες καὶ μέχρι τοῦ Φιλαδελφίου ἢ καὶ προσωτέ- B *ρω ἐπέδραμον. οἱ δὲ Κομνηνοὶ εἰς τὴν προνομὴν σκεδασθέντων πάντων μόνοι σὺν εὐαριθμήτοις σφόδρα τοῖς περὶ αὐτοὺς κατελείφθησαν, καὶ ἕως τοῦ Ταύρου γενόμενοι προσωτέρω ἀπιέναι οὐκ ἐπεθάρρουν. τοσοῦτον γὰρ ἐψίλωντο ἀξιομάχου δυνάμεως ὡς εἰ τότε τούτοις ἐπῆλθόν τινες, ῥᾷον ἂν εἷλον αὐτοὺς καὶ δεσμίους τῷ Βοτανειάτῃ προσήγαγον. ἀλλὰ τὸ δόξαν ἤδη θεῷ μετατραπῆναι οὐκ ἦν. ἔνθεν τοι ὁ μὲν Βοτανειάτης μαθὼν τῶν Κομνηνῶν τὴν εἰσέλευσιν, ἄπεισιν αὐτίκα τῶν βασιλείων, αὐτοῦ που ῥίψας ἃ ὑπεδεῖτο φοινικόχροα πέδιλα, καὶ εἰς τὴν τῆς Περιβλέπτου μονὴν ἀπελθών, ἧς ἐκεῖνος μετὰ τὸν κατὰ τοὺς Ἀργυροὺς Ῥωμανὸν ἐκεῖνον τὸν αὐτοκράτορα κτήτωρ δεύτερος ἐχρημάτισε, κείρεταί τε τὴν τρίχα καὶ μεταμφι-* C *έννυται τὴν στολήν, τριβώνιον κατὰ μονάζοντας ἐνδυσάμενος. ἔνθα καὶ χρόνον ἐπιβιοὺς τινα τὸν χοῦν ἀπέθετο τῷ χοΐ, ταφεὶς παρ' αὐτῇ.*

Οἱ δὲ Κομνηνοὶ μηδενὸς αὐτοῖς ἀντιβαίνοντος τοῖς ἀνακτόροις προσπεφοιτήκασιν, ἀταλαιπώρως

*τούτοις ἐπιβάντες καὶ ὁμαλῶς μετὰ πολλῆς τῆς λειό-
τητος. τοιαῦτα σφίσι τὰ προσόδια γέγονε, τοιαῦτα
τὰ εἰς τὴν βασιλίδα τῶν πόλεων εἰσιτήρια, τοιαῦτα
τὰ τῆς βασιλείας ἐπιβατήρια. ἤδη δ' ἐν ἀσφαλεῖ* 21
*γεγονότες οἱ Κομνηνοὶ καὶ τὴν μητέρα σφῶν καὶ
τὰς ὁμευνέτιδας ἐκ τῆς μονῆς τοῦ Κανικλείου πρὸς
τὰ βασίλεια μετεστείλαντο. ἐκείνων γὰρ ἐπικεχειρη-
κότων ἀποστασίᾳ, εὐθὺς αἱ γυναῖκες εἰς τὸ μέγα* D
*τέμενος τῆς τοῦ θεοῦ λόγου Σοφίας προσπεφοιτή-
κασιν. ὅθεν παρὰ τοῦ Βοτανειάτου εἰς τὴν ῥηθεῖ-
σαν μονὴν μετηνέχθησαν, ἵνα μὴ ἔχοιεν πρὸς τοὺς
ἀποστατήσαντας διαπέμπεσθαι, οὐδὲν δ' ἕτερον ἀνι-
αρὸν ἐκείναις ἐπήνεγκε. μήπω δὲ σχεδὸν τοὺς πό-
δας τῇ βασιλείᾳ ἐρείσαντες αὐτίκα πολλῶν τοῦ
Βοτανειάτου πράξεων σχολὴν κατεψηφίσαντο, καὶ
οὐδ' ἐξότου ἦσαν ἐπικεχειρηκότες τῇ τυραννίδι τὴν
ἀθέτησιν τοῖς παρ' ἐκείνου πραχθεῖσιν ἐπήνεγκαν,
ἀλλὰ καὶ τοῦτον ὑπερήλαντο τὸν καιρόν, καὶ πολλὰ
τῶν ἐκείνῳ πεπραγμένων βασιλικῶς ἀνῃρήκασιν
οὗτοι ῥήματι βραχυσυλλάβῳ τυραννικῶς. εἶτα ὁ μὲν
Ἀλέξιος βασιλικὸν ἀναδεῖται διάδημα, τῷ δ' Ἰσαακίῳ
τὰ δευτερεῖα νενέμηνται τῆς τιμῆς, καινοῦ αὐτῷ* P II 296
*ἐπιφημισθέντος ὀνόματος· σεβαστοκράτωρ γὰρ ἐπε-
κλήθη καὶ ὑπερεῖχε τοῦ Καίσαρος. ἡ δὲ μήτηρ
τούτων, παρασήμων μὴ μετασχοῦσα βασιλικῶν διὰ
τὸ ἔνδυμα τὸ μοναχικὸν μήτε μὴν εὐφημίας καὶ
ἀναρρήσεως, μόνου μετεῖχε τοῦ τῆς βασιλείας ὀνό-
ματος, αὐτὴ δὲ τὴν τῶν πραγμάτων πᾶσαν διοίκη-* W III 235
*σιν ἀνεζώσατο. οὕτω μὲν οὖν τὰ τῆς βασιλείας παρὰ
τῇ μητρὶ νενέμηντο καὶ ἀμφοῖν τοῖς ὁμαίμοσιν.
ἤστην δὲ τῷ βασιλεῖ καὶ ἑτέρω διττὼ ἀδελφὼ νεω-
τέρω τὴν ἡλικίαν, ὧν τὸν μὲν πρωτοσέβαστον ἐτί-*

μησε καὶ μέγαν δομέστικον, τὸν Ἀδριανόν, τὸν Νι-
κηφόρον δὲ σεβαστὸν καὶ τοῦ στόλου δρουγγάριον.
B εἶχε δὲ καὶ ἐπ' ἀδελφαῖς κηδεστὰς τὸν Μελισσηνὸν
Νικηφόρον καὶ Μιχαὴλ τὸν Ταρωνίτην. τὸν μὲν
οὖν Ταρωνίτην τῇ πρώτῃ συνεξευγμένον τῶν ἀδελ-
φῶν, πάνυ στεργομένῃ πρὸς τῆς μητρὸς καὶ πρὸς
αὐτῶν τιμωμένῃ, πανυπερσέβαστον ὠνόμασαν, καὶ
τοῦτο καινίσαντες τὸ ἀξίωμα. τὸν δέ γε Μελισση-
νόν, ἀποστασίαν κἀκεῖνον κατὰ τοῦ Βοτανειάτου ἐν
τῇ ἑῴᾳ φρονήσαντα καὶ ἔτι ταύτης ἐχόμενον, ἐπὶ
συμβάσει τετιμήκασι Καίσαρα καὶ τὴν πόλιν αὐτῷ
Θεσσαλονίκην εἰς κατοικίαν ἀπένειμαν, καὶ χορηγίαν
χρημάτων καὶ τούτῳ καὶ πᾶσι τοῖς αὐτοῖς κατὰ γέ-
νος προσήκουσι τύχῃ τοιᾷδε καὶ ἀξιωμάτων ὄγκῳ
τηλικῷδε ἀνάλογον προσαφώρισαν. ἐντεῦθεν τῶν
C βασιλείων προσόδων, μᾶλλον δ' εἰπεῖν τῶν κοινῶν
καὶ δημοσίων, οὕτω διανεμηθεισῶν τὸ βασιλικὸν
ταμιεῖον ἢ τὸ κοινὸν πρυτανεῖον ἐστένωτο. καὶ ὁ
κρατῶν σπανίζων χρημάτων τάς τε τοῖς ἀξιώμασιν
ἀνηκούσας ἀνέκαθεν ἐτησίας δόσεις ἐξέκοψε καὶ τὰς
τῶν συγκλητικῶν οὐσίας προσαφῃρεῖτο. ἔστεψε δὲ
καὶ τὴν κοινωνὸν αὐτῷ τοῦ βίου Εἰρήνην καὶ Αὐ-
γούσταν ὠνόμασεν· ἡ δ' ἦν ἐγγόνη τοῦ Καίσαρος
Ἰωάννου τοῦ Δούκα. ἡ δὲ πρῴην βασίλισσα ἡ ἐξ
Ἀλανῶν Μαρία σὺν τῷ ἰδίῳ υἱῷ Κωνσταντίνῳ, ὃν
τῷ Δούκᾳ Μιχαὴλ ἐν τῇ πορφύρᾳ ἐγείνατο, στε-
φθέντι παρὰ τοῦ οἰκείου πατρὸς ἔτι βρεφυλλίῳ τυγ-
χάνοντι καὶ πεδίλοις φοινικοῖς ὑποδουμένῳ, τῶν
D ἀνακτόρων μεθίσταται καὶ εἰς τὰ ἐν τῇ μονῇ τῶν
Μαγγάνων βασίλεια ἄπεισιν. ἤδη γὰρ εἰλήφει ταῦτα
καὶ τὴν μονήν, ἀλλὰ μέντοι καὶ τὴν τοῦ Ἑβδόμου
διὰ χρυσοσημάντου τοῦ Βοτανειάτου γραφῆς, ἔνθα

διῆγε σὺν τῷ υἱῷ, βασιλικὴν ὑπηρεσίαν ἑαυτῇ καὶ τῷ υἱῷ ἀποτάξασα. ἔτι γὰρ ὁ παῖς αὐτῇ περιέκειτο τὰ τῆς βασιλείας γνωρίσματα καὶ εὐφημεῖτο μετὰ τὸν αὐτοκράτορα καὶ τὰς χρυσοβούλλους γραφὰς μετ᾽ ἐκεῖνον ὑπεσημαίνετο. μετὰ δέ τινα χρόνον καὶ ἡ μήτηρ αὐτοῦ μετημφιάσθη, μέλαν ἐνδῦσα χρῶμα κατὰ τοὺς μοναχούς, τὸ μὲν ἑκοῦσα, τὸ δέ τι τυραννουμένη, καὶ ὁ παῖς ἀφῃρέθη τὰ περιπόρφυρα πέδιλα καὶ μόνῳ τῷ Κομνηνῷ ἡ τῆς αὐταρχίας κλῆσις καὶ ἡ βασιλεία περιελέλειπτο. οὕτω μὲν οὖν PII297 ταῦτα. ὁ δὲ τῆς βασιλίδος τῶν πόλεων ἀρχιερατεύων ὁ θεσπέσιος ἐκεῖνος Κοσμᾶς, τῇ τῶν κοινῶν πραγμάτων μεταχειρίσει ἀπαρεσκόμενος καὶ ἀπεγνωκὼς τὴν διόρθωσιν, τῷ ὑπηρέτῃ "ἆρον" εἰπὼν "τὸ ψαλτήριον καὶ συνέπου μοι" τῆς ἐκκλησίας ὑπανεχώρησε, καὶ πολλὰ παρὰ τῶν κρατούντων παρακληθεὶς ὑποστρέψαι οὐχ ὑπενόστησεν, ἔτη πέντε καὶ μῆνας ἐννέα τὸν πιστὸν ποιμάνας λαόν. διὸ καὶ ἄλλον τινὰ ἀρχιερέα τῇ ἐκκλησίᾳ ἀντικατέστησαν, ἐκτομίαν τινὰ μοναχόν, κεκλημένον Εὐστράτιον, οὔτε λόγοις ὡμιληκότα οὔτε πραγμάτων ἐγγεγυμνασμένον μεταχειρίσεσιν, ἀφελῆ δὲ ἄνθρωπον καὶ ἡσυχίᾳ ἢ γωνίᾳ μᾶλλον προσήκοντα. ἤδη δὲ τρεῖς οὕτως ἐνιαυτοὺς τῷ θρόνῳ ἐνσεμνυνάμενος κατηνέχθη B τῶν ἱερῶν ἀνακτόρων παρὰ τῶν κρατούντων· ἡ δ᾽ αἰτία οὐκ ἔγνωσται ἀκριβῶς. καὶ λοιπὸν προκεχείριστο πατριάρχης ἀνὴρ μοναχός, ὁ γραμματικὸς WIII236 ὀνομαζόμενος Νικόλαος, ἐν ἀσκήσει τὸν βίον διηνυκὼς καὶ οὐδὲ τῆς ἐν λόγοις παιδείας ἀμέθεκτος ὤν, κἂν μὴ κατακόρως ταύτης μετέσχηκεν.

22 Ἄρτι δὲ τῆς βασιλείας ἐπιβεβηκότι τῷ Κομνηνῷ ἠγγέλη ὁ Φράγγος Ῥομπέρτος εἰς τὴν Ἐπίδαμνον

διαπεραιούμενος, ἀνὴρ πανοῦργός τε καὶ πολεμικώτατος. αὐτίκα τοίνυν ὁ βασιλεὺς ἐξεστράτευσε, C καὶ γενόμενος κατὰ τὸ Δυρράχιον προσβάλλει τοῖς πολεμίοις, καὶ ἡττηθεὶς ἀκλεῶς ἔφυγε, πολλῶν ἐκεῖ πεσόντων οὐ τῶν τυχόντων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐν ὑπεροχαῖς καὶ βασιλείου τυγχανόντων ἐξ αἵματος, καὶ ἡ παρεμβολὴ ξύμπασα ἑάλω τοῖς πολεμίοις. ὁ μὲν οὖν βασιλεὺς ἡττημένος ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. οἱ δὲ βάρβαροι τῇ νίκῃ πεφυσημένοι ὁμόσε κατὰ πάντων ἐχώρουν, καὶ εἷλον τῶν πολισμάτων τινά, ὧν ἦσαν ἡ Καστορία τε καὶ ἡ Λάρισα. ὠνειροπόλουν δὲ καὶ αὐτὴν τὴν βασιλίδα τῶν πόλεων καταλήψεσθαι, ἀλλ' ὁ βασιλεὺς καὶ πάλιν ἐκστρατεύει, καὶ ἀπελαύνει μὲν τῆς Καστορίας τοὺς αὐτὴν φρουροῦντας βαρβάρους, ἄπεισι δὲ κατὰ D τοῦ Ῥομπέρτου καὶ στρατηγήματι τὴν ἐκείνου δεινότητα μέτεισι. τῷ γὰρ ἀδελφῷ Ἀδριανῷ τὸ σχῆμα τὸ βασιλικὸν περιτίθησι, καὶ στράτευμα δοὺς αὐτῷ ἐναντίον τοῦ Ῥομπέρτου στῆναι διακελεύεται· εἰ δ' ἐκεῖνος ὁρμήσει μαχέσασθαι, στρέψαι τὰ νῶτα καὶ αὐτίκα φυγεῖν. ταῦτα μὲν οὖν τῷ ἐσχηματισμένῳ βασιλεῖ ἐνετείλατο· ἐκεῖνος δὲ μετὰ τῆς λοιπῆς στρατιᾶς δι' ὁδῶν ἀδήλων περιοδεύσας καὶ τῷ τῶν Φράγγων ἐμβαλὼν χάρακι τάς τε σκηνὰς αὐτῶν καὶ τὰ ἐν αὐταῖς ἐληίσατο καὶ φόνον πολὺν ἐποιήσατο. τοῦ Ῥομπέρτου δὲ κατὰ τοῦ ἐσχηματισμένου βασιλέως ὁρμήσαντος, κἀκεῖνος καὶ ἡ σὺν αὐτῷ στρατιὰ τὰ χαλινὰ χαλάσαντες ἔφυγον. ὁ δὲ βάρβαρος ἐγαυρία μᾶλλον καὶ ἐπῆρτο, ὡς ἀπροσμάχητος. ἐν τούτῳ δ' ἀγγέλλεται αὐτῷ τοῦ χάρακος ἡ PII298 ἐκπόρθησις καὶ ἡ φθορὰ τῶν ἐκεῖ, καὶ εὐθὺς παρεῖτο καὶ τὰς χεῖρας καὶ τὴν ψυχὴν καὶ ἀπιὼν ᾤχετο.

ὁ δὲ βασιλεὺς ἐπανελθὼν εἰς τὴν Κωνσταντίνου, μηνυθείσης ἐπιβουλῆς αὐτῷ, τούς τε ταύτης πρωτουργοὺς συνέσχεν ἐκ τῶν ταγματικῶν ὄντας ἀρχόντων καὶ πολλοὺς τῶν ἐγχωρίων καὶ τῆς συγκλήτου βουλῆς, ὡς τάχα συνίστορας τοὺς πλείους, ὥς φασιν, οὐδὲ πρὸς ἀλήθειαν, ἀλλ' ἵνα σφᾶς γυμνώσῃ τῶν ὑπαρχόντων. ἡ μὲν οὖν τοῦ Ῥομπέρτου ἐπίθεσις πέπαυτο, ἑτέρωθεν δ' αὖθις τῇ Ῥωμαίων ἡγεμονίᾳ ἐχθροὶ ἐπανίστανται. οἱ γὰρ Τοῦρκοι τὴν ἑῴαν ὑφ' ἑαυτοὺς ποιησάμενοι οὐδὲ τῶν νήσων ἀπέσχοντο. ἀλλ' ὁ Τζαχᾶς, Τοῦρκος δὲ καὶ οὗτος οὐ τῶν ἐπιφανῶν, δεινὸς δὲ καὶ τὴν πονηρίαν πολύς, διὰ πλοιαρίων ὀλίγων ἀνωιστὶ τῇ νήσῳ Χίῳ προσορμισθεὶς κατέσχε ταύτην, καὶ στόλον ἐν αὐτῇ B ναυπηγεῖ, δι' οὗ τήν τε Λέσβον ἀνήρπασε καὶ τὴν Σάμον τήν τε Ῥόδον ὑφ' ἑαυτὸν ἐποιήσατο καὶ πλείους ἄλλας τῶν νήσων. ἐξηλάθη δ' αὖθις αὐτῶν, στόλου Ῥωμαϊκοῦ ἐπελθόντος ταῖς ἐκείνου τριήρεσι. καὶ ἡ νῆσος δ' ἡ Κρήτη, πρὸς δὲ τῇ καὶ ἡ Κύπρος ἀποστασίαν ἐνόσησαν, τὴν μὲν τοῦ Καρίκη κατεσχηκότος καὶ ἀντάραντος χεῖρα τῷ βασιλεῖ, τὴν Κύπρον δέ γε τοῦ Ῥαψομμάτου. ἀλλὰ καὶ αὗται τῇ Ῥωμαίων αὖθις οὐκ εἰς μακρὰν ἐπανεσώθησαν ἡγεμονίᾳ. ἐντεῦθεν ὁ βασιλεὺς ἀναλωμάτων δεόμενος τρόπους ἀποτροπαίους συλλογῆς χρημάτων ἐξεύρισκε, καὶ ὀφειλὰς ἀδίκους εἰσῆγον κατὰ τῶν ἀνθρώπων οἱ ἐπ' αὐτῷ τεταγμένοι, καὶ ἀφῃροῦντο C τὰς οἰκείας οὐσίας οἱ μηδὲν δικαίως ὀφείλοντες. ἐντεῦθεν ἀπογραφεῖς πανταχοῦ τῶν ἐν ἀγροῖς καὶ χωρίοις διαφερουσῶν τοῖς ὑπηκόοις ἐστέλλοντο κτήσεων, καὶ τὰ καινὰ τῶν ὀνομάτων ἐπινενόητο, τὰ W III 237 ὑπέρτιμα λέγω καὶ τὰ ὑπέρπλεα, καὶ ἄλλοτε ἄλλοι

τρόποι ἐπηρειῶν κατὰ τῶν ὑπηκόων εἰσήγοντο, καὶ ἱερὰ δ' ἀφῄρηντο ἐκ θείων ναῶν. οὗτος ὁ βασιλεὺς καὶ τὸ νόμισμα κεκιβδηλευμένον παρὰ τῶν πρὸ αὐτοῦ εὑρηκὼς χάλκεον ἔθετο, ᾧ εἰς τὰ τῆς βασιλείας ἐκέχρητο ἀναλώματα, τοὺς δέ γε φόρους διὰ χρυσίνων δοκίμων εἰσέπραττε, πῇ δέ γε καὶ δι' ἑτέρων, χρυσίνων μὲν κἀκείνων, ἀλλ' ἡμιχρύσων, ἔστι δ' [D] *οὗ καὶ διὰ τῶν χαλκέων ἐδασμοφόρει. ὅθεν χαλκοῦ δεόμενος πλείονος τοὺς ὀβολοὺς εἰς νόμισμα μετετύπωσε, καί τινα τῶν δημοσίων ἔργων, τῶν χαλκουργημάτων φημί, κατασπάσας εἰς στατῆρας συνέκοψε καὶ νέας δεκάτας ἐκαίνισεν. ἐγείνατο δὲ θυγάτριον ἡ Αὐγούστα τῷ βασιλεῖ, ὅπερ Ἄννα ὠνομάσθη διὰ τὴν πατρομήτορα, ἐφ' ᾗ τὸν τῆς βασιλίσσης Μαρίας υἱὸν Κωνσταντῖνον τῆς ἐξ Ἀλανῶν ὁ βασιλεὺς ἐμνηστεύσατο· ἐκείνου δ' ἐπὶ τῇ μνηστείᾳ τὴν ζωὴν καταλύσαντος, ὡς ὡραία γάμου ἡ θυγάτηρ ἐγεγόνει τῷ ἄνακτι, νυμφίον ἕτερον ἐπ' αὐτῷ εἰσῳκίσατο τὸν μείζω τῶν υἱῶν Νικηφόρου τοῦ Βρυεννίου, ὃν ὁ λόγος προέφηνε τῇ τυραννίδι ἐπιχειρήσαντα καὶ ἁλόντα καὶ πηρωθέντα τοὺς ὀφθαλμούς. τούτῳ τὴν θυγατέρα ταύτην κατεγγυή-* [P II 299] *σας τετίμηκε τὸν ἄνδρα πανυπερσέβαστον. γίνεται δὲ τῷ βασιλεῖ καὶ υἱός, ὃν ἐν τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ λόγου Σοφίας παρὰ τοῦ πατριάρχου καταξιωθέντα τοῦ θείου βαπτίσματος καὶ Ἰωάννην κληθέντα αὐτίκα ὁ πατὴρ καὶ διαδήματι ταινιοῖ. γεγόνασι δὲ τῷ βασιλεῖ καὶ ἕτεροι δύο υἱοί, Ἀνδρόνικός τε καὶ Ἰσαάκιος, καὶ θυγατέρες ἕτεραι τρεῖς, Μαρία, Εὐδοκία, καὶ Θεοδώρα. τῇ μὲν οὖν Μαρίᾳ τὸν τοῦ Γαβρᾶ ἐκείνου Θεοδώρου τοῦ σεβαστοῦ καὶ μάρτυρος υἱὸν τὸν Γρηγόριον ἐμνηστεύσατο. εἶτα τὴν*

μνηστείαν ταύτην λύσας, οὕτω δόξαν αὐτῷ, κἀκεῖ-
νον ἀποπεμψάμενος ἕτερον μνηστῆρα τῇ θυγατρὶ
ταύτῃ τὸν τοῦ Φορβηνοῦ υἱὸν τοῦ Κατακαλὼν τὸν
Νικηφόρον εἰσεποιήσατο. τῇ δ' Εὐδοκίᾳ τὸν τοῦ B
Ἰασίτου Κωνσταντίνου παῖδα συνέζευξεν. ὃς τῇ τε
συνεύνῳ οὐχ ὡς βασιλέως ἐκέχρητο θυγατρί, ἀλλ'
ἐκ τοῦ κρείττονος ὡμίλει ταύτῃ καὶ προσεφέρετο,
καὶ τῇ βασιλίσσῃ δὲ πλειστάκις προσκεκρούκει καὶ
πενθερᾷ, ἥπερ αὐτῷ προσοχθίσασα τὴν θυγατέρα
νοσήσασαν εὐθὺς ἀποκείρει καὶ τὸν Ἰασίτην ἀπε-
λαύνει τῶν βασιλείων. τῇ δέ γε τελευταίᾳ τῶν
θυγατέρων συνῴκισεν ὁ πατὴρ νεανίαν τὸ μὲν
εἶδος ἀγαλματίαν, τὸ δὲ γένος οὐ τῶν ἐπιφανῶν.
γέγονε δ' ἐπὶ τῆς βασιλείας τούτου κλόνος τῆς γῆς
φρικωδέστατος κατὰ τὴν ἡμέραν τῆς μνήμης τοῦ ἐν
θαύμασι περιωνύμου ἁγίου Νικολάου, ὑφ' οὗ πολ- C
λαί τε οἰκίαι καὶ ναοὶ κατηρείπωντο καὶ στοαί, δι'
ὧν αἱ τῆς πόλεως ὡρόφωνται ἀτραποὶ καὶ πλεῖστοι
ἐν τοῖς συμπτώμασι συνεχώσθησαν καὶ ἀπέθανον.

Κατὰ τούτους τοὺς χρόνους καὶ τοῦ τῶν Πατ- 23
ζινάκων ἔθνους ἡ συγκίνησις γέγονεν, ἐκ τῶν σφε-
τέρων ἠθῶν μεταναστεύσαντος εἰς χώραν Ῥωμαϊκὴν
καὶ τὴν Θρᾴκην πᾶσαν καὶ τὴν Μακεδονίαν ληιζο-
μένου. κατὰ τούτων ἐκστρατεύσας ὁ βασιλεύς, τῶν
στρατιωτῶν ἀλαζονευομένων, αἰσχρῶς ἥττητο. εἶτ'
αὖθις ἄπεισι κατὰ τῶν βαρβάρων, ταπεινωθείσης
τῆς στρατιᾶς καὶ τὸ πᾶν τῆς θείας ἐξαρτώσης ῥο-
πῆς, καὶ προσβάλλει τοῖς πολεμίοις. οἱ δὲ οὐδὲ τὴν D
ἔφοδον ὑπομείναντες τὰ ὅπλα κατὰ γῆς ἐρρίπτουν
καὶ οἰμωγαῖς τοὺς Ῥωμαίους ἐξεκαλοῦντο πρὸς ἔλεον.
ὤλετο μὲν οὖν πολύ τι τοῦ Σκυθικοῦ, οἱ λοιποὶ δὲ
συνελαμβάνοντο καὶ ἦσαν ὑπὸ δεσμοῖς, καὶ εἰς δου-

λείαν οἱ αἰχμαλωτεύσαντες αὐτοὺς ἀπεδίδοντο. ὁ δ' αὐτοκράτωρ πλῆθος ἀπολεξάμενος σφριγώντων καὶ ῥωμαλέων Σκυθῶν εἰς τὸ τῶν Μογλένων θέμα τούτους σὺν γυναιξὶ καὶ τέκνοις κατῴκισε, καὶ τάγμα τούτους κατέστησεν ἰδιαίτατον, οἳ καὶ μέχρι τοῦ δεῦρο κατὰ διαδοχὰς διαμένουσιν, εἰς ἐπίθετον σχόντες τὸν τό-
W III 238 πον, ἐν ᾧ κατῳκίσθησαν, καὶ Πατζινάκοι Μογλενῖται καλούμενοι. ἐπιβουλῆς δὲ μηνυθείσης αὐτῷ, πρωτουργοὺς ἐχούσης τὸν Οὐμπερτόπωλον καὶ τὸν Ἀριέβην, ὧν ὁ μὲν ἐκ Φράγγων εἷλκε τὸ γένος, ὁ δ'
P II 300 Ἀριέβης ἐξ Ἀρμενίων, καὶ ἄμφω δὲ τῶν ἐπιφανεστέρων καὶ στρατηγίαις ἐφεστηκότων, ἐκεῖνοί τε συνεσχέθησαν καὶ ὅσοι συμμετεῖχον αὐτοῖς τοῦ βουλεύματος. τοὺς οὖν τῆς μελέτης ἐξάρχοντας δύο ἄνδρας δημεύσει καταδικάσας καὶ ἀτίμῳ θριάμβῳ καὶ ἐπὶ τούτοις ὑπερορίᾳ ἐν τούτοις περιώρισεν αὐτοῖς τὴν ποινήν· ὅτε καὶ τὸ τῶν Μανιχαίων τάγμα τῆς στρατείας ἀπήλασεν, ἐκθέσμως μέχρι τότε δὴ στρατευόμενον· στρατεύεσθαι γὰρ τοὺς Μανιχαίους ἀρχαῖος νόμος καθάπαξ ἀπείργει. αὖθις δ' ἑτέρα κατὰ τοῦ βασιλέως τούτου συνέστη ἐπιβουλή, ἧς ἐξῆρχεν ὁ τοῦ βασιλεύσαντος ἐκείνου Διογένους υἱὸς ὁ Νικηφόρος ὁ τῆς πορφύρας βλαστός, ἀνὴρ τὴν μὲν ἰσχὺν ἀπαράμιλλος, τὴν δὲ τῆς γνώμης ἕξιν καὶ τὴν τῆς ψυχῆς γενναιότητα οὐ κατὰ τὴν σωμα-
B τικὴν πλουτήσας ἰσχύν. οὗτος τὸ μὲν δρᾶμα συνθέμενος, τὴν δὲ πρᾶξιν ὑπερτιθέμενος, ἔλαθε παθὼν ἢ δράσας ὡς ἐβουλεύσατο. ἑάλω γάρ, καὶ ἐτασμῶν ἀνάγκαις παραδοθείς, ἵν' ἐκκαλύψῃ τοὺς συνωμότας, τέλος ἐξεκόπη τὰ ὄμματα καὶ τὴν περιουσίαν ἀφῄρητο. εἶτα τὸ τῶν Φράγγων ἔθνος ἐκ τῶν ἑσπερίων συγκινηθὲν ἀνῄει πρὸς τὴν βασι-

λίδα τῶν πόλεων, ὡς ἐκ ταύτης εἰς τὴν ἑῴαν δια-
περαιωθησόμενον· ὧν τὴν συγκίνησιν θεοσημία τις
προεμήνυσεν. ἀκρίδων γὰρ ἄπειρόν τι πλῆθος, ἐκ
τῆς Ἑσπέρας τὴν γένεσιν ἐσχηκὸς καὶ τοσοῦτον ὡς
νέφεσιν ἱπτάμενον ἀπεικάζεσθαι καὶ συσκιάζειν τὸν
ἥλιον, διὰ τῆς μεγίστης τῶν πόλεων καὶ τῶν ταύτης
ὁρίων τὴν πτῆσιν ποιούμενον πρὸς τὴν ἑῴαν ὥρμητο,
κἀκεῖσε κατέπαυε. περαιωθέντες οὖν καὶ τῇ κατὰ C
Βιθυνίαν προσβαλόντες Νικαίᾳ, παρὰ τῶν Τούρ-
κων κατεχομένῃ, σὺν χρόνῳ μὲν καὶ φθορᾷ πολλῇ
ἑκατέρωθεν, τέως μέντοι τὴν πόλιν ᾐρήκασι. καὶ
ταύτην μὲν πολλῶν ἀπέδοντο χρημάτων τῷ βασιλεῖ,
οἱ δ' εἰς τὸ πρόσω προυχώρουν. καὶ οἱ μὲν τὴν
πρὸς τῷ Ὀρόντῃ εἷλον σὺν μόχθῳ καὶ φόνῳ πολλῷ
Ἀντιόχειαν, οἱ δὲ τῆς Ἱεροσολύμων μεγάλοις ἀγῶ-
σιν ἐκράτησαν πόλεως. ἀλλ' οὕτω μὲν τὰ τοῦ ἔθνους
ἔσχον τῶν Φράγγων συντετμημένως εἰπεῖν. αἵρεσις
δέ τις κατὰ τοὺς χρόνους τούτους ἀναπέφηνε μυ-
σαρὰ ἡ τῶν Βογομίλων. τῆς δὲ τοιαύτης αἱρέσεως
κῆρυξ ἦν καὶ μέγας διδάσκαλος καὶ προβολεὺς τῶν
παρ' αὐτοῖς ἀποστόλων Βασίλειός τις λεγόμενος D
ἰατρός, σχῆμα μὲν περικείμενος μοναχοῦ, αὐτὸν δ'
ἐκεῖνον ἐνδεδυμένος τὸν σατανᾶν, ὃς ἐν ἔτεσι μὲν
πεντεκαίδεκα τὰ τῆς πλάνης μαθὼν ὀλέθρια δόγματα,
ἐν δὲ δυσὶ καὶ πεντήκοντα διδάξας αὐτά, πᾶσαν
σχεδὸν τὴν οἰκουμένην τῆς οἰκείας λύμης ἐνέπλη-
σεν. εἶτα καὶ τῇ τῶν πόλεων βασιλίδι ἐπεχωρίασεν,
ἀλλ' ἑάλω ἐπ' αὐτοφώρῳ ὁ τῆς ἀληθείας ἐχθρός.
γνοὺς γὰρ τὴν ἐκείνου ἀσέβειαν ὁ κρατῶν ὑπεκρίθη
πίστιν ἔχειν εἰς ἐκεῖνον τὸν κακοδαίμονα, καὶ διδά-
σκαλον ἐκάλει καὶ σωτῆρα πλανωμένων ψυχῶν. τού-
τοις οὖν καὶ πλείοσιν ἄλλοις μόλις μὲν καὶ σὺν χρόνῳ,

ἴσχυσε δέ ποτε πεῖσαι τὸν ὀλέθριον ἐκεῖνον ἐξεμέσαι τὸν ἰὸν τῆς πονηρίας αὐτοῦ. ἐπεὶ δ' ἦν ἐντὸς
P II 301 ἀρκύων τὸ θήραμα, ἐδημοσίευσε μὲν τὴν ἐκείνου διδασκαλίαν καὶ τὰ δόγματα ἐξεφαύλισε, κοινῇ δὲ ψήφῳ πυρὸς αὐτὸν ἐν τῷ τῆς ἱππηλασίας θεάτρῳ παρανάλωμα ἔθετο. αὖθις δ' ἐπανάστασις ἑτέρα κατὰ τοῦ αὐτοκράτορος γέγονε, καὶ ὁ ταύτην συστησάμενος υἱὸν ἔλεγεν ἑαυτὸν εἶναι τοῦ βασιλεύσαντος Διογένους, ὃς Κομάνων πλῆθος προσεταιρισάμενος εἰς τἀπὶ Θρᾴκης τε χωρία γενόμενος καὶ τὴν χώραν κεραΐζων καὶ ληιζόμενος ἀπῄτει τοὺς ἐν ταῖς πόλεσι δέχεσθαί τε αὐτὸν καὶ ἀξιοῦν βασιλικῆς ἀναρρήσεως. εἶτα εἴς τι πολίχνιον τῶν Θρᾳκικῶν ἀπελθών, ἀπατηθείς τε παρὰ τῶν ἐν αὐτῷ καὶ ἀναρρηθείς, εἰσελθών τε μετ' ὀλίγων ἐντός, συνε-
W III 239 σχέθη καὶ ἐξεκόπη τοὺς ὀφθαλμούς. καὶ οὕτως ἡ
B ἐπιχειρηθεῖσα παρ' αὐτοῦ τυραννὶς διελέλυτο, τῶν Κομάνων, ὅσοι μὴ διεφθάρησαν, εἰς τὰ ἤθη παλινοστησάντων τὰ σφέτερα.

24 Οὗτος ὁ βασιλεύς, τοῦ ὀρφανοτροφείου ἐσχολακότος, ἀλλὰ μὴν καὶ ἄλλων γηροκομείων πολλῶν, τὰς πάντων κτήσεις τῷ ὀρφανοτροφείῳ προσνείμας καὶ αὐτὸς ἑτέρας προσαφορίσας, ἀνεκαίνισέ τε αὐτὸ καὶ ἀνενέωσε πολλοῖς ἀναλώμασι καὶ πλῆθος γηροκομουμένων αὐτῷ ἐγκατέστησεν. ἀλλὰ μὴν καὶ μοναζόντων καὶ μοναζουσῶν ἐν αὐτῷ ἐδείματο καταγώγια· πρὸς δὲ τοῖς καὶ διδασκαλεῖον γραμματικῶν, ἵν' ἐν αὐτῷ διδάσκοιντο παῖδες ὀρφανοὶ ἢ γονέων ἀπόρων, διδασκάλους ἐντάξας αὐτῷ καὶ παιδαγωγοὺς καὶ σιτήσεις ἀποτάξας τοῖς διδάσκουσί τε καὶ τοῖς μανθάνουσι. καὶ τὰ μὲν οὕτως ἔσχε καὶ μέχρι
C τοῦδε διατετήρηται. ἄλλο δ' αὖθις κατὰ τοῦ αὐτο-

κράτορος συνεστήσαντό τινες διαβούλιον, οὗ κορυφαῖος μὲν ἦν ὁ Ἀνεμᾶς Μιχαήλ, συνίστορες δὲ πολλοὶ τῶν τὰ πρῶτα πραττομένων ἐν τῇ μοίρᾳ τῇ στρατιώτιδι. ἀλλὰ μήπω τῷ ἔργῳ ἐπιχειρήσαντες ἐγνώσθησάν τε καὶ συνελήφθησαν, καὶ τοῖς μὲν συνωμόταις ψίλωσις ἐπήχθη τῶν τριχῶν καὶ τοῦ πώγωνος, οὐ ξυρῷ, ἀλλὰ δρώπακι. τῷ δ' Ἀνεμᾷ ἄψαυστος μὲν ἡ κεφαλὴ καὶ ὁ πώγων τετήρητο, πήρωσις δὲ τῶν ὀφθαλμῶν αὐτοῦ κατεψήφιστο. ἔτι δὲ θριαμβευομένων αὐτῶν ἐπικαταλαμβάνει βασίλειον θέσπισμα, τῆς ποινῆς τὸν Ἀνεμᾶν ἐξαιρούμενον καί οἱ συγχωροῦν τῶν ὀμμάτων τὴν ἐκκοπήν. ἀφαιρεθέντες δὲ τὰς οὐσίας ὑπερορίαν ἄλλος ἀλλαχόθι κατεδικάσθησαν. ἡ μήτηρ δὲ τοῦ αὐτοκράτορος τούτου τῶν τῆς βασιλείας πραγμάτων ἀναδεξαμένη, ὡς D
εἴρηται, τὴν διοίκησιν, μέχρι πολλοῦ ταύτην μετεχειρίζετο, ὅθεν καὶ τὰ πρὸς κάκωσιν τῶν ὑπηκόων τότε γινόμενα ἐκείνῃ οἱ πλείονες ἐπεγράφοντο. ἤχθετο μὲν οὖν ὁ βασιλεὺς ὡς ἐν μόνῳ σχεδὸν τῆς βασιλείας ἀπολαύων ὀνόματι, ᾐδεῖτο δὲ τὴν μητέρα καὶ ἀκούσης ἐκείνης ἀφελέσθαι τὴν ἐξουσίαν οὐκ ἤθελεν. ἐπεὶ δ' ἐκείνῃ συνῆκεν ἀχθόμενον τὸν υἱόν, πτοηθεῖσα μὴ βιασθείη καὶ ἀθέλητον δόξῃ ποιήσασθαι τὴν μετάστασιν, παρακεχωρήκει πάντων τῷ υἱῷ τε καὶ αὐτοκράτορι καὶ τῶν βασιλείων ὑπανεχώρησε, τὴν τοῦ Παντεπόπτου μονήν, ἣν ἐκείνη ἐδείματο, κατοικίαν ποιησαμένη, παρ' ᾗ καί τινας ἐνιαυτοὺς παροικήσασα ἐντίμως τε καὶ βασιλικῶς, ἐς PII302
γῆράς τε βαθὺ καταντήσασα, μετήλλαξε τὴν ζωήν. ἕνα δ' ἐνιαυτὸν καὶ μικρόν τι πρὸς ὁ σεβαστοκράτωρ ἐπιβιοὺς τῇ μητρὶ κἀκεῖνος ἀπέτισε τὸ χρεών, κειράμενος τὴν τρίχα καὶ μεταμφιασάμενος κατὰ

μοναχούς, ὡς ἔγνω ἐπιλείπειν αὐτῷ τὸ βιώσιμον.
ἀπεβίω δ' ἐπὶ παισὶ πολλοῖς, οὕς, ἐπεὶ καὶ ἡ μήτηρ
αὐτῶν οὐδ' ὅλον ἐνιαυτὸν ἐπιζήσασα τῷ ἀνδρὶ με-
τέστη τῶν γεηρῶν, ὁ βασιλεὺς προσελάβετο, καὶ τοὺς
μὲν ἄρρενας συνῴκισε γυναιξί, τὰς δέ γε θηλείας
ἀνδράσιν ἐξέδοτο καὶ ἔστεργε καὶ εὐηργέτει τοὺς
ἀδελφόπαιδας. πρὸς δὲ τὴν κοινωνὸν τοῦ βίου ὁ
βασιλεὺς οὗτος οὔτ' ἀποστρόφως εἶχε τὸ πρότερον
B οὔτε λίαν ἐκείνῃ προσέκειτο, ἀφροδισίων δ' ἡττώ-
μενος οὐ πάνυ τὰ ἐς εὐνὴν ἐτύγχανε δίκαιος, ὅθεν
καὶ βέλεσιν ἡ Αὐγούστα ζηλοτυπίας ἐβέβλητο. ἐπεὶ
δ' ὁ χρόνος προήκων τῷ αὐτοκράτορι τὰ πυρφόρα
βέλη τοῦ ἔρωτος ἤμβλυνε, τότε πρὸς τὴν Αὐγούσταν
τρέψας τὸν ἔρωτα ὅλος ἦν τῆς πρὸς ἐκείνην στορ-
γῆς, καὶ ἤθελεν εἶναι σχεδὸν αὐτῆς ἀδιάσπαστος.
τοιαύτη μὲν οὖν τῇ βασιλίσσῃ ἐσύστερον ἡ διάθε-
σις, καὶ μεγάλα τότε ἠδύνατο, καὶ εἶχεν οὕτω μέχρις
ἂν ἔρρωτο τὸ σῶμα τῷ βασιλεῖ. ἐπεὶ δ' ἐκεῖνος τοὺς
πόδας ἤλγει καὶ τὰς βάσεις ἐβέβλαπτο καὶ περὶ τὰ
ἄρθρα τούτῳ μοχθηρᾶς ὕλης συνερρυήκεσαν ῥεύ-
C ματα καὶ ἦν ἐντεῦθεν κλινοπετής, κατῆρχεν ἡ βα-
σιλίς, καὶ τῷ ταύτης ἦν ὡς ἐπίπαν τιθέμενος ὁ
αὐτοκράτωρ θελήματι, καὶ πᾶσα ἡ ἐξουσία καὶ ἡ τῆς
W III 240 βασιλείας διοίκησις ἀνατεθῆναι αὐτῇ μετὰ παρέλευ-
σιν τοῦ ἀνδρὸς μεμελέτητο, ὡς καὶ τὸν υἱὸν καὶ βα-
σιλέα ὑποκεῖσθαι αὐτῇ. τῷ δὲ τὸ σκέμμα οὐκ ἀνε-
κτὸν ἐς ἄνδρας ἤδη τελοῦντι καὶ γυναικὶ πρὸ
πολλοῦ συναφθέντι τοῦ ἔθνους τῶν Οὔγγρων ἀρ-
χηγοῦ θυγατρὶ καὶ παίδων γεγονότι πατρί. ἐδε-
δοίκει γὰρ περὶ τῇ ἀρχῇ ἢ καὶ περὶ αὐτῇ τῇ ζωῇ,
ὁρῶν τὴν μητέρα πολλὴν περὶ τὴν πρεσβυτέραν τῶν
θυγατέρων ἐνδεικνυμένην σχέσιν καὶ περὶ τὸν ἐπ'

αὐτῇ κηδεστὴν τὸν Βρυέννιον. ὅθεν μετῄει τὸ συγγενές, ἀλλὰ μέντοι καὶ ξύμπαντας, καὶ τὰ καθ' ἑαυτὸν D πρὸς ἕκαστον λαθραίως ἀποκλαιόμενος ἀνεμίμνησκε τῶν ὅρκων τοὺς ἄνδρας, οὓς οἱ πλείονες αὐτῶν ἦσαν ὀμωμοκότες, ὡς οὐχ ἕτερον ἂν παρὰ τοῦτον μετὰ τὸν πατέρα δέξαιντο αὐτοκράτορα. οἱ δ' αὐτὸν ἐπεθάρρυνον, καὶ ἐπαρῆξαί οἱ καιροῦ καλοῦντος προθυμότατα ἐπηγγέλλοντο, ὅρκοις ἐμπεδοῦντες τὰς ὑποσχέσεις. ταῦτα δὲ τὴν βασιλίδα οὐκ ἐλελήθεισαν, δι' ἃ καὶ προσώχθισε τῷ υἱῷ. ἐντεῦθεν παντί που καθάπαξ προσιέναι οἱ ἀπείρητο, καὶ πάντοθεν σκοποί τε καὶ κατοπτῆρες ἦσαν αὐτοῦ. ὁ δὲ καὶ οὕτως οὐκ ἐπαύετο πρὸς ἑαυτὸν σχεδὸν τοὺς σύμπαντας ἐφελκόμενος, τοὺς μὲν δι' ἑαυτοῦ, τοὺς δὲ διὰ τῶν προσκειμένων αὐτῷ. προσέκειτο δ' αὐτῷ PII303 καὶ τῶν ἀδελφῶν ὁ νεώτερος· θάτερος δέ γε, δηλαδὴ ὁ Ἀνδρόνικος, τῷ συγγόνῳ καὶ βασιλεῖ ἠναντίωτο. ἤδη γὰρ καὶ οὗτοι ἀνδρωθέντες γυναιξὶ συνεξεύχθησαν. καὶ ὁ μὲν Ἀνδρόνικος σεβαστοκράτωρ τετίμητο, ὁ δ' Ἰσαάκιος καὶ ὁ Βρυέννιος Καίσαρες, ὁ δ' ἐπὶ τῇ δευτέρᾳ τῶν θυγατέρων τοῦ βασιλέως γαμβρὸς ὁ Φορβηνὸς πανυπερσέβαστος. εἶχον μὲν οὖν οὕτω ταῦτα, εἰ καὶ προδραμὼν ὁ λόγος τὰ ὕστερον διηγήσατο.

Εἷς δὲ τῶν εἰς τὴν ἑῴαν διαβάντων Λατίνων 25 καὶ ὁ τοῦ Ῥομπέρτου ἐκείνου, οὗπερ ἤδη ἡ ἱστορία ἐμνήσθη, ὑπῆρχεν υἱός, Βαϊμοῦνδος ὀνομαζόμενος, ὃς ἐκ τῶν ἑσπερίων μετὰ τῶν ὑπ' αὐτὸν ἀνιὼν δούλωσίν τε τῷ βασιλεῖ ἐπηγγείλατο καὶ συνθήκας B θέμενος πρὸς αὐτὸν ὅρκοις αὐτὰς ἐμπεπέδωκε, καὶ χρήματα λαβὼν σχεδὸν ὑπὲρ ἀριθμὸν τῇ κατὰ Κοίλην Συρίαν Ἀντιοχείᾳ ἐπιδεδήμηκε καὶ ταύτην πο-

λιορκίᾳ ἑλὼν οὐ μόνον τῶν ὡμολογημένων παραβάτης ἐγένετο, ἀλλὰ καὶ πόλεμον κατὰ Ῥωμαίων ἄρασθαι μεμελέτηκεν. ἐπανιέναι δὲ φροντίζων ἐκ τῶν ἑῴων εἰς τὰ ἑσπέρια ἐδεδίει μὴ ἐν τῇ ἐπανόδῳ χώρας Ῥωμαϊκὰς διιὼν κατασχεθείη παρά του τῶν χωρῶν ἐκείνων τὰς ἀρχὰς ἐμπεπιστευμένων καὶ ἀπαχθείη δεσμώτης, ὡς παραβάτης ὧν ἔθετο συνθηκῶν. τί γοῦν μηχανᾶται; ἑαυτοῦ καταψεύδεται θάνατον, καὶ λάρνακι ἐμβεβήκει, ἐντειλάμενος τοῖς θεράπουσι C λέγειν ὡς ἐτεθνήκει καὶ ὁ νεκρὸς ἐκείνου κομίζεται οἴκαδε. οὕτω λαθὼν εἰς τὴν χώραν αὐτοῦ διασέσωστο· ἔνθα πολλὰ κατειπὼν τοῦ βασιλέως πολλοὺς τῶν ὁμοεθνῶν ἆραι κατὰ Ῥωμαίων ὅπλα ἠρέθισεν, ὧν στρατάρχων ἐκεῖνος διεπεραιώθη πρὸς τὴν Ἐπίδαμνον, καὶ πολλὴν ἔθετο σπουδὴν ἐκπορθῆσαι τὸ ἄστυ αὐτῆς. χρόνον δὲ διατρίψας ἐν τῇ πολιορκίᾳ μακρόν, καὶ κακώσας μὲν τοὺς ἐν τῇ πόλει, οὐ μείω δὲ καὶ αὐτὸς κακωθείς, ἀπέγνω μὲν τοῦ Δυρραχίου τὴν ἅλωσιν, προέβη δ' εἰς ἕτερα, ἀλλὰ κἀκείνων διήμαρτεν· ὅθεν διαπρεσβεύεται πρὸς τὸν αὐτοκράτορα, συμβάσεις ζητῶν. ὁ δὲ τῇ Θεσσαλονίκῃ ἦν ἐνδη- D μῶν, καὶ ἀπάρας ἐκεῖθεν κατὰ τὴν Εὐρωπαίαν Κολώνειαν τὸν χάρακα ἔθετο, ἔνθα καὶ προσωμίλησε τῷ βαρβάρῳ, καὶ τὰς συνθήκας τῶν σπονδῶν ἐποιή- W III 241 σατο. ἡ μὲν οὖν τοῦ Βαϊμούνδου μάχη οὕτω πως διελέλυτο. ὁ δὲ πατριάρχης Νικόλαος ἐπὶ εἴκοσι πρὸς ἑπτὰ ἐνιαυτοὺς τὴν ἐκκλησίαν ἰθύνας καὶ ἐς γῆρας ἐλάσας βαθύ, νοσήσας ἀπεβίω· οὗ τὴν ἐκφορὰν μεγαλοπρεπῶς ὁ αὐτοκράτωρ ἐτίμησεν, εἶτα ἕτερον εἰς τὸν θρόνον τὸν πατριαρχικὸν ἐγκαθίδρυσεν, ἕνα μὲν τοῦ κλήρου τῆς ἐκκλησίας, τοῦ τῶν διακόνων δέ γε βαθμοῦ καὶ τοῖς πατριαρχικοῖς συν-

ταττόμενον ἄρχουσιν, ἀδελφιδοῦν δὲ τοῦ τῆς ἐν Χαλκηδόνι τότε προεδρεύοντος ἐκκλησίας, λόγοις ἐντεθραμμένον τοῖς τε θύραθεν καὶ τοῖς καθ' ἡμᾶς, PII304 *αὐτὸς ὁ βασιλεὺς τῇ ἐκκλησίᾳ ἐπιδεδημηκὼς καὶ αὐτὸν ἐν ταύτῃ προχειρισάμενος. μετὰ δέ τινα χρόνον νοσεῖ ὁ κρατῶν, καὶ οὕτως ἡ νόσος ἐκείνου κατίσχυσεν ὡς ἐκλελοιπέναι δοκεῖν. ἐν τούτῳ δὲ τοῦ σωτηρίου τοῦ σωτῆρος ἡμῶν ἐκτυπώματος, ὃ ἐν τῇ Χαλκῇ ἀνεστήλωται, τὸ θεῖον πέπλον, ὃ πρὸ τῆς εἰκόνος ᾐώρηται, κομισθὲν ἐφηπλώθη τῇ κλίνῃ ἐφ' ἧς ὁ κάμνων κατέκειτο, καὶ αὐτοῦ τὸ σῶμα περιεκάλυψε, καὶ ἡ τῆς νόσου σφοδρότης ὑπεδίδου εὐθύς. ὁ δὲ κεκίνητό τε καὶ ἀνεκάθισε καὶ ἐφώνησε καὶ ᾔτησεν ὕδωρ κατὰ χειρὸς καὶ τροφῆς ἀπεγεύσατο, καὶ ὁ μὲν ἀνερρώννυτο, ἡ δὲ νόσος ὑπέληγε. τοῖς δὲ πολλοῖς ἄπιστος ἦν ἡ ἀνάρρωσις. ἵνα γοῦν* B *πληροφορηθῶσι περὶ ταύτης οἱ ἀμφιβάλλοντες, ἔφιππος μετ' ὀλίγον διῆλθε τὴν ἀγοράν. ἀλλ' οὕτω μὲν τῆς νόσου ὁ αὐτοκράτωρ ἀπήλλακτο. αὖθις δὲ τὸν ἀστυπολοῦντα λαὸν δέος ὑπεισῄει ἀναίτιον· φήμη γὰρ περιῄει ἁπανταχοῦ τεθνάναι μέλλειν κατὰ τὸ μέγα σάββατον τοῦ ἐνιαυτοῦ ἐκείνου τὸν αὐτοκράτορα, καὶ οὐ τοῦ δημώδους μόνον πλήθους ἡ φήμη κατεκράτησεν αὕτη, ἀλλὰ καὶ τῶν ἐν τέλει καὶ τῶν περὶ τὸν κρατοῦντα, καὶ αὐτοῦ δὲ τοῦ βασιλέως διέσεισε τὴν ψυχήν, καὶ ταῦτα μηδὲ νοσοῦντος μηδέ τι τὸ ἐνοχλοῦν ἔχοντος. ἐπιστάσης δὲ τῆς λεγομένης ἡμέρας ἠλέγχθη τὸ φημιζόμενον μάταιον καὶ τῶν* C *πονηρῶν προσδοκιῶν ἀπηλλάγησαν ξύμπαντες.*

26 *Οὐ πολὺς ἐπὶ τούτοις παρῆλθε καιρὸς καὶ τῆς Βυζαντίδος ὁ αὐτοκράτωρ ἀποδημεῖ, καὶ τὴν γυναικωνῖτιν συνεπαγόμενος, καὶ ταῦτα καθ' ὥραν χει-*

μέριον, καὶ σκηνοῖ κατὰ τὴν Θρακῴαν Χερρόνησον. τοῦ δὲ χειμῶνος παρελθόντος καὶ τοῦ ἔαρος ἀναλάμψαντος, ἤδη καὶ τὸ θέρος ἐφίστατο, κἀκεῖθεν ὁ κρατῶν οὐ μεθίστατο, ἕως νόσος τῇ βασιλίσσῃ ἐνέσκηψε· τότε δὲ προεπέμφθη μὲν ἡ Αὐγούστα τριήρει βασιλικῇ, ὁ βασιλεὺς δ' ἔτι ἔμενε διάγων ἐκεῖ καὶ τοὺς στρατιωτικοὺς καταλόγους ἐπισκεπτόμενος, μέχρις ἂν ἐμεμαθήκει ὡς ἡ βασιλὶς κατηντήκει πρὸς D *τὰ βασίλεια. εἶτ' ἐκεῖθεν ἀπάρας διὰ μιᾶς ἡμέρας κατειλήφει τὴν μεγαλόπολιν. καὶ ἡ μὲν ἀνερρώννυτο, ὁ δὲ τῶν διοικήσεων εἴχετο, ὡς τὰ πολλὰ κατὰ τὸ Φιλοπάτιον ποιούμενος τὰς διατριβάς. καί οἱ τοιοῦτόν τι ἐπιτετήδευτο· τεταγμένας ἡμέρας ὡρίσατο, καθ' ἃς ἐκεῖσε δημοσίᾳ προυκάθητο ἀφορῶν πρὸς πεδιάδα πλατεῖαν. τῷ βουλομένῳ δὲ ἡ εἰς ἐκεῖνον πάροδος συγκεχώρητο, καὶ ἕκαστος τῶν δεομένων ἐπανετείνετο δεητήριον διδακτικὸν ὅτου δέοιτο. καὶ ταῦτα ἐνώπιον αὐτοῦ τιθέμενα ἐπέταττε τοῖς ὑπογραμματεύουσιν ἐπιέναι καὶ γνωρίζειν αὐτῷ τὰς ἑκάστων αἰτήσεις, καὶ αὐτίκα τὴν ἐφ' ἑκάστῳ ἀντιγραφὴν προσέταττε γίνεσθαι καὶ βεβαιουμένην τοῖς δεομένοις παρέχεσθαι. καὶ τοῦτ' ἐπὶ χρόνον ἱκανὸν ἐτηρεῖτο τῷ αὐτοκράτορι. εἶτ' αὖθις ἀποδημεῖ τῆς Βυζαντίδος, φθίνοντος ἤδη τοῦ μετοπώρου. συνῆν δὲ ἐκείνῳ καὶ ἡ βασίλισσα καὶ ἡ γυναικωνῖτις συνείπετο, καὶ περὶ τοὺς πρόποδας τοῦ ὄρους τοῦ Παπυκίου κατασκηνοῖ, ἔνθα τὸ τῆς ὥρας χειμέριον* PII305 *διαγαγὼν παγγενῇ. ἄρτι ἠργμένου τοῦ ἔαρος ἐκεῖθεν ἀπάρας τὴν Φιλιππούπολιν κατέλαβε. περὶ ταύτης οὖν τὰ ὅρια ὁ βασιλεὺς Ἀλέξιος σκηνωσάμενος ἐκεῖ τὸν ἐαρινόν τε καιρὸν καὶ τὸν θέρειον, ἤδη δὲ καὶ πολὺ τοῦ μετοπώρου διέτριβε, καὶ ἦν ἔργον*

αὐτῷ τῆς ἐκεῖσε διατριβῆς ἡ μετὰ τῶν Μανιχαίων διάλεξις, οὓς Παυλικιανοὺς ἡ δημώδης ὀνομάζει φωνή· πολὺ γὰρ τοῦτο τὸ γένος ἐν τῇ χώρᾳ ταύτῃ κατῴκισται, τοῦ βασιλέως Ἰωάννου τοῦ Τζιμισκῆ μεταγαγόντος ἐκ τῆς ἑῴας αὐτὸ κἀν ταύτῃ ἐγκατοικίσαντος W III 242 οἷς διαλεγόμενος πολλοὺς πρὸς τὴν ὀρθόδοξον πίστιν μετήνεγκεν. ἤδη δὲ μεσοῦντος τοῦ μετοπώρου ἐπανῆλθεν εἰς τὰ βασίλεια. τῆς δὲ βασιλίσσης μέγα δεδυνημένης, καὶ τῷ κηδεστῇ τῷ Βρυεννίῳ B τῷ Καίσαρι πολλή τις ἦν ἰσχὺς καὶ δι' ἐκείνου πᾶν ἐν τοῖς ἀνακτόροις οἰκονομούμενον ἐκπεφώνητο. διὸ καὶ πάντες ἐκείνῳ προσῄεσαν καὶ δικάζειν αὐτῷ ἐπετέτραπτο καὶ βασιλικῶς ἐθεμίστευεν. ἦν γὰρ καὶ λόγοις προσκείμενος ὁ ἀνήρ, καὶ ἡ σύνοικος δέ οἱ οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον ἐκείνου, τῆς ἐν λόγοις παιδείας ἀντείχετο καὶ τὴν γλῶτταν εἶχεν ἀκριβῶς ἀττικίζουσαν καὶ τὸν νοῦν πρὸς ὕψος θεωρημάτων ὀξύτατον. ταῦτα δ' αὐτῇ προσεγένετο φύσεως ὀξύτητι καὶ σπουδῇ. προσετετήκει γὰρ ταῖς βίβλοις καὶ λογίοις ἀνδράσι καὶ οὐ παρέργως ὡμίλει αὐτοῖς. οὕτω δ' ὡς εἴρηται τῷ Καίσαρι τῶν πραγμάτων C συνενεχθέντων, διὰ πάσης ἦν γλώττης ᾀδόμενος ὁ ἀνήρ. ταῦτα δὲ τῷ βασιλέως υἱῷ τε καὶ βασιλεῖ πολλὴν τὴν ἀθυμίαν ἐνέσταζον καὶ εἰς ἀγωνίαν ἐνέβαλλον· ὁ δὲ καὶ οὕτως ἔχων ἐκαρτέρει. ἀλλὰ τὰ μὲν περὶ τούτων προϊὼν ὁ λόγος ἐκθήσεται, ἄρτι δὲ διηγησάσθω ἃ παραλέλοιπε. πολλοὶ κατὰ τοὺς τῆς αὐταρχίας χρόνους τοῦ βασιλέως τούτου γεγόνασιν ἐμπρησμοὶ ἐν διαφόροις τῆς πόλεως μέρεσι, καὶ πολλὰ ταύτης κατενεμήθη τὸ πῦρ καὶ ἠρείπωσεν. ἔπνευσε δέ ποτε τούτου κρατοῦντος καὶ ἄνεμος σφοδρός τε καὶ βιαιότατος ὥρας οὔσης ἐαρινῆς, ὑφ'

οὗ πολλά τε ἄλλα συνέβη συμπτώματα καὶ ἡ ἐν τῷ κυκλοτερεῖ καὶ μεγίστῳ πορφυρέῳ κίονι τῷ κατὰ τὸ D λεγόμενον Πλακωτὸν ἑστῶτι ἱδρυμένη στήλη κατήνεκτο καὶ πολλοὺς ἀνεῖλε τῶν παρατυχόντων ἐκεῖ. ἦν δὲ τὸ ἄγαλμα μεγέθει μὲν πάμμεγα, κάλλει δὲ θαυμάσιον, ὃ καὶ πεσὸν συντέθραυστό τε καὶ εἰς πολλὰ διετέτμητο. καὶ ὑετὸς δ' ἐν ἄλλῳ χρόνῳ κατερράγη σφοδρότατος, κατ' αὐτὴν τὴν ἡμέραν τῆς μνήμης τῶν κορυφαίων τοῦ Χριστοῦ μαθητῶν Πέτρου καὶ Παύλου, ὃς περὶ δείλην ὀψίαν ἠργμένος διήρκεσεν ἄχρι τῆς αὐτῆς ὥρας τῆς ἐπιούσης ἡμέρας ἀνένδοτος γεγονώς. ὅτε πολλαί τε τῇ φορᾷ τῶν ὑδάτων οἰκίαι κατέπεσον, καὶ αἱ κοιλάδες ὑδάτων πλησθεῖσαι οὐδὲν διέφερον θαλασσῶν, καὶ ἀνθρώπων οὐκ ὀλίγων καὶ ζῴων πολλῶν συμβεβήκει ἀπώλεια. ταῦτα μὲν οὕτω συνήνεκτο.

27 PII306 Ἀπηγγέλη δέ ποτε τῷ βασιλεῖ Τούρκων ἀθροίζεσθαι στρατιάν, βουλομένην ἐπελθεῖν ταῖς ὑπὸ Ῥωμαίους χώραις καὶ ταύτας ληίσασθαι. ἔτυχε δὲ τότε τοὺς πόδας ἀλγῶν, τοῦ ῥεύματος σφοδρότερον ἐπιρρεύσαντος καὶ περιωδυνίαις αὐτὸν καὶ ἀλγηδόσιν ὀξυτάταις πιέζοντος. ἐπεὶ γοῦν οὐκ εἶχε δι' ἑαυτοῦ κατὰ τῶν βαρβάρων στρατεύσασθαι, φάλαγγα κατ' αὐτῶν ἐκπέμπει στρατιωτῶν, φαλαγγάρχην ἐπιστήσας αὐτοῖς τὸν Καμμύτζην Εὐστάθιον, ἄνδρα τοῖς πρώτοις τεταγμένον τῶν στρατηγῶν. ὁ δὲ οὐκ ἐλαχίστῃ τῶν πολεμίων μοίρᾳ περιτυχὼν προσβάλλει τούτοις, ἡττήθη δὲ προσβαλών, καὶ αὐτὸς μὲν ἑάλω, οἱ δ' ὑπ' αὐτὸν οἱ μὲν ἔπεσον, οἱ δὲ φυγόντες ἐσώθησαν. ὡς δὲ ταῦτα τῷ βασιλεῖ κατηγγέλθησαν, B οὐκέτι καθεκτὸς ἦν ἐκεῖνος, ἀλλ' ἔξεισι, καὶ Τούρκοις μὲν ἐνέτυχεν οὐδαμοῦ, μαθόντες γὰρ τὴν κατ'

αὐτῶν τοῦ βασιλέως ὁρμὴν τοῖς ἵπποις ἐνδόντες τοὺς χαλινοὺς ἔφυγον ἀμεταστρεπτί, ἴσχυσε δὲ καὶ ὁ Καμμύτζης τὰς χεῖρας αὐτῶν ἐκφυγεῖν, τοὺς αὐτὸν φρουροῦντας μεγάλαις ὑποσχέσεσι πείσας συναποδρᾶναι αὐτῷ καὶ προσεληλυθέναι τῷ βασιλεῖ. καὶ ὁ μὲν πρὸς τὸν αὐτοκράτορα ἦλθε προσάγων καὶ τοὺς αὐτοῦ φύλακας αὐτομόλους. ὁ δὲ κρατῶν ἐκεῖνον μὲν ἡδέως εἶδε, τοὺς δ' ἐκεῖνον λελυκότας ἐδεξιώσατο χρήμασι, καὶ ἐπανῆλθεν εἰς τὸ Βυζάν- W III 243 τιον. οὐ πολὺς παρεῤῥύη καιρὸς καὶ ἔξεισιν αὖθις κατὰ τῶν βαρβάρων τούτων ὁ αὐτοκράτωρ, καὶ ἄπεισιν εἰς τὸ Φιλομήλιον· εὗρε δὲ τὸ ἄστυ τοῦτο κενὸν ὁπλιτῶν· πάντες γὰρ τὴν τοῦ αὐτοκράτορος ἐγνωκότες κατ' αὐτῶν ἔφοδον τὰ μὲν φίλτατα C μετέθεντο, ἐκεῖνοι δ' ἀνεχώρησαν. τὸ μὲν οὖν ἄστυ ἀπόνως ἐλήφθη. ἀλλὰ μέντοι καί τινα φρούρια καὶ σπήλαια, ἃ καταφύγια τοῖς ἐγχωρίοις ὠνόμασται, παρὰ τῶν κατεχόντων αὐτὰ τῷ βασιλεῖ παρεδόθησαν, καὶ οἱ ἐν αὐτοῖς μετῳκίσθησαν, τοῦτο συμφέρον τοῦ αὐτοκράτορος κρίναντος. οὓς μεθ' ἑαυτοῦ λαβὼν ἐκεῖνος ἐπανῄει, ἐπεὶ μὴ πολεμίοις ἐνέτυχε. τῶν δὲ μετοικιζομένων ὅσοι μὲν ἀκμάζοντες ἦσαν ἢ καὶ νεάζοντες, δι' ἑαυτῶν τὴν πορείαν πεποίηντο. οἷς δὲ τὸ γῆρας βραδεῖς ἐτίθει τοὺς πόδας εἰς βάδισιν, τούτοις παρεῖχεν ὁ κρατῶν ὑποζύγια. εἰ δέ τινες ἢ νόσοις ἢ πάθεσιν ἄλλοις εἶχον παρειμένα τὰ σώματα ἢ γήρᾳ μακροχρονίῳ τε καὶ λυγρῷ, τούτους ἀσπίσιν ἐπετίθει μακραῖς, καὶ τὰς D ἀσπίδας νέους φέρειν ἐπέταττε σθεναρούς, δεδυνημένους ἀχθοφορεῖν, αὐτὸς δὲ περιιών, εἴ τινα τῶν οὕτω κομιζομένων ἢ δίψει κάμνοντα εὕρισκεν ἢ τροφῆς ὀρεγόμενον ἢ ἄλλως ταλαιπωρούμενον, ὡς

*ἐνὸν ἀνεκτᾶτο τὸν κάμνοντα. οὕτω δὲ ὁδοιπορή-
σαντί τε καὶ καταλύσαντι καὶ Τοῦρκοι πρὸς ἑσπέ-
ραν ἀνεφάνησαν, σπονδὰς πρὸς Ῥωμαίους λέγοντες
ἐθέλειν θέσθαι τὸν σφέτερον ἀρχηγόν. τοῦτο δὲ
οὐδὲ τῷ βασιλεῖ ἔδοξεν ἀποθύμιον. ἕωθεν οὖν ἧκεν
ὁ τῶν βαρβάρων κρατῶν· ὁ δὲ ἦν οὐ σατράπης,
ἀλλ' ἐκ τοῦ γένους τοῦ σουλτανικοῦ καταγόμενος
καὶ Σουλτὰν ὑπὸ τῶν οἰκείων ὀνομαζόμενος, ὃς
ἐφίππῳ τῷ βασιλεῖ ἐντυχὼν πόρρωθεν αὐτὸς ἀποβὰς*
PII307 *τοῦ ἵππου καὶ πεζὸς προσεληλυθώς, καὶ οὕτω τὴν
προσκύνησιν αὐτοῦ ἀφοσιωσάμενος συνθήκας τε
ἔθετο καὶ χρήμασι πολλοῖς φιλοτιμηθεὶς ἐκεῖνός τε
καὶ ὅσοι σὺν αὐτῷ ἐληλύθασιν, ὁ μὲν ἐπανήει πρὸς
τὰ ἤθη τὰ ἑαυτοῦ, ὁ δ' αὐτοκράτωρ ἐπανῆλθεν εἰς
τὰ βασίλεια. ἐντεῦθεν ηὔξητο τὸ τῶν ποδῶν ἄλγος
αὐτῷ καὶ ἦν κλινήρης ὡς τὰ πολλά, κατῆρχε δ' ἡ
βασιλὶς καὶ ἦν ἐπίδοξος τὴν αὐταρχίαν σφετερίσα-
σθαι. ὁ δὲ ταύτης υἱὸς καὶ βασιλεὺς οὐκ ἠρέμει,
παντοίως πρὸς τὴν δοκοῦσαν τῆς μητρὸς ἐπιχείρη-
σιν ἀντιστρατευόμενος.*

28 *Ὡς δὲ τῇ νόσῳ κατεπονεῖτο ὁ αὐτοκράτωρ, εἰς*
B *τὸ μέγα τὸ πρὸς ἀνίσχοντα ἥλιον μετεκομίσθη ἀνά-
κτορον καὶ ἦν νοσοκομούμενος, καὶ τῶν Ἀσκληπια-
δῶν περὶ ἐκεῖνον καθ' ἑκάστην ἐγίνετο ἀθροισμός.
οὐκ ἦν δὲ μία πᾶσι διάγνωσις, μόλις δ' οὖν εἰς
μίαν γνώμην ἦλθόν ποτε· ἡ δ' ἦν σιδήρῳ τὸν στό-
μαχον καυτηριάσαι τοῦ αὐτοκράτορος. σίδηρον οὖν
ὁ βασιλεὺς κατὰ τοῦ στομάχου φλογόεντα δέχεται.
οὐκ εὔκρατος μέντοι ἐδόκει τοῖς ἰατροῖς ὁ τῶν ἀνα-
κτόρων ἀήρ, οἷα δὴ νοτιώτερος. διὸ καὶ εἰς τὰ τῶν
Μαγγάνων ἀνάκτορα μετακεκόμιστο ὁ κρατῶν, εἴτε
τυχαίως οὕτω συμβὰν εἴτε τοῦ χρεὼν τὸν θνή-*

σκοντα συνελαύνοντος ἐκεῖ τὴν ψυχὴν ἐρυγεῖν. τὸ γὰρ "ἐν ἀκεσωδύνοις πεσεῖται" περὶ ἐκείνου γεγράφθαι λέγοντες οἱ περὶ ταῦτα ἐπτοημένοι ἀκεσώδυνα τὴν τῶν Μαγγάνων κατοικίαν ἐξηγοῦντό τε καὶ C *ὠνόμαζον διὰ τὸ ἰατρεῖον τὸ ἐν αὐτοῖς, ὡς ἄκος ταῖς περιωδυνίαις περιποιούμενον, καὶ οὐδὲ τὸ καυτηριάσαι τὸν βασιλέα γενέσθαι μάτην ἐλέγετο τοῖς περὶ ταῦτα κομψοῖς, ἀλλὰ κατὰ παλαιγενῆ καὶ τοῦτο πρόρρησίν τε καὶ πρόγνωσιν. γεγράφθαι γάρ που περὶ αὐτοῦ τοῖς πονήσασι τὰς περὶ τῶν βασιλέων αἰνιγματώδεις γραφὰς ὡς ἀγκῆρι καυθεὶς πεσεῖται,* WIII244 *ἀγκῆρι λέγοντες τοὺς συγγραφεῖς ἐκείνους τὸ σιδήριον ἀπεικάσαι, δι' οὗ τὸν στόμαχον καυτηριάζεσθαι εἴθισται, διὰ τὸ κεκάμφθαι πρὸς τὸ ἄκρον αὐτό. ἀλλ' οὔθ' ἡ καυτηρία οὔτε μὴν ἡ τοῦ ἀέρος ἐναλλαγὴ τῷ κάμνοντί τι ἐλυσιτέλησαν, ἠρέμα δὲ πρὸς* D *τὸ τέλος ἐχώρει, οὔτε δὲ οἱ ἰατροὶ ἀπεγνῶσθαι αὐτῷ τὸ βιώσιμον ἔλεγον· καί τινες μοναχοὶ προύλεγον αὐτῷ μὴ ἄλλως ἐκλιπεῖν εἰ μὴ πρότερον πρὸς Ἱερουσαλὴμ ἀφίκηται εἰς προσκύνησιν τοῦ ζωηφόρου τάφου τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν, ὅπου καὶ τὸ διάδημα αὐτὸν ἀποθέσθαι μέλλειν ἐχρησμολόγουν. καὶ οἱ μὲν ταῦτα αὐτῷ ἐπηγγέλλοντο, ὁ δὲ τοῖς λεγομένοις ἐπίστευεν. ὃ γὰρ ἡμῖν πρὸς βουλῆς, τοῦτο ῥᾴδιον εἰς πίστιν καταγγελλόμενον. οὕτω δὲ κλεπτόμενος ἔλαθε τῷ τέλει προσεγγίσας τῆς βιοτῆς καὶ πρὸ τῆς εἰς Ἱερουσαλὴμ ἀφίξεως, ἀποθέμενος, ἀλλ' οὐχ ἑκών, τὸ διάδημα, εἴη δ' εἰπεῖν πρὸς τὴν* PII308 *ἄνω Ἱερουσαλὴμ ἐκδημήσας, τὴν τῶν πρωτοτόκων μητρόπολιν, τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς. πεντεκαιδεκάτην μὲν ὁ Αὔγουστος ἦγε τῆς ἑνδεκάτης ἐπινεμήσεως καὶ τὰ τελευταῖα ἔπνει ὁ Αὔγουστος,*

καὶ ὁ μὲν ἔκειτο ἀναφέρων τὸ ἆσθμα πυκνόν τι καὶ ἀδρανές, ἡ δέ γε βασίλισσα ὅλη τοῦ πάθους ἦν καὶ συνῆκτο περὶ αὐτὴν τὰ θυγάτρια. ἤδη μὲν οὖν τῆς ἡμέρας παρεληλύθει τὸ πλέον καὶ ὁ ἥλιος οὐχ ὑπὲρ κεφαλῆς ἦν ἑστώς, οὐδ' οἷον εἰπεῖν κατὰ κάθετον, ἀλλ' ἐκλίνθη βραχύ τι κατιὼν πρὸς δυσμάς, καὶ δηλοῦται τῷ τοῦ βασιλέως υἱῷ καὶ βασιλεῖ ἐκλείπειν ἄρτι τὸν πατέρα. ὁ δ' εἰσῄει τὸν οἶκον, ἔνθαπερ ὁ B θνήσκων κατέκειτο, οὔτι τὸν ἀπιόντα θρηνήσων, τὸ δὲ πιστὸν τοῦ θνήσκειν ἐκεῖνον τῇ ὄψει ληψόμενος. καὶ ἰδὼν αὐτίκα ἐξῆλθε, καὶ ἀναβὰς τὸν ἵππον ἐξῄει τῶν Μαγγάνων σὺν τοῖς περὶ αὐτόν, ἐξιόντι δὲ πολλοὶ συνυπήχθησαν. ἄρτι δ' ἐξελθόντι τὸν τῶν Μαγγάνων περίβολον προσυπαντῶσιν οἱ Ἀβασγοί· οὗτοι δ' ἦσαν οἳ τῇ ἐξ Ἀβασγίας κομισθείσῃ παιδὶ καὶ νυμφευομένῃ τῷ μείζονι τῶν υἱέων τοῦ Καίσαρος ἐκεῖθεν συναπεστάλησαν, καὶ ὑπηντηκότες ἐπηλάλαξάν τε καὶ προσεκύνησαν. τότε φασὶ τὴν βασιλίδα τῷ θνήσκοντι βασιλεῖ περιπαθῶς ἀπαγγεῖλαι τὴν τοῦ υἱέος ἀπέλευσιν, τὸν δὲ φθέγξασθαι μὲν πρὸς τοῦτο μηδέν, ἢ μὴ βουλόμενον ἢ μὴ δυνά- C μενον, διᾶραι δὲ τὰς χεῖρας ὑψοῦ, οὐκ οἶδ' εἴθ' ὑπερευχόμενον τοῦ υἱοῦ εἴτε μὴν κατευχόμενον. ἕτεροι δέ φασι μὴ τὰς χεῖρας διᾶραι τὸν θνήσκοντα, μηδὲ γὰρ οἷόν τ' εἶναι ἤδη ἐκλείποντα, τῆς δὲ βασιλίδος πολλάκις ἀνακραγούσης ὡς "ἄπεισιν ὁ υἱός σου ἔτι ζῶντά σε τὴν βασιλείαν ἀφαιρησόμενος" ἐκεῖνον ὑπομειδιᾶσαι βραχύ τι καὶ ἀμυδρόν, ἢ τῶν λεγομένων καταγελῶντα, εἰ νομίζοιτο περὶ τῆς βασιλείας φροντίζειν ἐκπνέων ἤδη καὶ τῶν γεηρῶν ἀφιστάμενος, ἢ τὴν τῆς ψυχῆς ἐπὶ τῷ πραττομένῳ διάθεσιν ὑπεμφαίνοντα. ἐλέγετο γάρ τοι καὶ παρ'

ἄλλων καὶ παρ' ἐκείνου τοῦ πορφυρογενοῦς αὐτοκράτορος μὴ γνώμης ἄτερ πατρικῆς θέσθαι τὴν εἰς τὰ βασίλεια πάροδον, ἀλλὰ παρ' ἐκείνου ἐπιτετράφθαι D οἱ τὴν ἔξοδον καὶ σύνθημα ταύτης ἐκ τοῦ πατρὸς λαβεῖν τὸν ἐκείνου δακτύλιον· ταῦτα δὲ μὴ παρούσης γενέσθαι τῆς βασιλίδος καὶ ἀγνοούσης ὅτι γεγόνασιν. ὁ μὲν οὖν ἀπῄει. τῆς φήμης δὲ κηρυξάσης ταχὺ τὸ πραχθέν, τῷ βασιλεῖ τούτῳ καὶ τὸ συγγενὲς προσῄει καὶ τῶν στρατιωτικῶν ἀρχόντων W III 245 πολλοὶ καὶ τῶν τῆς συγκλήτου βουλῆς.

29 Τῷ δ' ἦν ἡ ὁρμὴ πρὸς τὸ μέγα ἀνάκτορον· ἀπιόντι δὲ ἀγγέλλεται ὡς οἱ Βάραγγοι τὴν ἐν τοῖς ἐξκουβίτοις διειληφότες ὁδόν, ἔνθαπερ τούτοις καὶ ἡ κατοίκησις, ἀπελθεῖν δι' ἐκείνης οὐ παραχωροῦσί τινι οὐδὲ μὴν πλησιάσαι τοῖς βασιλείοις. τοῦτο εἰς P II 309 ἀγωνίαν τὸν βασιλέα ἐνέβαλε. καὶ στέλλει πρὸς ἐκείνους τινὰ ἐρωτῶντα τί τὸ σφίσι βουλόμενον. στέλλει δὲ καὶ πρὸς τὴν ἐκκλησίαν, τεθνάναι λέγων τὸν αὐτοκράτορα, καὶ ζητῶν αὐτὸς εὐφημηθῆναι ὡς αὐτοκράτωρ. καὶ τοῦτο μὲν ἤνυστο καὶ αὐτοκράτορα αὐτὸν ὁ κλῆρος τῆς ἐκκλησίας γνώμῃ καὶ τοῦ ἀρχιποίμενος ἀνηγόρευσεν. ὁ δὲ πρὸς τοὺς Βαράγγους ἐσταλμένος ἠρώτα ἐκείνους ὅτου χάριν κωλύουσι τῷ βασιλεῖ τὴν εἰς τὰ βασίλεια πάροδον. οἱ δὲ μήποτε παραχωρῆσαι τῶν βασιλείων ἑτέρῳ, ζῶντος τοῦ αὐτοκράτορος, ἔφασαν. ἐκεῖνος δὲ τεθνηκέναι διεβεβαιοῦτο τὸν αὐτοκράτορα. καὶ οἱ Βάραγγοι ὅρκῳ τοῦτο πληροφορῆσαι αὐτοὺς ἀπῄτησαν. καὶ ὃς ὤμοσεν B ἦ μὴν τεθνάναι τὸν βασιλέα, κἀκεῖνοι ἐνέδοσαν καὶ τῆς παρόδου τῷ βασιλεῖ παρεχώρησαν. ὁ δὲ ἀπῄει πρὸς τὰ βασίλεια, καὶ τούτων ἐντὸς γεγονὼς πῶς ἂν χρήσαιτο τῇ μητρὶ καὶ τοῖς ὁμογνίοις

καὶ τῷ τῶν κηδεστῶν ἑνὶ τῷ Βρυεννίῳ μετὰ τῶν περὶ αὐτὸν ἐβουλεύετο. ἔτι γὰρ ἐδεδοίκει τούτους καί οἳ ἦσαν ἐν ὑποψίαις ἐλπίζοντι νεωτερίσειν ἴσως αὐτούς. ὁ δὲ τούτου πατὴρ παρ' ὅλην μὲν τὴν ἡμέραν ἐμπνέων ἦν καὶ δυσθανατῶν, περὶ δὲ τὴν ἑσπέραν ἐξέλιπε, ζήσας μὲν ἔτη ἑβδομήκοντά που τὰ πάντα ἢ ὅ,τι ἐγγυτάτω, βασιλεύσας δ' ἐκ τούτων ἐνιαυτοὺς ἑπτὰ καὶ τριάκοντα ἐπὶ μησὶ τέσσαρσι καὶ ἡμέραις τισίν. ἔθανε δὲ κατὰ τὸ ἑξακισχιλιοστὸν ἑξακοσιοστὸν εἰκοστὸν ἕκτον ἔτος, τὴν μὲν βασιλείαν διηνυκὼς
C εὐτυχῶς, τὸ δέ γε τέλος οὐχ ὅμοιον ἐσχηκώς. καταλέλειπτο γὰρ πρὸς τῶν θεραπόντων σχεδὸν ἁπάντων, ὡς μηδ' εἶναι τάχα τινὰς τοὺς τὸν ἐκείνου νεκρὸν τοῖς λοισθίοις λουτροῖς ἀπορρύψοντας, καὶ οὔτε κόσμος βασίλειος προσῆν τοῖς περὶ αὐτόν, ἵν' αὐτῷ τὸ σῶμα κοσμηθείη βασιλικῶς, οὔτε μὴν ἐκφορᾶς ἔτυχε βασιλεῖ καταλλήλου, καὶ ταῦτα οὐκ ἀλλοτρίου, ἀλλ' υἱέος διαδεξαμένου τὴν βασιλείαν αὐτῷ, καὶ υἱέος, ὃν ἐκεῖνος τῆς βασιλείας ἠξίωσεν. οὕτως οὐδὲν τῶν ἀνθρωπίνων μόνιμον οὐδὲ πάγιον οὐδὲ πιστόν τε καὶ βέβαιον, ἀλλ' ἄπιστα πάντα καὶ κύβου μᾶλλον ῥᾷον μετατιθέμενα καὶ μεταρριπτούμενα. ἦν δ' ὁ ἀνήρ, ἵνα καὶ τὸν τρόπον ἐκείνου δῆλον
D θείημεν τοῖς μετέπειτα καὶ τὸ ἦθος τοῖς ὀψιγόνοις χαρακτηρίσαιμεν, οὔθ' ὑπεροπτικός τε καὶ ἀλαζὼν οὔτε μὴν ὀξὺς εἰς θυμόν, ἀλλ' οὐδὲ χρημάτων ἥττων οὐδ' ἄγαν ἐρασιχρήματος, ὥστε βούλεσθαι καταχωννύειν αὐτὰ καὶ ταμιεύειν, ἵν' εἶεν αὐτῷ θησαυροὶ κεκρυμμένοι καὶ ὑπόγαια χρήματα, ὅθεν οὐδὲ θανόντος πλεῖστα παρὰ τοῖς ταμείοις εὑρέθησαν, πρὸς ἔλεον εὐκατάφορος, πρὸς κόλασιν οὐκ ὀξύρροπος, μέτριος τὸ ἦθος, εὐπρόσιτος, περὶ τὴν δίαιταν

οὐκ ἀκόλαστος, οὐκ οἴνου ἡττώμενος, τοῖς ἐναρέτως βιοῦσι προσέχων καὶ ἀπονέμων τιμήν, λόγους οὐχ ὡς ἔδει τιμῶν, τέως δέ γε τιμῶν, ἐπιεικής τε καὶ PII310 τοῖς περὶ αὐτὸν οὐ σοβαρῶς προσφερόμενος, ἀλλ' ἐκ τοῦ ἴσου σχεδὸν ὁμιλῶν τε καὶ χαριεντιζόμενος. ὅθεν κἀκείνοις θαρρεῖν ἐπῄει καὶ οὐ μετὰ δέους αὐτῷ παρεστάναι, καὶ μᾶλλον ὅτ' ἀπῆν ἡ βασίλισσα· ὑπεστέλλοντο γὰρ ἐκείνης παρούσης ἀρχικόν τε καὶ ἐμβριθὲς ἐνδεικνυμένης ἰδίωμα καὶ τοῖς ἀτακτοῦσιν ἐπιτιμώσης σφοδρότερον. ὁ μὲν οὖν τοιοῦτος ἦν. ταῦτα δὲ καλὰ μὲν καὶ πῶς γὰρ οὔ; ἰδιώτῃ δ' ἀποχρῶντα πρὸς ἔπαινον, οὐ μήν γε καὶ W III 246 βασιλέα δεικνύντα τὰ πάντα χρηστόν. οὐ γὰρ αἱ αὐταὶ βασιλέως καὶ ἰδιώτου γένοιντ' ἂν ἀρεταί. ἰδιώτῃ μὲν γὰρ ἀπόχρῃ καὶ μέτριον ἦθος καὶ ἐπιείκεια B καὶ τὸ πρὸς θυμὸν οὐκ εὐκίνητον καὶ τὸ σῶφρον τὸ πρὸς τὴν δίαιταν. βασιλεῖ δὲ πρὸς τούτοις καὶ ἡ τῆς δικαιοσύνης φροντὶς καὶ ἡ τῶν ὑπηκόων προμήθεια καὶ ἡ τῶν παλαιῶν ἐθῶν τοῦ πολιτεύματος τήρησις. τῷ δὲ μέλημα μᾶλλον ἡ τῶν ἀρχαίων ἐθῶν γέγονε τῆς πολιτείας ἀλλοίωσις, καὶ τὸ μεταλλάξαι ταῦτα ἔργον ἦν αὐτῷ σπουδαιότατον, καὶ τοῖς πράγμασιν οὐχ ὡς κοινοῖς οὐδ' ὡς δημοσίοις ἐκέχρητο καὶ ἑαυτὸν οὐκ οἰκονόμον ἥγητο τούτων, ἀλλὰ δεσπότην, καὶ οἶκον οἰκεῖον ἐνόμιζε καὶ ὠνόμαζε τὰ βασίλεια. καὶ τοὺς τῆς συγκλήτου βουλῆς οὔτε τιμῆς ἧς ἐχρῆν ἠξίου οὔτε C πρόνοιαν αὐτῶν ἐτίθετο κατὰ τὸ ἀνάλογον, μᾶλλον μέντοι καὶ ἔσπευσε ταπεινῶσαι τούτους. ἀλλ' οὐδ' ἐν ἅπασι τὴν τῆς δικαιοσύνης ἦν τηρῶν ἀρετήν. ταύτης γὰρ ἴδιον τὸ τοῦ κατ' ἀξίαν ἑκάστῳ διανεμητικόν· ὁ δὲ τοῖς μὲν συγγενέσι καὶ τῶν θε-

ῥαπόντων τισὶν ἁμάξαις ὅλαις παρεῖχε τὰ δημόσια
χρήματα καὶ χορηγίας ἐκείνοις ἁδρὰς ἐτησίους ἀπέ-
νειμε, ὡς καὶ πλοῦτον περιβαλέσθαι βαθὺν καὶ ὑπη-
ρεσίαν ἑαυτοῖς ἀποτάξαι, οὐκ ἰδιώταις, ἀλλὰ βασι-
λεῦσι κατάλληλον, καὶ οἴκους προσκτήσασθαι, μεγέθει
μὲν πόλεσιν ἐοικότας, πολυτελείᾳ δὲ βασιλείων ἀπε-
D οικότας οὐδέν· τοῖς δὲ λοιποῖς τῶν εὖ γεγονότων
οὐχ ὁμοίαν ἐνεδείκνυτο τὴν προαίρεσιν, ἵνα μή τι
ἕτερον φαῦλον ἐρῶ, φειδόμενος τοῦ ἀνδρός. βασι-
λέα μὲν οὖν, οἷον τὸ ἀκριβὲς ἀπαιτεῖ, οὐκ ἐῶσι τὰ
εἰρημένα ἐκεῖνον νομίζεσθαι· ἀλλ' οὐδὲ μέντοι φαῦ-
λον εἴποι τις τὸν Κομνηνὸν αὐτοκράτορα. εἰ δὲ τὴν
ἄγαν ἀκρίβειαν ζητοίη τις ἐν τοῖς αὐτοκράτορσιν,
οὐκ οἶμαί τινα τῶν ἀνέκαθεν τῆς Ῥωμαίων ἐπιβε-
βηκότων ἡγεμονίας ἐν πᾶσιν εὐδοκιμηκότα κριθήσε-
σθαι, ἀλλ' ἐκ τοῦ πλεονάζοντος ἐν τοῖς ἤθεσι σφῶν
καὶ ταῖς πράξεσιν ἑκάστῳ ἡ πολιτεία κεχαρακτήρι-
PII311 σται. ἀνέγκλητος γὰρ οὐδεὶς ἄν ποτε δόξαι οὐδ'
ἀμιγὴς τῆς χείρονος ἕξεως· θειοτέρας γὰρ τοῦτο
μοίρας, ἀλλ' οὐκ ἀνθρωπίνης εἴη ἄν ποτε φύσεως.

Ἐνταῦθά μοι τὸ πέρας ἤτω τῆς συγγραφῆς καὶ ὁ
δρόμος στήτω τῆς ἱστορίας, ὅς μοι πρὸς μακρὸν ἐκ-
μεμήκισται. δοῦναι γὰρ γραφῇ καὶ τὰ λείποντα οὔ
μοι λυσιτελὲς οὐδ' εὔκαιρον κέκριται. εἰ μὲν οὖν
ὀνήσιμόν τισι δόξει τὸ πόνημα, τῷ θεῷ χάρις, ᾧπερ
ἅπαν κατορθοῦται καλόν· εἰ δὲ ἀσυντελές, εἴη ἂν
ἡμέτερον τὸ αἰτίαμα καὶ ἐπιστρεφέτω πρός με τὸν τε-
κόντα τὸ ἀποκύημα, ἐσόμενόν μοι μνήμης ἐμπύρευμα.

ARGUMENTA.

1. *Προοίμιον*[1]). PII320

3. *Κεφαλαιώδης μνεία τῶν περιεχομένων τῇ βίβλῳ ἱστοριῶν. ἡ τοῦ α′ τόμου περιοχή.*

4. *Ἡ τοῦ β′ τόμου περιοχή. ἡ τοῦ γ′ τόμου περιοχή.*

1. *Περὶ θεοῦ. ἡ κοσμογένεια*[2]). *ἡμέρα α′. ἡμέρα β′. ἡμέρα γ′. ἡμέρα δ′. ἡμέρα ε′. ἡμέρα ς′. ἡ ἡμέρα ἡ ζ′ σάββατον κέκληται.*

2. *Ὅπως ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν. παράβασις τῶν προσταγμάτων.*[3])

3. *Ὅπως μετετέθη Ἐνώχ.*

4. *Ὅπως ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ, ὥς φησιν ἡ γραφή, τὰς θυγατέρας τῶν ἀνθρώπων ἔλαβον ἑαυτοῖς γυναῖκας. ὅπως εὗρε Νῶε χάριν ἐνώπιον τοῦ θεοῦ. ὅπως διεσώθη Νῶε διὰ ξυλίνου λάρνακος. ὅπως ἔθετο ὁ θεὸς τὸ τόξον ἐν τῇ νεφέλῃ μετὰ τὸν κατακλυσμόν.*

5. *Ὅτι ἄμπελον ἐφύτευσε Νῶε μετὰ τὸν κατακλυσμόν, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ τοῦ Νῶε ἀπόγονοι*

---

1) 1—4. *προοίμιον — περιοχὴ* addidit Wolfius. 2) *ἡ κοσμογένεια* pro *περὶ κοσμοποιίας* codex Monacensis.

3) *προσταγμάτων*] $\overset{\text{τρ}}{\textit{προπα}}$ (*προπατόρων*).

διασκεδασθέντες ὑπὸ τῆς ἀλλογλωσσίας μετεκλήθησαν καὶ μετωνομάσθησαν. ὅτι τῆς Ταρσοῦ Περσεὺς δομήτωρ. περὶ τῆς τῶν ἐθνῶν ἀρχῆς καὶ ὅθεν ἐκλήθησαν.

6. *Περὶ τοῦ Ἀβραάμ, καὶ ὅτι πρῶτος ἐπέγνω τὸν θεὸν ποιητὴν τοῦ παντός. περὶ τῆς τῶν Σοδομιτῶν αἰχμαλωσίας, καὶ ὅπως ἐτρώθησαν καὶ ἠχμαλωτίσθη Λώτ.*[1]) *ὅτι τῷ Ἀβραὰμ ὁ θεὸς δώσειν υἱὸν ἐπηγγέλλετο, ὡς τὸ σπέρμα αὐτοῦ γενέσθαι ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. καὶ ὅπως περιετμήθησαν, καὶ ὅτι τὸ Ἰσαὰκ γέλως ἑρμηνεύεται. οἱ μὲν Ἰουδαῖοι τῇ ὀγδόῃ ἡμέρᾳ περιτέμνονται, οἱ Ἄραβες δὲ τῷ τρισκαιδεκάτῳ ἔτει. ὅτι ὁ Ἰσμαὴλ ἐκ τῆς Ἄγαρ. εἴκοσι καὶ πέντε ἐτῶν ἦν Ἰσαάκ, ὅτε θυσιάσαι προσετάχθη αὐτὸν Ἀβραάμ.*

7. *Ἀναχώρησις Ἰακὼβ εἰς Μεσοποταμίαν, καὶ περὶ τῆς θεαθείσης αὐτῷ*[2]) *κλίμακος καθ' ὕπνους. κατοίκησις Ἰακὼβ πρὸς Λάβαν τὸν μητράδελφον, καὶ ἔρως τῆς θυγατρὸς αὐτοῦ. συνέλευσις Ἰακὼβ πρὸς Λείαν καὶ τεκνογονία αὐτῆς. ἡ δὲ Ῥαχὴλ μὴ τίκτουσα τῇ οἰκείᾳ θεραπαίνῃ τὸν Ἰακὼβ ἠξίωσε συνελθεῖν, καὶ τὰ τεχθέντα δύο τέκνα ᾠκειώσατο. ζηλώσασα δὲ ἡ Λεία τὴν ἑαυτοῦ θεράπαιναν*[3]) *παρακατέκλινε τἀνδρί, καὶ τὰ γεννηθέντα ἐξιδιώσατο. ὅτι ἡ Ῥαχὴλ ἔτεκε τὸν Ἰωσήφ.*

8. *Ὑποχωρήσαντος Ἰακὼβ ἀπὸ τοῦ Λάβαν καὶ ἡ Ῥαχὴλ τὰ εἴδωλα τούτου ἀφαιρεῖται.*[4]) *πάλη Ἰακὼβ μετὰ τοῦ ἀγγέλου. ἁρπαγὴ τῆς Δείνης ὑπὸ τοῦ τῶν Σικίμων*[5]) *βασιλέως, υἱοῦ Συχέμ, καὶ ἀπώ-*

---

1) *θεράπαιναν* pro *θεράπαινην* 2) *ἀφαιρεῖται*] *ἀφεῖτ* 3) *Σικίμων*] *σικήμων.*

λεια αὐτῶν καὶ φθορὰ ὑπὸ τῶν ἀδελφῶν αὐτῆς. θάνατος Ἰσαάκ.

9. *Ὅπως ἐπεκλήθη Ἐδὼμ ὁ Ἠσαῦ. βουλὴ τῶν ἀδελφῶν κατὰ τοῦ Ἰωσήφ, καὶ κατάσχεσις αὐτοῦ καὶ ἀπόδοσις πρὸς τοὺς ἐμπόρους. ὅτι ὁ Πετεφρὴς*[1]) *ὠνήσατο τὸν Ἰωσήφ. κατηγορία ψευδὴς ὑπὸ τῆς* PII321 *γυναικὸς Πετεφρῆ κατὰ τοῦ*[2]) *Ἰωσὴφ καὶ κατάσχεσις αὐτοῦ ἐν φυλακῇ. δήλωσις τῶν συνδεσμωτῶν παρὰ τοῦ Ἰωσήφ.*

10. *Ἐνύπνια τοῦ*[3]) *Φαραώ. δήλωσις τῶν ἐνυπνίων Φαραὼ ὑπὸ τοῦ Ἰωσήφ, καὶ δίδωσι τὴν ἐξουσίαν αὐτῷ Φαραὼ πάσης γῆς Αἰγύπτου. τί σημαίνει τὸ θομφάνηχος. ἐπανέλευσις τῶν ἀδελφῶν Ἰωσὴφ διὰ τὸν λιμόν. ἀναγνωρισμὸς Ἰωσὴφ καὶ τῶν ἀδελφῶν.*

11. *Ἔλευσις τοῦ Ἰσραὴλ πρὸς Αἴγυπτον πανοικεί. εὐλογία Ἰακὼβ τοῖς ἐγγόνοις ἐναλλάξ. τελευτὴ Ἰακώβ. τελευτὴ Ἰωσήφ.*

12. *Ὅτι ἐκάκουν οἱ Αἰγύπτιοι τοὺς Ἰσραηλίτας. περὶ τῆς γεννήσεως Μωυσέως.*[4]) *ὅτι περικαλλὴς ἦν τὴν ἰδέαν Μωυσῆς, καὶ ὅτι οὐ*[5]) *προσίετο θηλὴν Αἰγυπτίαν. ὅτι ἤγαγον τὴν Θέρμουθιν τὴν τροφὸν Μωσέως καὶ παρέλαβον θηλάζειν αὐτόν.*[6]) *ἐπωνυμία τοῦ ὀνόματος Μωυσέως. ὅτι*[7]) *ἕβδομος ἦν ἐξ Ἀβραάμ. ὅπως ἐπιτίθησι τὸ διάδημα Φαραὼ τῷ Μωσεῖ. οἷος ἦν τὴν ἡλικίαν καὶ τὴν ἀρετὴν ὁ Μωσῆς καὶ ὅπως κατ' Αἰθιόπων ἐκστρατεύει. ὅτι προμάχοις ταῖς ἴβεσι κατὰ τῶν ἰοβόλων ἐχρήσατο. ἡ*

---

1) *Πετεφρὴς*] *πετεφρῆς* 2) *τοῦ* pro *τὸν* 3) *τοῦ*] *τῷ* 4) *Μουσέως*] hic et continuo *μωσ—*, sed hic per o in ultima 5) *ὅτι οὐ* pro *ὅτι* 6) *ὅτι—αὐτόν*] addit 7) *καὶ* ante *ὅτι* om.

Σαβὰν πόλις Αἰθιοπίας.[1]) *ὅτι Μωσῆς ἔλαβε γυναῖκα τοῦ Αἰθιόπων κρατοῦντος θυγατέρα. ὅτι οἱ Αἰγύπτιοι ἐμίσουν αὐτὸν καὶ σωζόμενοι. ὅτι ἔφυγε Μωσῆς ἐξ Αἰγύπτου εἰς Μαδιάμ, κἀκεῖ λαβὼν γυναῖκα καὶ ποιμὴν γίνεται.*

13. *Ὅτι νέμων ἐν ὄρει Σινᾶ ὁρᾷ*[2]) *τὴν βάτον ὁ Μωσῆς, καὶ ἐνυπνιάσθη ἐπὶ τὴν Αἴγυπτον ἀπελθεῖν. τὸ περὶ τῆς βακτηρίας τοῦ Μωσέως θαῦμα, τὴν εἰς τὸν κόλπον βληθεῖσαν δεξιὰν καὶ τὸ εἰς αἷμα μεταβληθὲν ὕδωρ. ὅτι Μωυσῆς καὶ Ἀαρὼν ἦλθον εἰς Αἴγυπτον πρὸς Φαραώ. ὅπως ἡ ῥάβδος μετεβλήθη εἰς ὄφιν. ὅσα ὁ Μωσῆς κακὰ τοῖς Αἰγυπτίοις ἐπήγαγε, σκληρυνομένου τοῦ Φαραώ. ὅπως τὸ πάσχα διάβασις καὶ ὑπερβασία ἐξ ἐκείνου εἰκονίζεται. ὅσοι ἦσαν οἱ στρατεύεσθαι δυνάμενοι Ἰουδαῖοι, ὅτε ἐξῆλθον τῆς Αἰγύπτου. πόσους ἐνιαυτοὺς εἰς τὴν Αἴγυπτον ἤνυσαν Ἰουδαῖοι.*

14. *Πόσος ἦν ὁ διώκων τοὺς Ἰουδαίους λαὸς τῶν Αἰγυπτίων. ὅπως διεῖλεν εἰς δύο τὴν θάλασσαν μέρη καὶ διεβίβασε τὸν λαόν. ὅτι ὕμνησεν ᾠδὴν Μωσῆς, καὶ τοῖς ὅπλοις Αἰγυπτίων ἐχρήσαντο Ἰουδαῖοι. ὅτι Μὰρ*[3]) *καὶ Μαιρρὰν ὁ τὸ ὕδωρ τὸ πικρὸν ἔχων τόπος ἐκλήθη. ὅπως διὰ ξύλου ἐγλυκάνθη τὸ ὕδωρ*[4])*. ὅπως τὸ τοιοῦτον θαῦμα Ἰώσηπος ἑρμηνεύει. περὶ τῶν ὀρτύγων καὶ τοῦ μάννα. ὅτι τὸ μὰν ἐπερώτησιν δηλοῖ. ὅτι ὁ ἀσσάρων*[5]) *μέτρον ἐστίν. ὅπως ἡ πέτρα παρὰ Μωσέως ὕδωρ ἔβλυσεν. ὅπως ὁ Μωσῆς κατετροποῦτο τῇ*

---

1) *ἡ — Αἰθιοπίας* in fine paginae post *σωζόμενοι* 2) *ὁρᾷ*] *κατὰ* 3) *Μὰρ*] *μὰν* 4) *καὶ* post *ὕδωρ* om. 5) *ἀσσάρων* pro *ἀσσάριον*.

ἐκτάσει τῶν χειρῶν. ὅπως Ὣρ καὶ Ἀαρὼν ἀνεῖχον τὰς χεῖρας τοῦ ἀδελφοῦ.

15. *Ὅτι μετὰ τρίμηνον ἐξ Αἰγύπτου ἐπὶ τὸ Σινᾶ ὄρος παρῆσαν Ἰουδαῖοι. συμβουλὴ τοῦ πενθεροῦ Μωσέως*[1]*) ὅπως χρὴ δημαγωγεῖσθαι τὸν λαόν. κατὰ τὸ ὄρος Σινᾶ ἔλαβε Μωσῆς τὰς ἐντολάς. ὅτι χρονίζοντος εἰς τὸ ὄρος ὁ λαὸς ἐγόγγυζε, καὶ τί ἐποίησεν Ἀαρών. πῶς ὁ Μωσῆς συνέτριψε τὰς πλάκας, ὀργισθεὶς διὰ τὴν μοσχοποιίαν καὶ συντρίψας τὸν μόσχον. ἐπότισε τὸν λαὸν ἐκ τοῦ χοὸς καὶ ἀπέκτεινε*[2]*) πολλούς. καὶ*[3]*) ἀνέβη Μωσῆς εἰς τὸ ὄρος, λέγων "κύριε, ἡμάρτηκεν ὁ λαός." καὶ λαβὼν δύο πλάκας αὖθις ὑπέστρεψε πρὸς τὸν λαόν. περὶ τῆς κατ' ἐπιταγὴν γεγενημένης σκηνῆς καὶ τῆς εἰς αὐτὴν προσαγωγῆς τοῦ λαοῦ ὧν εἶχον.*

16. *Ὅτι*[4]*) ἀρχιτέκτονες τῆς σκηνῆς Βεσελεὴλ καὶ Ἐλιφάτζ. περὶ τῆς κιβωτοῦ, ἐν ᾗ αἱ δύο πλάκες, καὶ τίνες οἱ δέκα λόγοι*[5]*) οἱ ἐν αὐτῇ. οἱ δέκα λόγοι.*[6]*) περὶ τῆς ἐν τῷ ναῷ καταθέσεως καὶ τῶν δώδεκα ἄρτων τῶν ἀζύμων. ὅτι ἀρχιερεὺς Ἀαρὼν ἐψηφίσθη. ὅτι Ἑβραῖοι εἰσέφερον.*[7]*) ὅτι τὴν εἰσφορὰν ἐλευθέρως ἐποιοῦντο οἱ Ἑβραῖοι. ὅτι παρὰ τὰ διατεταγμένα θυσάντων τινὰ μέρη τοῦ σώματος κατεκαύθησαν. ὅτι ἑξήκοντα μυριάδες*[8]*) εὑρέθησαν, καὶ ἐπέκεινα.*

17. *Ἡ Λευιτικὴ φυλὴ ὑπὲρ δισμυρίους καὶ τρισχιλίους ἀριθμηθέντες πρὸς ὀκτακοσίοις καὶ ὀγδοήκοντα. ὅπως ἐξ ἑκάστης φυλῆς ἕνα λαβὼν κατασκοπήσοντα τὴν γῆν*[9]*) τήν τε δύναμιν τῶν Χανα-*

---

1) *μωσέως* pro *Μοϋσέως* 2) *ἀπέκτεινε*] *ἀπέκτεινε καὶ* 3) *καὶ*] addit 4) *ὅτι*] *τϊ* initio versus 5) *δέκα λόγοι* pro *δεκαλόγοι* 6) *οἱ δεκαλόγοι*] om. 7) *εἰσέφερον*] *ἔφερον*. Idem post *ὅτι* addit ||, quod videtur esse *ἥμισυ* 8) *ἑξήκοντα μυριάδες*] *κομισταὶ* sic perspicue 9) *τὴν γῆν*] om.

ναίων. περὶ τῆς στάσεως τοῦ πλήθους καὶ[1]) *τοῦ Κορὲ καταβοῶντος διὰ τὴν ἱερωσύνην Ἀαρών. ὑπόθεσις*[2]) *Μωσέως, καὶ ὅπως ἐγνώσθη ὅτι ὁ θεὸς τὸν Ἀαρὼν ἱερᾶσθαι ἐθέλει.*[3]) *ὅπως Δαθὰν καὶ Ἀβειρὼν ὑπὸ γῆν κατεχώσθησαν. κρίσις θεοῦ δικαία τοῖς περὶ τῆς ἱερωσύνης ἁμιλλωμένοις. περὶ τῶν βακτηριῶν τῶν ἐχουσῶν τὰ τῶν φυλῶν ὀνόματα, ἐν αἷς καὶ ἡ Ἀαρὼν ἐβλάστησε ῥάβδος. ὅπως ἡ τῶν Λευιτῶν φυλὴ στρατειῶν ἀφείθη καὶ οἵας προσόδους ἔσχε.*[4])

PII322 18. *Ὅπως τέθνηκε Μαριὰμ ἡ τοῦ Μωσέως ἀδελφὴ μὴ ἰδοῦσα τὴν γῆν τῆς ἐπαγγελίας, καὶ Ἀαρὼν ὁμοίως, καταλιπὼν ἀρχιερέα τὸν υἱόν. ὅπως οἱ Ἑβραῖοι κατὰ Ἀμοραίων ἐμαχέσαντο, καὶ ἀναίρεσις τῶν αὐτῶν βασιλέων*[5]) *Σηὼν καὶ Ὤγ. περὶ στρατοπεδεύσεως πρὸ*[6]) *Ἱεριχοῦντος. περὶ Βαλαὰμ καὶ τῆς κατὰ τὴν ὁδὸν αὐτοῦ ἐπιφανείας ἀγγέλου. ὅτι ὁ Βαλαὰμ Μωσέα οὐ κατηράσατο, ἀλλὰ καὶ εὐλόγησε κινούμενος ἄκων ἐκ θεοῦ. ὅτι κατὰ συμβουλὴν Βαλαὰμ παρθένους ἀφῆκε*[7]) *τοῖς Ἰουδαίοις, καὶ παρηνόμησαν δεινῶς. ὅπως ὁ Φινεὲς τὸν Ζαμβρὴν*[8]) *σὺν τῇ Μαδιανίτιδι ἐξεκέντησεν. ἧττα Μαδιηναίων καὶ ἀναίρεσις πάντων ἄνευ γυναικῶν παρθένων. ὅτι γηράσας Μωσῆς Ἰησοῦν κατέλιπεν.*

19. *Ὅτι τὴν Ἀμορῖτιν*[9]) *τῷ*[10]) *Γὰδ καὶ Ῥουβὶμ ἀφώρισε Μωσῆς, διαταξάμενος ἵνα ἕκαστος τῆς*

---

1) *καὶ*] *καὶ ὅπως* 2) *ὑπόθεσις* pro *ὑποθήκη* 3) *ἐγνώσθη—ἐθέλει*] *γνωσθῇ ὁ θεὸς εἰ ἱδρυνθῇ ἀαρών* 4) *στρατειῶν—προσόδους ἔσχε*] om. in fine marginis huius paginae fol. 21 v. 5) *τῶν—βασιλέων*] *τοῦ—βασιλέως* 6) *πρὸ*] om. 7) *ἀφῆκε*] *ἐφῆκε* 8) *Ζαμβρὴν*] *ζαμβρῆ* 9) *ἀμορίτιν* pro *Ἀμορίτην* 10) *τῷ*] *τὸν* (τ).

οἰκείας φυλῆς μένων ἔχῃ τὸν κλῆρον, εἰ δὲ τῆς φυλῆς ἀλλοτριωθῇ [1]), καὶ τοῦ κλήρου στερηθῇ.[2]) ὅπως μετὰ μ' ἔτη λ' ἐνδεουσῶν ἡμερῶν τὸν οἰκεῖον θάνατον Μωσῆς διέγνω καὶ συναθροίσας τὸν λαὸν παρήγγειλε ταῦτα.[3]) ὅπως εἰς ὄρος ὑψηλὸν στὰς Μωσῆς εἶδε τὴν γῆν τῆς ἐπαγγελίας, καὶ οὕτως ἀφανὴς γέγονε, βιώσας ἔτη ἑκατὸν εἴκοσιν,[4]) ὧν ἦρξε τὸ τρίτον τούτων. περὶ τῶν τῆς Ἱεριχοῦντος κατασκόπων. περὶ Ῥαὰβ τῆς ἐν Ἱεριχοῦντι κρυψάσης τοὺς κατασκόπους, καὶ ὅσα ὑπέσχοντο αὐτῇ ποιῆσαι μετὰ τὴν τῆς πόλεως ἅλωσιν. καὶ ὅτι φοινικίδα ἀπαιωρῆσαι[5]) εἰς γνώρισμα τῆς οἰκίας ἐνετέταλτο ἡ γυνή. ὅτι πρῶτοι ἱερεῖς καὶ Λευῖται τὸν Ἰορδάνην εἰσελθόντες ἀνέκοψαν αὐτόν, καὶ οὕτως ὁ λαὸς διεπέρασεν.

20. Περὶ τοῦ βωμοῦ καὶ τῶν λίθων οὓς ἔλαβεν Ἰησοῦς κατὰ τὸν ἀριθμὸν[6]) τῶν φυλῶν ἐκ τοῦ Ἰορδάνου. ὅτι κατὰ τὴν πρώτην τῆς τοῦ πάσχα ἡμέραν[7]) ἤρξατο ὁ Ἰησοῦς πολιορκεῖν Ἱεριχώ. καὶ ἕως τῆς ἑβδόμης ἡμέρας τὸ τεῖχος κυκλῶν μετὰ τῶν ἱερέων καὶ τῆς κιβωτοῦ καὶ μετὰ σαλπίγγων, καὶ κατέπεσε τὸ τεῖχος, καὶ ἀρὰς κατὰ τῶν ποτε βουληθησομένων[8]) ἀνεγεῖραι τὴν πόλιν Ἱεριχοῦντα ἐποιήσατο. περὶ τῶν εὑρεθέντων χρημάτων, ἃ ἀνετέθησαν τῷ θεῷ, καὶ περὶ τοῦ ἀποκρύψαντος τὸ χρυσίον, καὶ

ϑ

1) ἀλλοτριωθῆς] ἀλλοτριω. Scripsi —θῇ. 2) στερηθῇ] om. 3) ὅπως μετὰ — παρήγγειλε ταῦτα] addit 4) κ pro εἴκοσι 5) ἀπαιωρῆσαι] ἀπεωρῆσαι 6) κατὰ τὸν ἀριθμὸν] om. 7) ἡμέραν] ἡμέρας 8) βουληθησομένων] Sic etiam libri Zonarae, qui βουλήσομαι vol. 2, p. 100, C. Quod restitui, etsi quaedam alterius apud recentissimos sunt exempla: v. praef. vol. 1, p. VI.

ὅτι ἀνῃρέθη διὰ τοῦτο. ὅπως ἐσπείσαντο[1]) *Γαβαωνῖται ὡς ὄντες ἀλλότριοι Ἱεριχοῦντος, καὶ*[2]) *ὅτι Ἰησοῦς μαθὼν ψευσθῆναι, ἐποίησε τούτους ξυλοκόπους καὶ ὑδροφόρους*[3]) *τῆς συναγωγῆς. ὅπως τὸν βασιλέα Ἱεροσολύμων ἥττησεν Ἰησοῦς, συμμαχῶν Γαβαωνίταις, ὅτε καὶ ἡ ἡμέρα ηὐξήθη. ὅτι Γάλγαλα τὴν ἐλευθερίαν οἱ Ἑβραῖοι καλοῦσιν.*

21. *Περὶ τῆς σκηνῆς ἧς ἔστησεν Ἰησοῦς εἰς Σηλώμ. ὅτι ὑπέργηρως Ἰησοῦς ἐτελεύτησεν, ἐτῶν γεγονὼς ἑκατὸν δέκα. ὅτι μετὰ θάνατον Ἰησοῦ κατὰ τῶν Ἑβραίων Χαναναῖοι ἐπανέστησαν, καὶ ἡττήθησαν. ὅτι εὐθηνούμενοι Ἰσραηλῖται κατερρᾳθύμησαν*[4]) *τῶν νόμων καὶ τῶν ὅπλων.*

22. *Περὶ τοῦ ξενωθέντος ἐν Γαβαὼ Λευίτου καὶ τῆς γυναικὸς αὐτοῦ τῆς Βενιαμίτιδος*[5]), *ἣν οἱ εἰς αὐτὴν πορνεύοντες διέφθειραν. καὶ ὅτι ταύτην εἰς δώδεκα ʽμέρη διεῖλεν ὁ ταύτης ἀνὴρ καὶ ταῖς δώδεκα φυλαῖς ἔστειλε τὰ μέρη εἰς ἔλεγχον τοῦ γενομένου. περὶ Γοθονιήλ, καὶ ὅπως ἦρξε τοῦ Ἰσραηλιτῶν λαοῦ. μετὰ τὸν Γοθονιὴλ ἄναρχοι ὄντες οἱ Ἰσραηλῖται κατεφρονήθησαν. περὶ τοῦ Βενιαμίτου Ἀὼθ ἢ Ἰούδα, καὶ ὅτι τὸν Αἰγλὼμ ἀνεῖλε δόλῳ. ὅπως ἦρξε τοῦ λαοῦ Ἀώθ.*

23. *Περὶ Δευώρας τῆς προφήτιδος καὶ Βαρὰκ*[6]) *τῶν κατὰ τοῦ Σισάρα στρατευσάντων. ὅτι φεύγων Σισάρας ἀνῃρέθη παρὰ γυναικὸς γάλακτι μεθυσθείς. θάνατος Δευώρας καὶ Βαράκ. περὶ Γεδεών, καὶ ὅσα*

τ'

1) *ἐσπείσαντο*] *πείσον* cum ductu post *τ*, omisso mox *ὡς*
2) *καὶ*] addit 3) *ὑδροφόρους*] *ὑποφόρους*, etsi in textu est *ἵδροφόρους* (sic) 4) *κατερραθύμησαν* pro *κατεραθύμησαν* 5) *βενιαμίτιδος* pro *Βηθλεεμίτιδος* 6) *Βαρὰχ*] *βαρὰκ* ut est infra.

ἐποίησεν ὁ ὀφθεὶς αὐτῷ ἄγγελος, παραθαρρύνων αὐτὸν εἰς τὸν κατὰ τῶν ἐναντίων πόλεμον. περὶ τῆς[1]*) πόκου καὶ τῆς δρόσου. περὶ τῶν ἐν τῷ πίνειν λαψάντων. περὶ τῆς ἐν ὕπνοις κριθίνης μάζης, τί δηλοῖ. ὅπως τὸν οἰκεῖον λαὸν συνέταξε Γεδεών. ὅτι γηραιὸς ἐτελεύτησε Γεδεὼν καταλιπὼν υἱοὺς ἐκ διαφόρων γυναικῶν ἑβδομήκοντα, καὶ ἕνα ἐκ παλλακῆς, ὃς τοὺς ἑβδομήκοντα ἔκτεινε καὶ ἐτυράννησεν. ὅτι γύναιον ἄνωθεν βαλὸν κτείνει τὸν Ἀβιμέλεχ. ὅτι Ἰεφθάε ὑπέσχετο θῦσαι τὸ πρῶτον συναντῆσαν, εἰ νικήσει· καὶ οὕτω θύει τὴν θυγατέρα.*

24. *Ὅτι Σαμψὼν ἰσχὺν σημαίνει. ὅπως ἐγεννήθη Σαμψών. ὅτι Ναζοραῖος*[2]*) ὁ ἀφωρισμένος θεῷ. ὅτι ὁ πατὴρ Σαμψὼν Μανωὲ ἐζήτει μαθεῖν τοῦ προσομιλοῦντος ἀγγέλου τὸ ὄνομα. ὁ δὲ θαυμαστὸν εἶπεν εἶναι τοῦτο, καὶ ἐσιώπησεν.*[3]*) ὅτι θείῳ πυρὶ κατεκαύθη ἡ θυσία Μανωέ. ὅπως ἠράσθη ὁ Σαμψὼν γυναικὸς ἀλλοφύλου. καὶ ὅπως ἀναιρεῖ τὸν λέοντα, καὶ εὑρίσκει σμῆνος μελισσῶν ἐν τῷ στόματι αὐτοῦ. καὶ ὅτι τὰ περὶ τούτου πρόβλημα ἔθετο· καὶ ὅπως τοῦτο τῇ γυναικὶ ἐξηγήσατο αἰτησαμένῃ σὺν δάκρυσι. ὅτι διὰ τὸ τὴν γυναῖκα ἑτέρῳ συζυ-* PII310
γῆναι ὠργίσθη Σαμψών, καὶ λαβὼν ἀλώπεκας τριακοσίας λαμπάδας ἡμμένας ταῖς ἐκείνων οὐραῖς προσέδησε, καὶ οὕτω τὰ τῶν Παλαιστηνῶν[4]*) κατέκαυσε λήια. οἱ δὲ κατέκαυσαν τὴν γυναῖκα. ὅτι ἑκὼν ἑαυτὸν δεδεμένον τοῖς ἀλλοφύλοις παρέδωκεν ὁ Σαμψών. ὁ δὲ διὰ σιαγόνος ὄνου ἀπέκτεινε πολλούς, ὅθεν καὶ Σιαγόνα τὸν τόπον ἐκάλεσαν. ὅπως*

---

1) *τῆς*] ita cod., qui mox *παλακῆς* 2) *Ναζοραῖος*] *ναζϊραῖος*, ut in textu 3) *ἐσιώπησεν* pro *ἀπεσιώπησεν* 4) per *η* pro *ι* semper.

ἀπὸ τῆς σιαγόνος ἔπιε Σαμψών. ὅπως τὰς πύλας σὺν ταῖς παραστάσι μετέθετο Σαμψών. ὅτι ἠπάτησε Σαμψὼν ἡ Δαλιδά. καὶ μαθοῦσα τὴν ἀπὸ τῆς τριχὸς ἰσχὺν ἐκκόπτει τὴν τρίχα· καὶ αὐτοῦ ἀσθενήσαντος ἐκκόπτουσιν αὐτοῦ τοὺς ὀφθαλμοὺς οἱ ἐχθροί. ὅπως τῆς κόμης αὐξομένης καὶ ἡ ἰσχὺς ηὐξάνετο τοῦ Σαμψών. καὶ ὅπως τοὺς κίονας κατέσεισε καὶ τὴν οἰκίαν ἔρριψε καθ' ἑαυτοῦ καὶ πάντας ἀπέκτεινε σὺν ἑαυτῷ.

25. *Ὅτι μετὰ τὸν Σαμψὼν οὐκέτι κριταὶ ἦγον τὸν Ἰσραήλ, ἀλλ' ὁ ἀρχιερεὺς Ἡλεί. περὶ τῆς Νοεμὶν καὶ τῆς Ὀρφὰ καὶ τῆς Ῥούθ. ὅπως ἡ Νοεμὶν εὐτυχίαν δηλοῖ, Μάρα δὲ ὀδύνην. ὅπως ὁ Βοὸζ τὴν Ῥοὺθ εἰσαγαγὼν εἰς τὴν γερουσίαν καὶ τὸν συγγενῆ ἤρετο εἰ ταύτην βούλεται ἀγαγεῖν. τοῦ δὲ παραιτησαμένου, λαμβάνει αὐτήν, καὶ ὅτι κατὰ τὸν νόμον γέγονε τὰ σημεῖα τῆς παραιτήσεως. ὅτι Ὠβὴδ*[1]) *δουλεύων ἑρμηνεύεται. περὶ Σαμουήλ. ὅτι ὁ Ἡλεὶ προεῖπε τῇ Ἄννῃ τὴν τοῦ Σαμουὴλ γέννησιν. ὅτι προσήχθη τῷ Ἡλεὶ μετὰ τὸ γεννηθῆναι Σαμουήλ. ὅτι κοιμώμενον τὸν Σαμουὴλ ἐκάλεσεν ὁ θεός. πρόρρησις διὰ τοῦ Σαμουὴλ τῶν ἐσομένων τοῖς Ἰσραηλίταις καὶ τοῖς παισὶ τοῦ Ἡλεὶ συμφορῶν.*

26. *Κίνησις Παλαιστηνῶν*[2]) *κατὰ Ἰσραηλιτῶν καὶ τῆς κιβωτοῦ ἀποστολὴ εἰς βοήθειαν καὶ Ἑβραίων ἧττα καὶ φόνος τῶν παίδων Ἡλεὶ καὶ ἅλωσις τῆς κιβωτοῦ, καὶ θάνατος διὰ τοῦτο τοῦ Ἡλεί, ἐνενήκοντα ἐτῶν γενομένου. ὅτι εἰς Ἄζωτον πόλιν οἱ ἀλλόφυλοι τὴν κιβωτὸν ἀπήγαγον, καὶ ἀνέθεντο ἐν εἰδωλείῳ θεῷ Δαγών, καὶ διαπέπτωκε τὸ εἴδωλον.*

---

1) *Ὠβὴδ* pro *Ἰωβὴδ* 2) v. annot. p. 269, 4.

ὅτι δυσεντερία ἐνέσκηψε τῇ πόλει Ἀζωτίων, καὶ μύες ἐκ τῆς γῆς ἀνεδόθησαν. ὅτι ἀπὸ πόλεως εἰς πόλιν ἡ κιβωτὸς πεμπομένη παρὰ τῶν Παλαιστηνῶν ἐκάκου αὐτάς. ὅπως ἀπεστάλη ἡ κιβωτὸς ἐπὶ ἀμάξης ἀναθεμένων τὴν τῆς κιβωτοῦ ἄφιξιν τῇ ὁρμῇ τῶν βοῶν τῶν ἀλλοφύλων.[1]) ὅτι βόες ἀπήγαγον μόνοι εἰς τοὺς Ἰσραηλίτας τὴν κιβωτόν. ὅτι τοὺς ἀψαμένους τῆς κιβωτοῦ ἀνιέρους ἐθανάτωσεν ὁ θεός. ὅτι ὁ Σαμουὴλ ἀντὶ ἐλευθερίας ἐπείσατο.[2]) ὅτι οἱ Παλαιστηνοὶ προσβαλόντες τοῖς Ἑβραίοις ἡττήθησαν, σεισμοῦ γεγονότος καὶ βροντῶν[3]) καὶ ἀστραπῶν, αἷς ἐξεδειματώθησαν καὶ οὐκέτι προσέβαλον.

27. Ὅτι ὁ[4]) Σαμουὴλ γεγηρακὼς τοῖς υἱοῖς τὴν κρίσιν τοῦ λαοῦ ἀνατίθησιν. ὅτι ὁ λαὸς διὰ τὴν τῶν υἱῶν τοῦ Σαμουὴλ[5]) κακίαν βασιλέα ἐξήτησαν, καὶ ὁ Σαμουὴλ δεδωκέναι ὑπέσχετο, προειπὼν μεταμελήσειν αὐτοῖς[6]), εἰ λάβοιεν βασιλέα. περὶ Σαούλ, καὶ ὅπως εἰς βασιλέα ἐχρίσθη, ἀναζητῶν τοὺς ὄνους τοῦ πατρός. τίνα σημεῖα ἐπὶ τῷ χρίσματι δέδωκε τῷ Σαοὺλ ὁ Σαμουήλ. ὅτι ὁ κλῆρος ἐπὶ τὸν Σαοὺλ ἔπεσε. καὶ ἀνεζήτησαν αὐτόν, καὶ εὗρον ἀπόντα. ὅτι ἐξήτησεν ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς ἐξελεῖν ἑκάστου δεξιὸν ὀφθαλμὸν τῶν Γαλααδιτῶν, καὶ οὕτως ἀπαλλαγῆναι αὐτῶν. ὅτι προ-

---

1) *τὴν τῆς κιβωτοῦ — τῶν βοῶν τῶν ἀλλοφύλων*] addit
2) Sic etiam Mon., quum apud Zonaram sit *ἔπεισε ταύτης* (praecesserat *ἐλευθερίας*) *ἀντιποιήσασθαι* 3) *βροντῶν καὶ σεισμοῦ γεγονότων*] *βροντῶν δὲ καὶ σεισμοῦ γεγονότος καὶ βροντῶν καὶ ἀστραπῶν*, ut scribendum sit *σεισμοῦ γεγονότος καὶ βροντῶν καὶ ἀστραπῶν* 4) *ὅτι ὁ* pro *ὅτι* 5) *τῶν υἱῶν τοῦ Σαμουὴλ*] *τοῦ υἱοῦ τοῦ σαοὺλ* 6) *μεταμελήσειν αὐτοῖς*] *μεταστέλλεται αὐτοὺς* (etsi in textu habet *μεταμελήσειν αὐτοῖς*) *εἰ λάβοιεν βασιλέα*, unde addidi *εἰ — β.*

εφήτευσε Σαοὺλ[1]) τὴν ἀπώλειαν τῶν ἐχθρῶν. ὅπως κατετροπώσατο Ἀμμανίτας ὁ Σαούλ. ἡ δευτέρα τοῦ Σαοὺλ ἀναγόρευσις. πότε ἦσαν Ἑβραῖοι ἀριστοκρατούμενοι καὶ πότε ἄναρχοι καὶ πότε ἐκρίνοντο καὶ πότε ἐβασιλεύοντο.

28. Ὅτι ἐν ἀκμῇ θέρους χειμὼν γέγονεν. ὅτι καὶ πάλιν οἱ Παλαιστηνοὶ τοὺς Ἑβραίους κατέτρωσαν. ὅπως ὁ Ἰωνάθαν προσέβαλε τοῖς πολεμίοις καὶ ἥττησεν αὐτούς. ὅτι ἀρὰν ἔθετο Σαοὺλ τοῦ μὴ φαγεῖν τινα ἕως νυκτός, ἀλλὰ διώξας ἀκρατῶς τοὺς ἐχθρούς, καὶ ὅτι μὴ ἀκούσας τῆς ἀρᾶς ἔφαγεν Ἰωνάθαν, διὰ τοῦτο γέγονεν ἧττα. καὶ ὅτι ἔμελλε τοῦτον[2]) ἀνελεῖν ὁ πατήρ, εἰ μὴ ἥρπασεν αὐτὸν ὁ λαός.

29. Ὅτι κατὰ κέλευσιν θεοῦ εἶπε Σαμουὴλ τῷ Σαοὺλ συμβαλεῖν Ἀμαληκίταις καὶ πάντας κτεῖναι. καὶ ὅτι προσβαλὼν ἐνίκησε, τὸν δὲ βασιλέα αὐτῶν οὐκ ἀπέκτεινε. καὶ διὰ τοῦτο ἀκούει ἀπὸ Σαμουὴλ ἀφαιρεθῆναι τὴν βασιλείαν. ὅτι τοῦ Σαμουὴλ ὑποχωροῦντος κατέσχε τὴν διπλοΐδα αὐτοῦ Σαούλ, παρακαλῶν ἱλεώσασθαι τὸν θεόν. καὶ ἐσχίσθη ἡ διπλοΐς, καὶ εἶπε Σαμουὴλ οὕτω διαιρεθῆναι τὴν βασιλείαν αὐτοῦ. καὶ ὀψὲ παρεκλήθη Σαμουὴλ εἰπὼν ἱκετεῦσαι τὸν θεόν, εἰ τὸν βασιλέα Ἀμαληκιτῶν κτείνει Σαούλ. ὅτι ἀπὸ πάντων τῶν ἀδελφῶν
PII324 ὁ Δαβὶδ ἐχρίσθη εἰς βασιλέα, καὶ ὅτι ἐπῆλθεν ἐπ' αὐτὸν πνεῦμα προφητείας ὑποχωροῦν ἀπὸ Σαούλ. ὅτι πνεῦμα πονηρὸν ἔπνιγε τὸν Σαούλ, ὃ κατεπῇδε Δαβὶδ ψάλλων μετὰ κινύρας. καὶ ὁπλοφόρος τῷ

1) προεφήτευσε σαοὺλ pro Σαοὺλ προεφήτευσε. 2) ἔμελλε τοῦτον pro τοῦτον ἔμελλεν.

Σαοὺλ ἐχρημάτιζεν. περὶ τῶν ἐπελθόντων ἀλλοφύλων τοῖς Ἰσραηλίταις καὶ περὶ Γολιὰθ οἷος ἦν, καὶ ὅπως ὁ Δαβὶδ αὐτὸν ἐνίκησε, καὶ περὶ τῶν ὅπλων τοῦ Γολιάθ. ὁ Δαβὶδ θαρρεῖν λέγει ἐπὶ τῷ ἐνισχύσαντι αὐτὸν κατὰ τῆς ἄρκτου καὶ κατὰ τοῦ λέοντος. ὅτι ἄοπλος προσέβαλε Δαβὶδ τῷ Γολιάθ, μόνους πέντε λίθους φέρων καὶ τὴν σφενδόνην. ὅπως λίθῳ διὰ σφενδόνης τὸν Γολιὰθ κατέβαλε Δαβίδ, καὶ ἀνεῖλεν αὐτὸν τῇ οἰκείᾳ ῥομφαίᾳ αὐτοῦ. καὶ οὕτως ἡττῶνται οἱ ἀλλόφυλοι.

30. *Ὅτι ἀνέθετο Δαβὶδ τὴν ῥομφαίαν τοῦ Γολιὰθ τῷ θεῷ. ὅπως φθονῆσαι τὸν Δαβὶδ ἐκινήθη Σαούλ. ὅπως ἔψαλλε Δαβὶδ ἐπὶ Σαοὺλ δαιμονιζομένῳ, ὁ δὲ ἐπεχείρησε βάλλειν τῷ δόρατι, καὶ ἠτύχησεν. ὅτι ἤρα Δαβὶδ ἡ θυγάτηρ Σαούλ, καὶ ὑπέσχετο τὸν γάμον, εἰ ἑκατὸν ἀκροβυστίας ἐνέγκοι αὐτῷ Δαβίδ, ὃ καὶ πεποίηκεν ὁ Δαβίδ. ὅπως ἐπεβούλευεν ἀεὶ Σαοὺλ τῷ Δαβίδ. ὅπως καὶ πάλιν ὁ Δαβὶδ ἐνίκησε τοὺς πολεμίους. ὅπως πρὸς τὴν ἀποστολὴν τοῦ Σαοὺλ ἡ θυγάτηρ αὐτοῦ ἀντεμηχανήσατο τὸν Δαβὶδ προπέμψασα καὶ ἧπαρ αἰγὸς νεοσφαγοῦς ἐν τῇ κλίνῃ κατακρύψασα. ὅπως διαφόρως προεφήτευον τότε πολλοί. ὅτι εἴρηται τὸ εἰ καὶ Σαοὺλ ἐν προφήταις.*

31. *Αἱ φυγαὶ τοῦ Δαβίδ. ὅπως τοὺς ἁγίους ἄρτους ἔφαγε Δαβὶδ καὶ τὴν ῥομφαίαν τοῦ Γολιὰθ ἔλαβεν. ὅτι μανίαν ὑπεκρίθη Δαβίδ. περὶ Δωὴκ τοῦ δούλου Σαούλ, καὶ ὅπως κατήγγειλε περὶ τῶν ἄρτων καὶ τῆς ῥομφαίας, καὶ ὅπως δι' αὐτοῦ ἐκτάνθη ὁ ἀρχιερεὺς ἐκεῖνος καὶ τὸ γένος αὐτοῦ. πάλιν ἐπιβουλὴ κατὰ Δαβίδ. ὅπως διὰ τὴν τῆς γαστρὸς ἀνάγκην εἰσῆλθε Σαοὺλ εἰς τὸ σπήλαιον,*

ἔνθα ἦν ὁ Δαβίδ, καὶ οὐκ ἀπέκτεινεν αὐτόν, ἀλλ' ἔλαβε μέρος τῆς διπλοΐδος. ὅρκος Δαβὶδ πρὸς Σαοὺλ ὅτι οὐ κακώσει τὸ γένος αὐτοῦ.

32. Περὶ Νάβαλ τοῦ ἀπανθρώπως ἀποκριναμένου πρὸς τοὺς παρὰ τοῦ Δαβὶδ σταλέντας καὶ περὶ τῆς [1]) γυναικὸς Νάβαλ ὅπως ἐξιλεώσατο τηνικαῦτα τὸν Δαβίδ. ὅτι τὸ Νάβαλ ἀφροσύνην δηλοῖ. ὅπως ἐκ λύπης ἀπέθανε Νάβαλ δειματωθείς, καὶ ἔλαβε Δαβὶδ τὴν γυναῖκα αὐτοῦ, καὶ ὅπως ἐπεβούλευσεν αὐτὸν Σαούλ. ὅπως κοιμωμένῳ τῷ Σαοὺλ ἐπέστη Δαβίδ, καὶ οὐκ ἀνεῖλεν αὐτόν. ὅτι [2]) φακὸς ἀγγεῖον ὑδατηρόν. περὶ τῆς ἐγγαστριμύθου, καὶ ὅπως ἔδοξεν ἀναχθῆναι Σαμουὴλ ἐκ νεκρῶν καὶ οἷα εἶπεν ὁ ἀναχθεὶς τῷ Σαούλ. περὶ τῶν μετὰ Δαβὶδ στρατευσαμένων τετρακοσίων καὶ τῆς νίκης καὶ περὶ τῶν φυγόντων ἐν δρομάσι καμήλοις καὶ τῶν λοιπῶν διακοσίων, οὓς ἀφῆκεν εἰς φυλακὴν τῶν σκευῶν ὁ Δαβίδ, καὶ ὅτι συμμερισταὶ τοῖς τετρακοσίοις γεγόνασιν οἱ διακόσιοι οἱ τὰ σκεύη φυλάττοντες. θάνατος τῶν παίδων τοῦ Σαοὺλ καὶ ὅτι ἔσφαξεν ἑαυτὸν ὁ Σαοὺλ καὶ ὁ ὁπλοφόρος αὐτοῦ. ὅτι μετὰ τὸ ἀποθανεῖν τὸν Σαοὺλ καὶ τοὺς παῖδας αὐτοῦ ἀφῃρέθησαν τὰς κεφαλάς, τὰ δὲ σώματα τούτων ἀνεσταυρώθησαν.

1. Ὅτι ἐκόλασεν ὁ Δαβὶδ τὸν κατὰ τοῦ [3]) Σαοὺλ ἐπελθόντα καὶ τρώσαντα διὰ τὸ εἶναι χριστὸν κυρίου. ὅτι ἐν πόλει Χεβρὼν ᾑρέθη βασιλεὺς ὁ Δαβὶδ παρὰ τῆς Ἰούδα φυλῆς. [4]) ὅπως ὁ Ἀβεννὴρ διωκόμενος ἔπληξεν ἐξόπισθεν καιρίως τὸν διώκοντα

1) τῆς pro τοῦ 2) ὅτι] addit 3) τοῦ pro τὸν 4) ὅτι ἐν — φυλῆς] addit

Ἀσαὴλ καὶ ἔκτεινεν. ὅτι ἐπὶ πολὺ ἐπολέμουν ἀλλήλοις οἱ τοῦ Σαοὺλ καὶ οἱ τοῦ Δαβίδ, ὑπερίσχυον δὲ οἱ τοῦ Δαβίδ. ὅτι ὁ Ἀβεννὴρ προσερρύη τῷ Δαβὶδ καὶ ἔπεισε καὶ τοὺς λοιποὺς προσελθεῖν αὐτῷ. ὅτι ἀνεῖλεν Ἰωὰβ τὸν Ἀβεννὴρ ἐν δόλῳ. ἀναίρεσις Ἰεβοσθέ[1]*), υἱοῦ Σαούλ, καὶ ὅτι τοὺς ἀνελόντας αὐτὸν ἀνεῖλε Δαβίδ. πότε παρὰ παντὸς τοῦ Ἰσραὴλ ἐχρίσθη εἰς βασιλέα Δαβίδ, καὶ ὅτι τριακονταέτης ἦν, ὅτε μόνης τῆς τοῦ Ἰούδα φυλῆς ἦρξεν. ὅτι τὴν πόλιν Ἰεβοῦς πολιορκήσας καὶ ἑλὼν ὁ Δαβὶδ τοὺς ἐκεῖ κατοικοῦντας ἐδίωξεν, ἐπὶ οἰκείῳ δὲ ὀνόματι ταύτην ἀνῳκοδόμησε τὴν νῦν Ἱεροσόλυμα καλουμένην.*

2. *Προσβολὴ Δαβὶδ κατὰ τῶν ἐναντίων καὶ ἧττα αὐτῶν. περὶ τῆς εἰς Ἱεροσόλυμα ἀπαγωγῆς τῆς κιβωτοῦ, ὅτε καὶ ὁ Δαβὶδ ἥλατο*[2]*) ἔμπροσθεν αὐτῆς, καὶ ὁ ἁψάμενος αὐτῆς τέθνηκεν, ὡς ἀνίερος. ὅτι οὐκ ἀσχημοσύνην ἡγεῖτο Δαβὶδ τὸ ὀρχεῖσθαι καὶ ψάλλειν ἔμπροσθεν τῆς κιβωτοῦ. ὅτι ἐκωλύθη Δαβὶδ οἶκον κατασκευάσαι τῇ κιβωτῷ. περὶ ὧν ἀγαθῶν ἐποίει ὁ Δαβὶδ τῷ ἐγγόνῳ Σαούλ.*

3. *Περὶ τῶν διὰ παρηγορίαν ἀποσταλέντων παρὰ* PII325 *τοῦ Δαβὶδ πρὸς τὸν υἱὸν τοῦ βασιλέως Ἀμμανιτῶν, καὶ δοξάντων κατασκόπων καὶ ξυρηθέντων τὰς κεφαλὰς καὶ τοὺς πώγωνας. διὸ καὶ πόλεμος ἤρθη κατὰ Ἀμμανιτῶν. περὶ τῆς Βηρσαβεὲ καὶ ὅπως ἠράσθη αὐτῆς ὁ Δαβίδ, καὶ ὅπως ἀνεῖλεν Οὐρίαν τὸν ἄνδρα αὐτῆς. ὅτι μετὰ τὰ κατὰ τὸν Οὐρίαν ἔλαβε τὴν Βηρσαβεὲ ὁ Δαβὶδ εἰς γυναῖκα, καὶ ὅπως ὁ Νάθαν διὰ παραβολῆς ἤλεγξεν αὐτὸν καὶ τὴν διὰ*

---

1) Ἰεβοσθὲ] ἰεβοθὲ, ut in textu 2) ἥλατο] ἥλλατο.

τοῦτο ὀργὴν τοῦ θεοῦ προεῖπε. καὶ ὅτι συνῆκε Δαβὶδ καὶ μετενόησεν. περὶ τῆς νόσου τοῦ ἐκ τῆς Βηρσαβεὲ υἱοῦ τοῦ Δαβὶδ καὶ ὅπως ἐν τῷ νοσεῖν ἐπένθει αὐτὸν Δαβίδ. καὶ ὅπως μετὰ θάνατον τοῦ πένθους ἐπαύσατο. περὶ Σολομῶντος, ὃν ἐκ τῆς Βηρσαβεὲ ἔσχε Δαβίδ. περὶ τοῦ πολυτίμου στεφάνου, ὃν ἔλαβε Δαβὶδ πορθήσας Ἀμμανίτας.

4. Περὶ τοῦ ἔρωτος ὃν ἔσχε πρὸς Θάμαρ τὴν ἀδελφὴν ὁ Ἀμνών. καὶ περὶ τοῦ μίσους ὃ ἔσχε μετὰ τὸ διακορήσασθαι[1]) αὐτήν, καὶ περὶ Ἀβεσσαλὼμ καὶ ὅπως ἠμύνατο φόνῳ τὸν ἀδελφόν, καὶ περὶ τῆς διὰ τὸν φόνον τοῦ Ἀμνὼν φυγῆς τοῦ Ἀβεσσαλώμ, καὶ ὅτι ὠργίσθη ὁ Δαβίδ. ὅπως Ἰωὰβ ὁ πάππος Ἀβεσσαλὼμ[2]) ἐσοφίσατο ἐξιλάσασθαι τὸν Δαβὶδ πρὸς τὸν παῖδα Ἀβεσσαλώμ. περὶ τῆς κατὰ τοῦ Δαβὶδ ἐπαναστάσεως τοῦ Ἀβεσσαλὼμ καὶ περὶ τοῦ Ἀχιτόφελ τοῦ συναποστάτου Ἀβεσσαλώμ. περὶ τῆς πεπλασμένης αὐτομολήσεως Χουσὶ τοῦ ἑταίρου Δαβίδ. περὶ τῆς ἀνοχῆς Δαβὶδ ἧς ἔδειξεν ὑπὸ τοῦ Σεμεεὶ καταρώμενος.

5. Ὅπως ἐμίγη ταῖς τοῦ πατρὸς παλλακαῖς[3]) ὁ Ἀβεσσαλώμ. ὅπως τὴν τοῦ Ἀχιτόφελ βουλὴν ἄπρακτον ἔδειξεν Χουσί. ὅπως ὁ Ἀχιτόφελ ἀπήγξατο. ὅπως ἡττηθεὶς ἐδιώκετο Ἀβεσσαλὼμ καὶ ὅπως ἐκ τριχῶν ἐν δένδρῳ κατεσχέθη καὶ ἀνῃρέθη. ὅπως τὸν θάνατον τοῦ Ἀβεσσαλὼμ ἐθρήνει Δαβίδ.

6. Ὅπως αἱ λοιπαὶ φυλαὶ ἄνευ τῆς τοῦ Ἰούδα ἀπέστησαν ἀπὸ Δαβίδ. ὅπως ὁ Ἰωὰβ ἀνεῖλε τὸν Ἀβεσᾶ.[4]) περὶ τοῦ ἐπὶ ἔτη τρία κρατήσαντος λιμοῦ.

---

1) διακορήσασθαι] διακορίσασθαι, et semper ἀβεσσαλώμ, quod scripsi pro Ἀβεσαλώμ 2) ὁ πάππος ἀβεσσαλὼμ] addit 3) παλλακαῖς] παλακαῖς hic et infra n. 8. 4) Ἀβεσᾶ] ἀμεσσ.

καὶ ὅπως ἐλύθη διὰ τὸ δοθῆναι εἰς φόνον ἑπτὰ ἄνδρας ἀπὸ τοῦ οἴκου Σαοὺλ κατὰ θεῖον χρησμόν. ὅπως ἠγάπων τὸν Δαβὶδ οἱ περὶ αὐτόν. περὶ τοῦ γιγαντιαίου ἀνδρὸς τοῦ ἔχοντος ἐν ταῖς χερσὶ καὶ ἐν τοῖς ποσὶν ἀνὰ δακτύλους ἕξ.

7. *Ὅπως συνέθετο τοὺς ψαλμοὺς ὁ Δαβὶδ καὶ οἷα τὰ τοῦ ψαλμοῦ ὄργανα. περὶ τῆς ἀπαριθμήσεως καὶ ὅπως μετὰ ταῦτα μετεμελήθη Δαβίδ. περὶ τῆς αἱρέσεως τῶν τριῶν ἓν ἐξ αὐτῶν λαβεῖν, διὰ τὴν τοῦ λαοῦ ἀπαρίθμησιν, καὶ ὅτι τὸ αἱρεθὲν κακὸν τὸ ἐπελθεῖν τῷ λαῷ θάνατον, καὶ ἐπῆλθεν ἀπὸ πρωὶ ἕως ἀρίστου. πῶς ἔπαυσεν ὁ θεὸς τὴν τοῦ λαοῦ φθοράν. ὅτι καθ' ὃν τόπον ἔμελλε σφαγιάσαι Ἀβραὰμ τὸν Ἰσαάκ, ἠβουλήθη ναὸν οἰκοδομῆσαι Δαβίδ, καὶ ἐκωλύθη παρὰ θεοῦ. ὅτι ἐπῆγε Δαβὶδ διὰ τὴν θέρμην νεάνιδα.*[1] *ὅτι Ἀδωνίας τέταρτος υἱὸς τοῦ Δαβὶδ ἐπεχείρησε βασιλεῦσαι. ὅπως ἐχρίσθη Σολομὼν εἰς βασιλέα. τί ἐνετείλατο τῷ Σολομῶντι Δαβὶδ τελευτῶν. περὶ τοῦ τὸν ναὸν κτισθῆναι. πόσα ἔτη ἔζησε Δαβίδ.*

8. *Ὅτι συνετάφη τῷ Δαβὶδ πολλὰ χρήματα. ὅτι δωδεκαετὴς ἐβασίλευσε Σολομών. ὅτι ἐζήτησεν Ἀδωνίας τὴν παλλακὴν Δαβίδ, καὶ διὰ τοῦτο ἀνηρέθη παρὰ Σολομῶντος. ὅπως ἀνηρέθη Σεμεεί. ὅτι ἔλαβε Σολομὼν τὴν θυγατέρα Φαραώ. ὅσα ᾔτησε Σολομὼν τῷ θεῷ. περὶ τῶν προσελθουσῶν γυναικῶν καὶ αἰτησαμένων κρίσιν περὶ τοῦ θανόντος παιδός. ὅσα συνεγράψατο Σολομών. περὶ τοῦ δακτυλίου οὗ ἡ σφραγὶς ἐδίωκε δαίμονας.*

---

1) *ὅτι ἐπηρ*^{ε} *δᾶδ διὰ τὴν θέρμην νεάνιδα* pro *ὅτι Δαβὶδ διὰ τὴν θέρμην νεάνιδα ἐπῆγε.*

9. *Πότε ἤρξατο τῆς οἰκοδομῆς τοῦ ναοῦ Σολομών. ὅτι ἐν ἔτεσιν ἑπτὰ συνετελέσθη ὁ ναός. οἷα δι' ὀνείρου ἐνέφηνε Σολομῶντι θεὸς περὶ τῶν μελλόντων. τίνα ᾠκοδόμησε Σολομών. περὶ ὧν ἔλυσεν αἰνιγμάτων Σολομών. περὶ τῆς βασιλίσσης Αἰθιόπων. ὅθεν ἐν Παλαιστίνῃ ἐφύη τὸ βάλσαμον.*

10. *Ὅτι ἀλλοφύλοις γυναιξὶν ἐμίγη Σολομών. ὅτι τὴν κατὰ τοῦ Σολομῶντος ἀρὰν εἰς τὸν ἐξ αὐτοῦ ἔφη ἀποπληρῶσαι θεός. περὶ Ἄδερ. περὶ Ἱεροβοάμ. περὶ τῶν χρόνων Σολομῶντος, ὅσους ζῆσαι λέγεται.*

11. *Περὶ Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος. περὶ τῆς ἀποστασίας τῶν δέκα φυλῶν. περὶ τῶν δύο δαμάλεων, καὶ ὅπως ἐκώλυσεν εἰς Ἱεροσόλυμα πορεύεσθαι τὸν λαὸν Ἱεροβοάμ. ὅτι Ἱεροβοὰμ θυσιάσαι ἐλθὼν ἤκουσεν ἃ πείσεται. περὶ τοῦ ψευδοπρο-*
PII326*φήτου τοῦ ἀπατῶντος τὸν Ἱεροβοάμ. ὅτι πεισθεὶς ξενισθῆναι*[1]) *ὁ τοῦ θεοῦ προφήτης τῷ ψευδοπροφήτῃ ἐβρώθη*[2]) *παρὰ λέοντος ὑποστρέφων.*

12. *Περὶ τῶν πωλούντων τὴν χάριν τοῦ πνεύματος. περὶ ὧν προεῖπεν ἐσομένων τῇ γυναικὶ τοῦ Ἱεροβοὰμ Ἀχιά. ἐπέλευσις Σουσακὶμ κατὰ Ῥοβοὰμ καὶ ὅτι παρασπονδήσας ὁ Αἰγύπτιος πολλὰ χρήματα ἐσύλησεν. περὶ τῶν χρυσῶν ὅπλων Σολομῶντος καὶ τῶν δοράτων τῶν χρυσῶν τοῦ Δαβὶδ ἃ ἀνέθετο θεῷ. ἐπέλευσις Ἱεροβοὰμ καὶ νίκη τοῦ υἱοῦ Ῥοβοάμ. θάνατος Ἱεροβοάμ, οὗ διάδοχος ὁ υἱός. ὅτι ὁ Βασσὰν παγγενῆ τὸν οἶκον Ἱεροβοὰμ ἐξωλόθρευσεν. περὶ τοῦ εἰσδύντος εἰς τὰ βασίλεια καὶ ἑαυτὸν κἀκεῖνα καύσαντος. περὶ τοῦ πῶς ἐκλήθη Σαμάρ.*

---

1) *ξενισθῆναι* pro *ἐξενίσθη* 2) *ἐβρώθη* pro *καὶ ἐβρώθη*.

ὅτι οἱ τῶν Ἰσραηλιτῶν βασιλεῖς ὀλιγοχρόνιοι τότε ἦσαν διὰ τὴν παρανομίαν. ὅτι προεῖπεν ὁ προφήτης νίκας ἔσεσθαι καὶ λοιπὰς εὐκληρίας τοῖς ἀνθρώποις ἐκείνοις, εἰ ἀντιποιοῦνται δικαιοσύνης. περὶ Ἀχαάβ, ὅτι ἐν Σαμαρείᾳ ἐκέκτητο τὰ βασίλεια.

13. *Περὶ Ἠλιοὺ καὶ περὶ τῆς ἀνομβρίας καὶ περὶ τοῦ τρέφεσθαι αὐτὸν ὑπὸ κόρακος καὶ περὶ τῆς χήρας ἣ ἔτρεφε τὸν Ἠλιού. περὶ τοῦ υἱοῦ τῆς χήρας, ὃν ἀνέστησεν Ἠλιού. περὶ Ἀβδιού, ὅτι χρηστὸς ὢν φεύγειν συνήνει τὸν Ἠλιού, ἵνα μὴ ἀναιρεθῇ. περὶ ὧν ἔκρυπτεν Ἀβδιοὺ ἑκατὸν προφητῶν. περὶ ὧν ἐπαρρησιάσατο Ἠλίας πρὸς Ἀχαάβ. περὶ τῆς θυσίας τῶν ψευδοπροφητῶν καὶ τῆς θυσίας Ἠλιού, καὶ ὅπως ἀνεῖλε τοὺς ἱερεῖς τῆς αἰσχύνης. ὅτι εἶπεν Ἠλίας εἶναι ὑετόν, καὶ ἐγένετο. καὶ ὅτι ἔφυγε διὰ τὴν Ἰεζάβελ. ὅτι τεσσαράκοντα ἡμέρας ἄσιτος ἐπορεύετο Ἠλιού. ὅπως ἔχρισεν Ἠλίας τὸν Ἀζαὴλ εἰς βασιλέα καὶ τὸν Ἰηοὺ καὶ τὸν Ἐλισσαῖον εἰς προφήτην.*

14. *Περὶ τοῦ ἀμπελῶνος Ναβουθαί. ὅπως ἐξ ἐπιβουλῆς τῆς Ἰεζάβελ ὁ Ναβουθαὶ τέθνηκε, καὶ ὅπως ἔκτοτε τὸν ἀμπελῶνα κατέσχεν Ἀχαάβ. πρόρρησις Ἠλιοὺ περὶ τῆς ἀπωλείας τοῦ Ἀχαὰβ παγγενῆ διὰ τὸν φόνον Ναβουθαί*[1]*. ὅτι διὰ τὴν μετάνοιαν τοῦ Ἀχαὰβ τὰ ἠπειλημένα ὑπερθέσθαι εἶπεν ὁ θεὸς καὶ τελέσαι ταῦτα ἐπὶ τῷ υἱῷ αὐτοῦ. ὅτι ὁ βασιλεὺς Συρίας ἐστράτευσε κατὰ Σαμαρείας. ὅτι ὁ Ἀχαὰβ πεισθεὶς τῷ προφήτῃ μετὰ σλβ′ ἡττᾷ τὸν Ἀσσύριον καὶ σκυλεύει αὐτοῦ τὸ στράτευμα. ὅτι*

---

1) *τοῦ* ante *Ναβουθαὶ* om.

καὶ πάλιν ἐπεστράτευσε κατὰ Σαμαρείας ὁ Σύρος. ἥττα καὶ πάλιν τῶν Σύρων. ὅπως οἱ τοῦ Ἄδερ προσῆλθον δεδεμένοι ἑκόντες τῷ Ἀχαάβ, καὶ ὅπως τὸν Ἄδερ μετὰ τιμῆς ἐδέξατο. περὶ τοῦ προφήτου Μιχαίου, καὶ ὅπως ἠξίου παταχθῆναι. ἐκστρατεία Ἀχαὰβ κατὰ τῆς πόλεως Ῥεμμάν. ὅπως προεῖπε Μιχαίας τὸν Ἀχαὰβ πεσεῖσθαι ἐν Ῥεμμάν. ὅπως ἐν τῷ πολέμῳ τοξευθεὶς Ἀχαὰβ ἔθανεν. ὅτι κατὰ τὴν πρόρρησιν Ἠλιοὺ τὸ αἷμα Ἀχαὰβ κύνες ἔλειξαν καὶ πόρναι ἐλούσαντο.

15. *Ὅτι τὸν Ἀχαὰβ διεδέξατο ὁ υἱός. ὅπως ἐπῆλθον κατὰ Ἱερουσαλὴμ πολέμιοι. ὅπως τῇ κελεύσει τοῦ θεοῦ οἱ πολέμιοι ἀλλήλους ἐφόνευσαν, καὶ οὕτως ἡ νίκη γέγονε τοῖς ἐν Ἱερουσαλήμ. ὅτι μυῖα ἦν ἡ τῶν Ἀκκαρῶν θεός, καὶ ὅτι ἤρετο ταῦτα, εἰ ἀναστήσεται νοσῶν Ὀχοζίας. καὶ ὅτι διὰ τοῦτο εἶπεν Ἠλιοὺ μὴ ἀναστῆναι αὐτόν. καὶ ὅτι ἀπέστειλεν Ὀχοζίας ἀγαγεῖν τὸν Ἠλίαν. ὅτι οἱ ἀποσταλέντες πυρὶ θείῳ ἐκαύθησαν. ὅπως ἐπαύσατο Ὀχοζίας, ὃν διεδέξατο Ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ. περὶ τῆς ἀναλήψεως Ἠλιού. ὅπως ἐζητήθη Ἐλισσαιέ. ὅπως ἐν ἅλατι τὰ ὕδατα ἐγλύκανεν Ἐλισσαιέ. ὅτι ἐξ ἀρᾶς ἄρκτοι κατέφαγον τὰ παιδία. ὅπως ἐν ἐρήμῳ διῆλθεν ὁ στρατός. ὅπως τὰ ὕδατα διὰ τὴν τοῦ ἡλίου αὐγὴν ἐρυθρὰ ἐφαίνοντο. ὅπως ἔθυσε Μωαβίταις*[1]) *ὁ βασιλεὺς τὸν οἰκεῖον υἱόν. περὶ Ἰωσαφάτ.*

16. *Πῶς*[2]) *Ἐλισσαῖος ἐπλήθυνε τὸ ἔλαιον τῇ χρεωστούσῃ γυναικί. ὅτι ἐγεννήθη ὁ παῖς, καθὼς προεῖπεν Ἐλισσαιέ, καὶ ὅτι τεθνηκότα τὸν παῖδα πά-*

---

1) *μωαβίταις* pro *Μωαβιτῶν* 2) *πῶς*] *ὅπως* ed. Ducangii. V. 2, 7, v. 7.

λιν ἀνέστησεν Ἐλισσαῖος. ὅτι διὰ μετρίων ἄρτων Ἐλισσαῖος πλῆθος ἐχόρτασε πολύ. ὅπως προσήγαγε χρήματα τῷ Ἐλισσαίῳ Νεεμάν, ἵνα τῆς λέπρας λυτρωθῇ. ὅτι κατ' ἐντολὴν τοῦ προφήτου εἰς τὸν Ἰορδάνην ἐλούσατο Νεεμάν, καὶ ἐκαθαρίσθη. περὶ τῆς εἰς τὸ ὕδωρ πεσούσης ἀξίνης, καὶ ὅπως ἀνέδυ διὰ τοῦ ξύλου. περὶ τοῦ ληψομένου λαοῦ τὸν Ἐλισσαῖον. ὅπως ἤγαγεν αὐτοὺς εἰς μέσους τοὺς πολεμίους, καὶ ὅπως πάλιν ἐρρύσατο τούτους, καὶ ὅπως εἶδεν αὐτὸν ὁ οἰκεῖος διάκονος πυρίνοις ἅρμασι κεκυκλωμένον.

17. Ὅτι ἐν καιρῷ λιμοῦ ἡ κεφαλὴ τῆς ὄνου πολλοῦ ἐπωλεῖτο. περὶ τῆς ἐγκαλούσης γυναικὸς PII327
ὅτι μὴ πείθεται ταῖς συνθήκαις. ὅτι προεῖπεν Ἐλισσαῖος τὴν τῶν ἐναντίων καταστροφήν. ὅπως ἀθρόον οἱ Σύροι ἡττήθησαν. περὶ τῶν λεπρῶν, οἳ κατεμήνυσαν τὴν τῶν ἐναντίων ὑποχώρησιν. ὅτι μετὰ τὴν τῶν πολεμίων ὑποχώρησιν ἄφθονα γέγονε τὰ ἀναγκαῖα. ὁ δὲ ἀπιστήσας τῇ προρρήσει τοῦ προφήτου συμπατηθεὶς τέθνηκε, καὶ οὐκ ἔφαγε κατὰ τὴν πρόρρησιν Ἐλισσαίου. ὅτι προεῖπεν ὁ προφήτης τῷ Ἀζαὴλ τὴν βασιλείαν Συρίας. ὅτι Ἀζαὴλ ἔπνιξε τὸν βασιλέα Δαμασκοῦ καὶ ἐκράτησεν.

18. Ὅτι προεῖπε τῷ Ἰωρὰμ ὁ προφήτης τὰ ἐσόμενα τούτῳ κακὰ διὰ τὴν ἀσέβειαν αὐτοῦ. ὅτι διὰ τοῦ μαθητοῦ τοῦ προφήτου ἐχρίσθη εἰς βασιλέα Ἰηού, ἵνα τὸ γένος Ἀχαὰβ ἀπολέσῃ. ὅτι βέλει κτείνει τὸν Ἰωρὰμ Ἰηοῦς, καὶ ἔπεσεν ὁ νεκρὸς εἰς τὸν τοῦ Ναβουθαὶ ἀγρόν, καθὼς προεῖπεν Ἠλιού. ὅτι καὶ Ἰεζάβελ ἄνωθεν ῥιφεῖσα τέθνηκε, καὶ διεσπάσθη τὸ σῶμα αὐτῆς ὑπὸ κυνῶν. ὅτι οἱ παῖδες Ἀχαὰβ πάντες ἀπετμήθησαν καὶ πᾶσα ἡ συγγένεια αὐτοῦ.

ὅπως οἱ ἱερεῖς καὶ οἱ προφῆται τοῦ Ἀχαὰβ πάντες ἀνῃρέθησαν καὶ ὁ οἶκος τοῦ Βαὰλ ἐκαύθη καὶ ἡ στήλη αὐτοῦ.

19. *Ὅτι διὰ τὸν ἀφανισμὸν τοῦ γένους Ἀχαὰβ ἐπηγγείλατο ὁ θεὸς μακρὰν τὴν βασιλείαν τῷ γένει τοῦ Ἰηοῦς. καὶ ὅτι ἡ Γοθολία ἀνεῖλε πάντας τοὺς τοῦ γένους Δαβὶδ πλὴν ἑνός. ὅπως ὁ περιλειφθεὶς τοῦ γένους Δαβὶδ ἀνηγορεύθη βασιλεύς. ὅπως ἀνῃρέθη ἡ Γοθολία. ὅτι ἑπταετὴς ἦν ὁ ἐκ γένους Δαβὶδ τότε βασιλεύσας. περὶ τοῦ κιβωτίου, οὗ τὸ πῶμα*[1]) *τετρημένον ἦν, καὶ ἐνέβαλε διὰ τῆς ὀπῆς ἕκαστος κατὰ δύναμιν εἰς τὸν ἀνακαινισμὸν τοῦ ναοῦ. ὅτι ἑκατὸν τριάκοντα ἔτη ἐβίω Ἰωδαέ. ὅτι ὁ υἱὸς Ἰωδαὲ Ζαχαρίας ἐλέγχων τὸν βασιλέα ἀνῄρητο.*[2])

20. *Ὅτι θνήσκων Ἐλισσαιὲ ἐθρηνεῖτο παρὰ βασιλέως Ἰωάς. περὶ τοῦ ῥιφέντος παρὰ τῶν λῃστῶν εἰς τὸν τάφον Ἐλισσαιὲ καὶ ζήσαντος. τελευτὴ Ἰωάς, ὃν διεδέξατο Ἀμεσίας ὁ υἱός, καὶ ἐκόλασε τοὺς τὸν πατέρα ἀνελόντας, τοὺς δ' υἱοὺς αὐτῶν ἀφῆκεν. ὅτι Ἀμεσίας ὑπερηφανευσάμενος ἐμήνυσε δριμέα πρὸς τὸν βασιλέα Ἰσραήλ. ὁ δὲ ταπεινοφρονεῖν*[3]) *αὐτῷ ἀντεμήνυσε διὰ παραδείγματος. ὅτι ὁ Ἰωὰς νικᾷ Ἀμεσίαν.*

21. *Περὶ τοῦ προφήτου Ἰωνᾶ, καὶ ὅτι ἀπεστάλη εἰς Νινευίτας, καὶ ὅτι ὁ κλῆρος ἐπὶ τὸν Ἰωνᾶν ἔπεσεν. ὅπως ὁ τῆς Νινευὶ βασιλεὺς καὶ ὁ λαὸς ἅπας μετενόησαν. περὶ τοῦ Ὀζίου, ὅπως ὡς ἱερεὺς θυμιᾶσαι ἐπιχειρήσας ἐλεπρώθη. περὶ τοῦ προφήτου Ναούμ.*

---

1) *πῶμα* scripsi pro *πόμα* 2) *ἀνῄρητο* pro *ἀνῃρέθη* 3) *ταπεινοφρονεῖν*] *ταπεινοφρονῶν*.

22. Ὅτι Φακεὲ πολλοὺς αἰχμαλώτους εἰς Σαμάρειαν ἤγαγεν, εἶτα τούτους ἀπέλυσεν ὡς ὁμοφύλους. ὅτι σφόδρα ἠσέβησεν Ἀχάζ. ὅτι εὐσεβὴς ἦν Ἐζεκίας. πολιορκία καὶ κατάσχεσις Σαμαρείας. ὅτι μετῳκίσθησαν οἱ Σαμαρεῖται ἀπὸ Σαμαρείας. ὅτι ἐγκατῳκίσθησαν ἐκεῖ οἱ Χουθαῖοι. μετὰ δὲ τὴν κατοίκησιν λέοντες τούτους διέφθειραν· διὸ καὶ ἐπείσθησαν τῷ θεῷ προσελθεῖν.

23. Πότε Σεναχηρεὶμ ἐστράτευσε κατὰ τῆς Ἰουδαίας. ῥήματα Ῥαψάκη[1]) πρὸς Ἐζεκίαν, καὶ ὅτι οὗτος τὸν θεὸν ἐπικαλεσάμενος ἐνίκησε κατὰ τὴν πρόρρησιν Ἠσαΐου. ὅτι διὰ νυκτὸς ἄγγελος ἀνεῖλεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν ἐναντίων. περὶ τῶν μυῶν τῶν φαγόντων τὰ τόξα τῶν Ἀσσυρίων καὶ τὰ λοιπὰ ὅπλα. περὶ τῶν ἐν μιᾷ νυκτὶ διὰ λοιμώδους[2]) νόσου ἀναιρεθέντων Ἀσσυρίων μυριάδων πολλῶν. ἀναίρεσις Σεναχηρείμ. νόσος Ἐζεκίου καὶ προφητεία Ἠσαΐου ὅτι θνήσκει. καὶ μετάνοια Ἐζεκίου, καὶ προσθήκη αὐτοῦ τῆς ζωῆς. καὶ περὶ τοῦ ἀναποδισμοῦ τοῦ ἡλίου ὃν ἐποίησεν Ἠσαΐας. ὅτι Ἐζεκίας ἤνοιξε τοὺς θησαυροὺς αὐτοῦ καὶ τὰ ὅπλα τοῖς πρέσβεσι τοῦ βασιλέως[3]) Βαβυλωνίων, καὶ ὅτι Ἠσαΐας ᾐτιάσατο τοῦτο. θάνατος Ἐζεκίου. ἀνάρρησις Μανασσῆ καὶ Βαβυλωνίων ἐπέλευσις καὶ νίκη. ὅτι μετανοήσας Μανασσῆς ἐλυτρώθη τῆς αἰχμαλωσίας. τελευτὴ Μανασσῆ. βασιλεία Ἰωσία καὶ ἀνακαινισμὸς τοῦ ναοῦ.[4])

24. Περὶ τῆς προφήτιδος Ὄλδα. ὅτι ὅρκον ἀπητήθη ὁ λαὸς φυλάττειν τοὺς νόμους τοῦ[5]) θεοῦ.

---

1) ῥαψάκη pro Ῥαψάκου 2) λοιμώδους pro λιμώδους 3) τοῦ βασιλέως] τῆς βασιλείας 4) τελ μανασσῆ — ναοῦ] addit 5) τοῦ] addit.

ὅτι τοξευθεὶς Ἰωσίας τέθνηκεν. περὶ τοῦ προφήτου Ἱερεμίου. περὶ Ναβουχοδονόσορ. περὶ ὧν προεῖπεν Ἱερεμίας. ὅτι ὁ Βαβυλώνιος ᾐχμαλώτευσε μετὰ τοῦ λαοῦ καὶ τὸν προφήτην Ἰεζεκιήλ. ὅτι Ἰωακεὶμ παραδέδωκεν ἑαυτὸν ὑπὲρ τῆς πόλεως.

25. *Ὅπως τῆς Ἱερουσαλὴμ ὁ Σεδεκίας ἐβασίλευσεν. περὶ τῶν δοκουμένων διαφωνιῶν τῶν προφητῶν, καὶ ὅπως ὁμόφωνοι εὑρέθησαν. ὅτι ὁ Σεδε-*
PII328*κίας τυφλωθεὶς οὐκ εἶδε τὴν Βαβυλῶνα. περὶ ὧν προεῖπεν Ἱερεμίας ἐσομένων κακῶν. ἡ δευτέρα ἐπέλευσις τῶν Βαβυλωνίων κατὰ Ἱερουσαλήμ, καὶ ὅπως τὰ ἐσόμενα εἰδὼς Ἱερεμίας παρεκάλει τὸν λαὸν δέξασθαι τοὺς Βαβυλωνίους. ὅπως εἰς λάκκον ὁ προφήτης ἐνεβλήθη. κατάσχεσις τῆς Ἱερουσαλὴμ παρὰ τῶν Βαβυλωνίων. ὅτι ἐζωγρήθη Σεδεκίας παγγενῆ, καὶ ἐτυφλώθη, οἱ δὲ ἐκείνου ἀνῃρέθησαν. ὅπως ὁ Ναβουζαρδὰν τὸν ναόν, τὰ βασίλεια, καὶ τὴν πόλιν κατέσκαψεν.*

1. *Ὅτι ὁ Ἰσμαὴλ τὸν Γοδολίαν ἀπέκτεινεν. φυγὴ πρὸς Αἴγυπτον τῶν Ἰουδαίων ἀγόντων καὶ τὸν Ἱερεμίαν καὶ τὸν Βαρούχ. ὅτι λίθοις τέθνηκεν Ἱερεμίας. ὅπως παρ' Ἀλεξάνδρου ὁ νεκρὸς Ἱερεμίου μετηνέχθη εἰς Ἀλεξάνδρειαν.*[1]) *πότε αἱ δέκα φυλαὶ ἤχθησαν εἰς Σαμάρειαν. πότε αἱ δύο παρὰ Ναβουχοδονόσορ ᾐχμαλωτίσθησαν.*

2. *Περὶ τῶν εὐνουχισθέντων αἰχμαλώτων παρὰ τοῦ Βαβυλωνίου. περὶ Δανιὴλ καὶ τῶν τριῶν παίδων. ὅπως οὐκ ἐκρεωφάγησαν οἱ παῖδες καὶ ὁ Δανιήλ. ὅτι τὴν Χαλδαϊκὴν παιδείαν ἔμαθον οἱ παῖδες καὶ ὁ Δανιήλ. περὶ τοῦ ἐνυπνίου Ναβουχοδονόσορ.*

---

1) *ὅπως — Ἀλεξάνδρειαν*] addit.

ὅπως ἱκέτευον οἱ παῖδες τὸν θεὸν ἀποκαλυφθῆναι αὐτοῖς τὸ ἐνύπνιον. διήγησις τοῦ ἐνυπνίου καὶ κρίσις. ποίας βασιλείας εἰκόνιζεν ἡ εἰκὼν ἡ ὀφθεῖσα τῷ Ναβουχοδονόσορ.

3. Οἵα νῦν ἡ τῶν Ῥωμαίων βασιλεία, οὐκ ἰσχυρὰ ὡς τὸ πρότερον. δι' ἣν αἰτίαν ἡ τῶν Ῥωμαίων βασιλεία σιδήρῳ εἰκονίσθη ἀναμεμιγμένῳ μετὰ ὀστράκου. τί δηλοῖ ὁ λίθος, ὃς τὴν εἰκόνα κατέλυσεν. χρῆσις ἐκ τῆς γραφῆς ὅτι λίθος ὁ Χριστός. ὅτι ὄρος ἡ τοῦ Ἰούδα φυλὴ καὶ λίθος ὁ Χριστός. καὶ τὸ ἄνευ χειρῶν τμηθῆναι ἡ ἄνευ ἀνδρὸς γέννησις. ὅτι δώροις ἐδεξιώσατο τὸν Δανιὴλ ὁ Ναβουχοδονόσορ καὶ Βαλτάσαρ τοῦτον μετωνόμασεν.

4. Περὶ τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονόσορ εἰς τὸ προσκυνηθῆναι. περὶ τοῦ ἀγγέλου, ὃς τέταρτος ὤφθη μετὰ τῶν παίδων. ὅπως ἐτιμήθησαν οἱ τρεῖς παῖδες. ἐνύπνιον ἕτερον τοῦ Ναβουχοδονόσορ περὶ τοῦ δένδρου. πάλιν ἀγνοεῖ τὸν ὄνειρον καὶ καλεῖ τοὺς εἰπεῖν αὐτὸ[1]) μέλλοντας, καὶ καλεῖ τὸν Δανιήλ, ὃς καὶ ἔκρινε τοῦτο. ὅτι τὸ Ἶρ ἄγγελον δηλοῖ, τοῦτ' ἐστὶ τὸν ἐγρηγορότα. ὅτι μανίαν νοσήσας ὁ Ναβουχοδονόσορ ἐν τῇ ἐρήμῳ ὡς θηρίον διέτριβεν. ὀνόματα ἀρχαίων[2]) ἱστορικῶν.

5. Τίς διεδέξατο τὸν Ναβουχοδονόσορ, καὶ ἑξῆς περὶ Βαλτάσαρ, καὶ ὅπως ἐχρήσατο τοῖς ἱεροῖς τῶν Ἰουδαίων σκεύεσιν. περὶ τοῦ ἀστραγάλου τῆς χειρός, ὃν εἶδεν ἐν τῷ τοίχῳ Βαλτάσαρ. ὅπως ὁ Δανιὴλ διασαφεῖ τῷ Βαλτάσαρ τὸν θεαθέντα ἀστράγαλον. τί σημαίνει τὰ γραφέντα διὰ τοῦ ἀστραγάλου. ὅτι Κύρου ἐπελθόντος κατὰ Βαλτάσαρ ἀνῃρέθη

---

1) αὐτὸ pro αὐτῷ 2) τῶν ante ἀρχαίων om.

Βαλτάσαρ. ὅτι τὸν Δανιὴλ ὁ Δαρεῖος εἰς Μηδίαν μετήγαγε μετὰ τὴν τῆς Βαβυλῶνος ἅλωσιν. ὅτι ὁ Δαρεῖος καὶ Κυαξάρης ἐκαλεῖτο. ὅτι διὰ τὸ δόξαι παραβῆναι τὸν τεθέντα τότε νόμον περὶ τοῦ μὴ εὔξασθαι ὁ Δανιὴλ ἐνεβλήθη εἰς τὸν λάκκον μετὰ τῶν λεόντων. ὅτι οἱ κατὰ τοῦ Δανιὴλ εἰπόντες ἐνεβλήθησαν εἰς τὸν λάκκον τῶν λεόντων.

6. Περὶ τοῦ ἐνυπνίου ὃ εἶδεν ὁ Δανιήλ, ἤτοι τῶν τεσσάρων θηρίων τῶν ἀπὸ τῆς θαλάσσης ἀναβάντων, καὶ ὅτι τὸ πρῶτον ἦν λέαινα. τὸ δεύτερον ἄρκος.[1] τί ἐστι τὸ εἶδος τῆς τιμωρητικῆς σκαφεύσεως. τίνας ὁ Κῦρος καὶ τίνας ὁ Καμβύσης καὶ τίνας ὁ Δαρεῖος ὑπέταξε καὶ τίνας ὁ Ξέρξης. τὸ δὲ τρίτον πάρδαλις. τίνες οἱ δ' οἱ διαδεξάμενοι τὴν τοῦ Ἀλεξάνδρου ἀρχήν.

7. Τί τὸ τέταρτον θηρίον. εἰς τί ἐπὶ τῆς Ῥωμαϊκῆς[2] βασιλείας τὸ ἐσθίειν καὶ λεπτύνειν ἐξείληπται. περὶ τοῦ Ἀντιχρίστου. περὶ τοῦ ὀφθέντος Δανιὴλ παλαιοῦ τῶν ἡμερῶν. περὶ τῆς ἀπωλείας τοῦ Ἀντιχρίστου. περὶ τῆς δευτέρας παρουσίας τοῦ υἱοῦ τοῦ θεοῦ.

8. Περὶ τῆς ἑτέρας ὀπτασίας τοῦ Δανιήλ. ἦν δ' αὕτη κριὸς κερασφόρος καὶ τὰ ἑξῆς. ὅτι τὰ Σοῦσα μητρόπολις ἦν τῶν Περσῶν. ὅτι Καμβύσης παῖς Κύρου, καὶ τοῦτον διεδέξαντο μάγοι, καὶ τούτους ὁ Ὑστάσπου Δαρεῖος. περὶ τοῦ τράγου ὃν εἶδε Δανιὴλ καὶ τί ἐσήμαινεν. ὅτι Ἀλέξανδρος τῶν Περσῶν καὶ Μήδων βασιλεὺς κατέστη, καὶ Δαρεῖον

---

1) ἄρκος pro ἄρκτος, ut in textu 2) Ῥωμαϊκῆς] $\overset{\mu}{\rho\omega}$ cum ductu scripto μ, quod est Ῥωμαίων potius quam Ῥωμαϊκῆς.

ἥττησε, συλλαβὼν τὴν γυναῖκα αὐτοῦ καὶ τὰς θυ- PII329
γατέρας. ὅτι Πέρσαι καὶ Μῆδοι κατέλυσαν τὴν βασιλείαν Ἀσσυρίων. περὶ τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς καὶ τῆς αὐτοῦ κατὰ Ἱερουσαλὴμ ἐπελεύσεως καὶ ὧν ἐποίησεν ἐκεῖ. ἑσπέρα[1]) σημαίνει τὴν ἀρχὴν τῶν ἀνιαρῶν ἢ τὸν ὅλον χρόνον καθ' ὅσον ταῦτα.

9. Ὅτι ὤφθη τῷ Δανιὴλ ὁ ἄγγελος Γαβριήλ. διὰ τί ἐκλήθη Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν. ὅτι ἑκάστην ἡμέραν εἰς ἐνιαυτὸν ἐλογίσαντο.[2]) ὅτι τὸ σφραγίσαι τοῦ παυθῆναι σημαντικόν. πότε ἤρξατο ὁ ναὸς τῶν Ἰουδαίων οἰκοδομεῖσθαι μετὰ τὴν αἰχμαλωσίαν. ὅτι ἡγούμενος ἐκλήθη ὁ Χριστός.

10. Ὅτι οἱ Ἑβραῖοι κατὰ τὸν σεληνιακὸν δρόμον μετροῦσι τὸν ἐνιαυτόν, ἔχοντες αὐτὸν ἡμερῶν τριακοσίων καὶ πεντήκοντα καὶ τεσσάρων.[3]) ὅτι τὸ παράνομον χρίσμα τῶν ἱερέων οὐδὲν δοκεῖ.

11. Ἰουδήθ. ὅτι τὰ Ἐκβάτανα βασίλεια τῶν Μήδων ἦσαν. περὶ Ἀχιὼρ τοῦ συμβουλεύσαντος τῷ Ὀλοφέρνῃ μὴ στρατεῦσαι κατὰ Ἰουδαίων, καὶ ὅπως αὐτὸν ὁ Ὀλοφέρνης παρέδωκε τοῖς Ἰουδαίοις, ἐλπίζων καὶ αὐτὸν συλλαβεῖν μετ' αὐτῶν[4]) καὶ κολάσασθαι. ὅτι ἐστενοχωρήθησαν οἱ Ἑβραῖοι δι' ἔνδειαν ὕδατος.

12. Οἵα ἦν Ἰουδήθ. ὅτι ἐξῆλθε πρὸς Ὀλοφέρνην ἡ Ἰουδὴθ στολισαμένη λαμπρῶς καὶ ἀποβαλομένη[5]) τὴν τῆς χηρείας στολήν. πρόρρησις τῆς Ἰουδὴθ περὶ τῆς Ὀλοφέρνου σφαγῆς. ὅτε ἀπῆλθε

---

1) ἑσπέρα] ἑσπέραν 2) ἐλογίσαντο] ἐλογίσατο 3) τριακοσίων καὶ πεντήκοντα] τνδ', unde addidi καὶ τεσσάρων, ut est in textu 4) αὐτῶν pro αὐτὸν 5) ἀποβαλομένη scripsi pro ἀποβαλλομένη, ut ἀποθεμένη dicit Zon.

πρὸς τὸν Ὀλοφέρνην. ὅτι ἀρχαῖον, ὡς ἔοικε, τοῖς εὐνούχοις τὸ ὑπηρετεῖν εἰς τοιαῦτα. τί ἔστιν ἀκινάκης, καὶ ὅτι δι' αὐτοῦ ἀνῃρέθη ὁ Ὀλοφέρνης. ὅπως εἰσῆλθε πάλιν εἰς τὴν πόλιν Ἰουδὴθ μετὰ τῆς κεφαλῆς Ὀλοφέρνου, καὶ οἷα συνεβούλευσε μετὰ ταῦτα γενέσθαι. περιτομὴ Ἀχιώρ. ἧττα κατὰ Ἀσσυρίων. ὅτι Ἰουδὴθ ἐστεφανώθη ἐλαίας θαλλῷ[1]) *καὶ ᾖσεν ᾠδὴν τῷ θεῷ, ᾧ καὶ ἀνέθετο τὴν Ὀλοφέρνου σκηνήν.*

13. *Τωβίτ. ὅτι ἡ Νινευὶ τῶν Ἀσσυρίων μητρόπολις. τύφλωσις Τωβίτ. ὅτι δικαιότατος ὁ Τωβίτ, ὃς καὶ ἐν πενίᾳ τοῦ δικαίου ἐφρόντιζεν.*[2]) *περὶ Σάρρας, ἧς τοὺς ἄνδρας ἀπέπνιγε τὸ συνὸν αὐτῇ δαιμόνιον, ὡς ἐρῶν αὐτῆς. περὶ τοῦ ἀρχαγγέλου Ῥαφαήλ. ὅπως ὁ υἱὸς Τωβὶτ Τωβίας ἀπεστάλη παρὰ τοῦ πατρὸς ἐπὶ τὸ λαβεῖν τὴν παρακαταθήκην, καὶ ὅπως Ῥαφαὴλ ὁ ἀρχάγγελος ὡδήγησεν αὐτόν. περὶ τοῦ ἰχθύος οὗ τὸ ἧπαρ καὶ τὴν χολὴν ἐκελεύσθη Τωβίας φυλάττειν, καὶ ἐδιδάχθη εἰς τί ταῦτα συντελεῖ.*

14. *Ὅτι Ἀζαρίαν μετωνόμασεν ἑαυτὸν ὁ ἄγγελος Ῥαφαήλ. ὅπως ὁ Τωβίας ἰάσατο τὰ λευκώματα τοῦ πατρός. ὅτι ὁ Ῥαφαὴλ ἀπήγγειλε τῷ Τωβὶτ ἄγγελος εἶναι θεοῦ, καὶ ἀποσταλῆναι πρὸς αὐτούς. διήγησις τῶν ἐσομένων Νινευὶ τῇ πόλει κατὰ τὴν πρόρρησιν Ἰωνᾶ ἀπὸ Τωβὶτ πρὸς Τωβίαν τὸν υἱὸν αὐτοῦ ὑπὸ*[3]) *Ἱερουσαλήμ. ὅτι ἑκατὸν πεντήκοντα καὶ ὀκτὼ ἐτῶν γενόμενος ὁ*[4]) *Τωβὶτ τέθνηκεν. ὅτι τὰ Ἐκβάτανα πόλις τῆς Μηδίας ἐστίν.*

---

1) *θαλλῷ*] *θαλῷ* 2) *ἐφρόντιζεν* pro *ἐφρόντισεν* 3) *ὑπὸ*] addit 4) *ὁ*] addit.

15. Περὶ τῆς βασιλείας Μήδων καὶ Περσῶν, καὶ ὅτι Ἀστυάγης ἦρχε Μήδων, ὁ Καμβύσης δὲ Περσῶν. ὅπως οἱ Πέρσαι ἐπολιτεύοντο λίαν ἐννόμως καὶ δικαίως. ὅπως οἱ παῖδες παρὰ Πέρσαις διῆγον. ὅτι μέχρι τοῦ ἑπτακαιδεκάτου ἐνιαυτοῦ παῖδες ἐλέγοντο, ἑξῆς δ' ἔφηβοι. ὅπως περὶ τὴν θήραν ἠσχόληντο Πέρσαι. ὅτι ἔστιν οὗ καὶ κάρδαμον εἶχον ὄψον. ὅτι κε' ἐτῶν οἱ τέλειοι ἦσαν. ὅτι μετὰ τὰ πεντήκοντα ἔτη εἰς τοὺς γηραιοὺς ἐτάττοντο καὶ οὐκέτι ἐστρατεύοντο, ἀλλ' ἐδίκαζον. ὅτι τοῖς Πέρσαις αἰσχρὸν τὸ ἔχειν περιττώματα.

16. Ὅτι μητροπάτωρ Κύρου ὁ Ἀστυάγης ἄρχων μὲν Μήδων, πενθερὸς δὲ Καμβύσου ἄρχοντος Περσῶν καὶ πατρὸς Κύρου, καὶ ὅτι ἕτεροι Ἀσσύριοι καὶ ἕτεροι Σύροι. ὅτι ὁ τῶν Ἀσσυρίων βασιλεὺς πολλῶν κρατήσας ἐθνῶν καὶ κατὰ Μήδων ἐστράτευσεν. ὅτι πρὸς Κυαξάρην ἄρχοντα Μήδων τὸν καὶ Δαρεῖον ὁ Καμβύσης ὁ ἄρχων Περσῶν Κῦρον τὸν υἱὸν ἀπέστειλε σύμμαχον κατὰ Ἀσσυρίων. ὅτι λιτότητι οἱ Πέρσαι χαίρουσιν. ὅπως ὁ Κῦρος ἠθέλησε κατὰ Ἀρμενίων ἐλθεῖν. ὅτι ἐγγίζουσι τὰ ὅρια Μήδων καὶ Ἀρμενίων. περὶ Χρυσάντα καὶ ὅπως πρὸς τὸν Ἀρμένιον ἀπῆλθεν ὁ Κῦρος. ὅτι οὐκ ἦν πόλις ἐν Ἀρμενίᾳ. ὅτι ἑάλωσαν πάντες οἱ οἰκεῖοι τοῦ Ἀρμενίου καὶ αὐτὸς προσῆλθεν.

17. Ὅπως ὁ Κῦρος λαβὼν χρήματα παρὰ τοῦ Ἀρμενίου καὶ συμμαχίαν διέλυσε τὴν μάχην. ὅτι ὅμοροι Ἀρμένιοι καὶ Χαλδαῖοι. συνέλευσις Μήδων καὶ Ἀσσυρίων εἰς πόλεμον. τί ἐστι παρασάγγης. PII330
συμβολὴ Περσῶν καὶ Μήδων μετὰ Ἀσσυρίων, καὶ ἧττα Ἀσσυρίων. ὅτι ἀφέντες νυκτὸς οἱ Ἀσσύριοι

ἔφυγον καὶ ὁ[1]) *Κῦρος σὺν Κυαξάρῃ διέβησαν τὸ τῶν Ἀσσυρίων χαράκωμα, καὶ ὁ Κῦρος ἐδίωξεν ὀπίσω αὐτῶν, προσελθόντων αὐτῷ καὶ τῶν Ὑρκανίων, οὓς συνομόρους εἶχον καὶ συμμάχους Ἀσσύριοι. ὅτι κατέλαβε τοὺς Ἀσσυρίους ὁ Κῦρος, οἱ δὲ καὶ ἔτι ἔφευγον.*

18. *Ὅτι καὶ γυναῖκες εἵποντο Κροίσῳ τῷ συμμάχῳ τῶν Ἀσσυρίων. ἅμαξαι καὶ ἁρμάμαξαι. ὅτι, ὡς ἔοικε, μέχρι τότε οὐκ ἦν παρὰ Πέρσαις ἱππικόν. τί διελέχθη πρὸς τοὺς αἰχμαλώτους Ἀσσυρίους ὁ Κῦρος. διαμερισμὸς τῶν ἐξ Ἀσσυρίων λαφύρων, ἐξ ὧν τοὺς ἵππους οἱ Πέρσαι ἔλαβον, ἵνα καὶ αὐτοὶ ἱππεῖς γένωνται, μὴ πρὶν ὄντες.*

19. *Περὶ προσελεύσεως Γωβρύου πρὸς Κῦρον· ὁ δὲ Γωβρύας Ἀσσύριος ἦν. ὅρα εἰς ὅρκου τύπον τὸ λαμβάνειν καὶ διδόναι τὴν δεξιάν. τὰ ἐπινεμηθέντα τῷ Κύρῳ λάφυρα, ἐν οἷς ἦν καὶ ἡ τοῦ Ἀβραδάτου γυνή. ὅτι εἰς Βαβυλῶνα ἔρχεται πάλιν Κῦρος κατὰ Ἀσσυρίων. ὅτι ἐζήτησε Κῦρος μονομαχῆσαι μετὰ τοῦ ἄρχοντος Βαβυλῶνος. ὁ δὲ εἶπε μὴ εἶναι παρεσκευασμένος, καὶ ἀνέμεινε τὴν παρασκευὴν ἐκείνου Κῦρος. περὶ Γαδάτα, ὃς εὐνοῦχος ὢν ἦρχεν. προσέλευσις πρὸς Κῦρον τοῦ Γαδάτα, ὃς τῶν Ἀσσυρίων ἦν. ἑτέρων ἐθνῶν προσέλευσις πρὸς Κῦρον. ὅτι ἀρχαῖον τοῖς βασιλεῦσι τὸ δέσποτα.*

20. *Ὅπως εὐζώνως ἐξήλασε Κῦρος συμμαχῆσαι Γαδάτᾳ, καὶ ὅπως αὐτὸν ἀνελπίστως ἐρρύσατο τῆς ἐνέδρας. ἧττα Καδουσίων*[2]) *συμμάχων Κύρου. δῶρα παρὰ Γαδάτου τῷ Κύρῳ, ἐν οἷς καὶ ἵπποι, δι' ὧν μυρίους τοὺς οἰκείους ἱππεῖς ὁ Κῦρος ἐποίη-*

---

1) ὁ] addit 2) *καδουσίων* pro *Καδδουσίων*.

σεν. ὅτι φρούρια κατέσχε Σύρων ἐν μεθορίοις Σύρων καὶ Μήδων ὁ Κῦρος. ὅτι ἠχθέσθη ὁ Κυαξάρης ἰδὼν τῷ Κύρῳ τῷ οἰκείῳ[1]) συμμάχῳ παρεπομένην πολλὴν δύναμιν ὑπὲρ τὴν ἑαυτοῦ, καὶ ὅπως αὐτοῦ τὴν λύπην κατέπαυσεν ὁ Κῦρος.

21. Κύρου συμβουλὴ ὅπως χρὴ χειμῶνος ἐπιόντος λῦσαι τὸν πόλεμον. ὅτι ἀεὶ κοπιᾶν τοὺς οἰκείους ἤθελε Κῦρος, ἵνα, φησίν, ὑγιαίνοιεν. περὶ Ἀράσπα, καὶ ὅπως ἤρα τῆς γυναικὸς ἣν ἐφύλαττε τῷ Κύρῳ, καὶ ὅπως αὐτῆς μὴ πεισθείσης τῷ Ἀράσπᾳ καίτοι βιαζομένῳ ὁ Κῦρος ἔμαθε, καὶ οὐκ ὠργίσθη, ἀλλὰ συνέγνω αὐτῷ ὡς ἀνθρώπῳ, εἰπὼν καὶ θεοὺς ἐρᾶν, "ἑαυτὸν μᾶλλον" εἶπεν "αἰτιῶμαι ὅτι συγκαθεῖρξα τῷ Ἀράσπᾳ θηρίον τοιοῦτον ἄμαχον, τὴν γυναῖκα δηλονότι. ὅτι κατὰ συμβουλὴν Κύρου ἔδοξε φεύγειν Ἀράσπας[2]), καὶ ἀπῆλθε πρὸς τὸν Ἀσσύριον ἐπὶ τῷ μαθεῖν τὰ κατ' αὐτόν, καὶ ἡ Πάνθεια, τοῦτο γὰρ ὄνομα τῇ γυναικί, ἐζήτησεν ἐλθεῖν ἀντὶ Ἀράσπα εἰς[3]) φίλον Κύρου καὶ ὑπηρετεῖν τὸν ἄνδρα αὐτῆς Ἀβραδάταν, ὃ καὶ γέγονε. καὶ ἐλθὼν ὁ Ἀβραδάτας, καὶ μαθὼν τὰ πρὸς τὴν γυναῖκα αὐτοῦ Πάνθειαν καὶ τὴν σωφροσύνην Κύρου, ηὐχαρίστει αὐτῷ.

22. Ἀποστολὴ χρημάτων τῷ Κύρῳ παρὰ τοῦ Ἰνδοῦ καὶ φιλίας ἀρχή. ὅτι εἶχε μυρίους ἱππεῖς ὁ Κῦρος καὶ ἅρματα δρεπανηφόρα ἑκατόν, καὶ ὁ Ἀβραδάτας ἑκατόν, καὶ τὰ Μηδικὰ ἑκατόν, καὶ ὅτι ἑκάστη κάμηλος εἶχε τοξότας δύο. πάλιν Κύρου συνέλευσις κατὰ Ἀσσυρίων. ὅτι χιλὸς ἐνταῦθα ἡ τῶν ἀλόγων τροφή. ὑποστροφὴ Ἀράσπου καὶ ἐγκώμιον

---

1) οἰκείῳ pro ἰδίῳ 2) ὁ om. ante Ἀρ. 3) εἰς] fort. ὡς.

αὐτοῦ ἀπὸ Κύρου. ὅτι ἡ Πάνθεια τὸν ἑαυτῆς[1]) κόσμον συνέκοψεν εἰς ὁπλισμὸν τῷ ἀνδρί. ὅτι κόσμον ἡγεῖτο τὸν ἄνδρα, καὶ οἷα αὐτῷ προσεφθέγξατο ὁπλιζομένῳ, καὶ ὅπως ηὐχαρίστει Κύρῳ, ὡς συντηρήσαντι ταύτην ἀνύβριστον. οἷα εἶπε πρὸς Πάνθειαν ὁ ἀνήρ.

23. Ὅπως ἀντέταξε τοὺς ἑαυτοῦ τοῖς τοῦ Κύρου ὁ Κροῖσος. ὅτι ὁ παιὰν ᾠδή ἐστι πολέμου. ὅτι αἱ κάμηλοι τοῖς ἵπποις δειλίαν ἐνέβαλον. συμβολὴ Περσῶν καὶ Αἰγυπτίων, ἐν οἷς καὶ ὁ Ἀβραδάτας, ὃς ἐκπεσὼν τοῦ ἅρματος κατεκόπη. ὅτι πεσών τις μαχαίρᾳ τὸν ἵππον τοῦ Κύρου ἔπληξε, καὶ οὕτως ὁ Κῦρος ἐκ τοῦ ἵππου κατεβλήθη. ὅτι κυκλωθέντες οἱ Αἰγύπτιοι ὑπὸ τῶν πολεμίων, καὶ μὴ δυνάμενοι ἀντέχειν, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο ἄπρακτοι, εἶτα ῥίψαντες τὰ ὅπλα ἔφευγον. ἐστρατοπεδεύσατο ἀντὶ τοῦ ἦλθεν εἰς τὸ στρατόπεδον.

24. Ὅτι Κῦρος Κροίσου φυγόντος ἐπὶ Σάρδεις καὶ αὐτὸς ἐκεῖ ἀπῆλθεν. εἷλε δὲ καὶ τὴν ἀκρόπολιν.[2]) πρόσρησις[3]) Κροίσου πρὸς Κῦρον καὶ πρόκλησις μὴ διαρπάσαι τὴν πόλιν, ἀλλὰ λαβεῖν ἡσυχῇ τὰ χρήματα. περὶ τοῦ θανάτου τοῦ Ἀβραδάτου καὶ ὅσα εἶπεν ἡ γυνὴ πρὸς Κῦρον, καὶ ὅπως ἀπέσφαξ ν ἑαυτήν. ὅπως ὁ Κῦρος Ἀβραδάτην καὶ τὴν Πάνθειαν ἔθαψε μεγαλοπρεπῶς.

PII331 25. Περὶ Καρῶν καὶ τῶν ἐπὶ Φρυγίαν τὴν[4]) παρ' Ἑλλήσποντον. περὶ τῶν ἁμαξῶν τῶν ἑλκουσῶν τὰ χρήματα ἃ ἔδωκεν ὁ Κροῖσος, καὶ οἷον εἶπε λόγον ὁ Κῦρος. περὶ τῆς μεγάλης Φρυγίας. πολιορκία Βα-

---

1) ἑαυτῆς pro ἑαυτοῦ 2) ση. καταστρατοπεδεύσας addit, ubi hoc est 3) πρόρρησις] Scripsi πρόσρησις 4) τὴν] addit.

βυλῶνος καὶ μετένεξις τοῦ ποταμοῦ Εὐφράτου καὶ κατάσχεσις τῆς πόλεως δι' αὐτοῦ. ὅπως πρώτως τὰ βασίλεια κατεσχέθησαν. ὅτι ὁ ἁλοὺς βασιλεὺς Ἀσσυρίων ἐν Βαβυλῶνι ὁ Βαλτάσαρ ἦν, ᾧ καὶ ἡ χεὶρ ὤφθη κατὰ τὸν τοῖχον, ὥς φησι Δανιὴλ ὁ προφήτης.

26. *Ὅτι ἐκτομίας εἶχεν ὁ Κῦρος ὑπηρέτας. οἵα ἦν ἡ διαγωγὴ Κύρου καὶ τῶν περὶ αὐτὸν ὡς λίαν καλή. ὅπως τὸν Κροῖσον ὁ Κῦρος ἤλεγξε κακῶς. ὅτι κόσμον οἰκεῖον ὁ Κῦρος ἡγεῖτο τὸν κόσμον τῶν ὑπηκόων. διὰ*[1] *τί περὶ τὴν ἀριστερὰν τοὺς οἰκειοτάτους*[2] *ἐκάθισεν. ὅτι πολλὰ ἔλεγεν ἔχειν ὁ Κῦρος χρήματα, ἵνα τοῖς ἀξίοις αὐτὰ διανέμῃ, οὐ μήν γε*[3] *ἑαυτοῦ χάριν.*

27. *Ὅτι εἰς τὰ οἰκεῖα Κύρῳ ὑποστρέφοντι*[4] *δέδωκε Κυαξάρης*[5] *καὶ ἄλλα μέν, ἀλλὰ καὶ τὴν θυγατέρα γυναῖκα καὶ τὴν χώραν Μήδων. ὁ δὲ μὴ ἄλλως λαβεῖν εἶπεν, εἰ μὴ συναινέσει τῶν γονέων. ὃ δὴ καὶ ἐποίησεν, ἀπελθὼν ἐκεῖ καὶ δοὺς πᾶσι τοῖς Πέρσαις δῶρα πολλά. ὅτι πάλιν εἰς Βαβυλῶνα ὑπέστρεψε, καὶ ὅσα κατέσχεν ἔθνη, ἐν οἷς ἦν καὶ Κύπρος. περὶ τῶν λεγομένων κοντούρων. ὅτι τὰ πρὸς Συρίαν ἔθνη οἰκοῦντα ὑπέταξε καὶ Αἴγυπτον. καὶ ὅθεν ἤρχετο αὐτῷ ἡ ἐξουσία. καὶ ὅπως δι' ὅλου τοῦ ἐνιαυτοῦ περιῄει τὴν οἰκείαν ἐπικράτειαν. καὶ ὅτι γέρων γέγονεν, οἷά τε διελέχθη τοῖς οἰκείοις καὶ τίνας κατέλειψε διαδόχους. ὅτι ὁ Ἡρόδοτος ἄλλως τὰ κατὰ τὸν Κῦρον ἱστόρησεν.*

---

1) *καὶ* om. ante *διὰ* 2) *οἰκειοτέρους* pro *οἰκειοτάτους*, litteris *ερ* attritis, sed tamen minime ita evanidis ut pro *ατ* haberi possint. Perspicue vero *περὶ* pro *παρά*. 3) *καὶ* ante *ἑαυτοῦ* om. 4) *ὑποστρέφοντι* pro *ὑποστρέψοντι*.

1. Ὅτι μόναι αἱ δύο φυλαὶ ἀνέβησαν εἰς Ἱεροσόλυμα. περὶ τοῦ ἔθνους τῶν Χουθαίων. ὅτι Καμβύσης τὴν ἀρχὴν Κύρου διεδέξατο, ὃς καὶ ἐκώλυσε τὴν ἀνοικοδομὴν τοῦ ναοῦ, βασιλεύσας ἔτη ἑπτά. περὶ Καμβύσου, καὶ ὅπως αὐτὸν διεδέξατο Σμέρδης ὁ μάγος. καὶ ὅπως ὁ Καμβύσης τὸν ἀδελφὸν Σμέρδην ἐξ ὀνείρου δειματωθεὶς ἀπέκτεινεν. ὅπως ὁ Καμβύσης ἀπέθανεν ἐν Ἐκβατάνοις τῆς Συρίας, κεχρηματισμένον σχὼν τοῦτο.

2. Ὅτι ὁ μάγος Σμέρδης[1]) ὡς υἱὸς τοῦ Κύρου ἐκράτησεν, ἠλέγχθη δ' ὕστερον ἕτερος εἶναι παρ' ἐκεῖνον, ὡς μὴ ἔχων ὦτα· ἀπετμήθη γὰρ ταῦτα διὰ πταῖσμα παρὰ τοῦ Κύρου. ἐπανάστασις κατὰ Σμέρδου. ὅπως ὁ Πρηξάσπης τεθνάναι τὸν υἱὸν Κύρου Σμέρδην[2]) ἐκήρυξεν, καὶ ἕτερον δὲ ὁμώνυμον εἶναι τὸν κρατοῦντα, καὶ ὅπως οὗτος διὰ τοῦτο ἀπέθανεν. ὅπως οἱ μάγοι ἀνηρέθησαν, ὧν εἷς ὁ Σμέρδης.[3])

3. Ὅπως ἐκράτησε Περσῶν Δαρεῖος[4]) ὁ Ὑστάσπου ἐκ περινοίας τοῦ οἰκείου ἱπποκόμου. τί ηὔξατο τῷ θεῷ, εἰ κρατήσει, ὁ Δαρεῖος. οἷα προέθετο ἐρωτήματα ὁ Δαρεῖος τοῖς οἰκείοις φίλοις, καὶ οἷα ὑπέσχετο τῷ διαλύσοντι ταῦτα. ὅτι ὁ Ζοροβάβελ ἐν τούτοις ἠρίστευσε, τοῦ οἴνου καὶ τῶν βασιλέων τὴν γυναῖκα κρειττονεύειν εἰπών. ὅτι ἐξ αἰτήσεως Ζοροβάβελ παρεχώρησε τὴν ἀνοικοδομὴν τοῦ ναοῦ καὶ Δαρεῖος δι' αὐτοῦ γενέσθαι.

4. Δευτέρα ἀνάβασις εἰς Ἱεροσόλυμα μετὰ τοῦ Ζοροβάβελ. οἱ δὲ ἀναβάντες μυριάδες υξβ' καὶ

---

1) Σμέρδης] σμέρδος, etsi paullo ante bis σμέρδ, cum ductu η significante, ut est in textu 2) Σμέρδην] σμέρδον 3) Σμέρδης] σμέρδος 4) ὁ ante Δαρεῖος om.

χιλιάδες η', ἄνευ ὑπηρετῶν. περὶ Σαμαρειτῶν καὶ ὅπως ἠχθέσθησαν. πότε ἦν Ἀγγαῖος καὶ Ζαχαρίας οἱ προφῆται. ὅτι ὁ Δαρεῖος ἐπέτρεπε δίδοσθαι τοῖς Ἰουδαίοις καθ' ἑκάστην τὰ εἰς θυσίαν συντελοῦντα ζῷα καὶ τὴν σεμίδαλιν. ὅτι δι' ἐτῶν ἑπτὰ ὁ ναὸς ἐκτίσθη. πότε ἐβασιλεύοντο οἱ Ἰουδαῖοι καὶ πότε ὑπὸ κριτῶν ἤρχοντο.

5. *Ὅτι τὸν Δαρεῖον Ξέρξης διεδέξατο καὶ εὐσεβῶς περὶ τὸν ναὸν καὶ αὐτὸς διετέθη, ὅτε καὶ Ἔσδρας ἀνεσώθη ἐκ Βαβυλῶνος εἰς Ἱεροσόλυμα μετὰ πολλοῦ πλήθους Ἰουδαίων. ὅτι πολλαὶ μυριάδες πέραν Εὐφράτου μεμενήκασιν Ἰουδαίων. περὶ Νεεμίου τοῦ Ἑβραίου, ὅπως καὶ αὐτὸς ἐκ Βαβυλῶνος εἰς Ἱεροσόλυμα ἦλθε καὶ τὸ τεῖχος ἀνῳκοδόμησεν. ὅτι πρώτη ἡ τοῦ Ἰούδα φυλὴ ἐκ Βαβυλῶνος ἀνέβη, ὅθεν καὶ Ἰουδαῖοι οἱ ἐν Ἱερουσαλὴμ ἐκλήθησαν.*

6. *Ὅτι τὸν Ξέρξην υἱὸς Κῦρος*[1] *ὁ καὶ Ἀρτα-* PII332
ξέρξης διεδέξατο. περὶ Ἐσθήρ, ἣν ἔλαβε γυναῖκα ὁ Ἀρταξέρξης, καὶ περὶ Μαρδοχαίου. ὅτι νόμον ἔθετο Ἀρταξέρξης μηδένα οἱ ἄκλητον ἐπὶ θρόνου καθημένῳ προσέρχεσθαι. ὅπως ὁ Μαρδοχαῖος ἐπιβουλὴν ἐμήνυσε κατὰ τοῦ βασιλέως. ὁ Ἀμὰν Μαρδοχαῖον ἀνασταυρῶσαι ἠβούλετο, ἀλλ' ἐσταυρώθη ἐκεῖνος προνοίᾳ θεοῦ. ὅτι[2] *Ἐσθὴρ γνοῦσα τὴν μελετωμένην τῶν Ἰουδαίων ἀπώλειαν παρὰ Ἀμὰν διὰ τὸν Μαρδοχαῖον ἐδεήθη πρότερον τοῦ θεοῦ, εἶτα καὶ ἄκλητος εἰσῄει πρὸς βασιλέα, καὶ διὰ τοῦτο θορυβουμένου ἔπεσε πρὸ ποδῶν αὐτοῦ ἀχανής, καὶ ὅπως εἰς δεῖπνον αὐτὸν ἐκάλεσε καὶ τὸν Ἀμάν. ὅτι πεντήκοντα πήχεων ἦν τὸ ξύλον, ἐν ᾧ τὸν Μαρ-*

---

1) *Κῦρος*] *κύρον*   2) *ὅτι* pro *ὅτε*.

δοχαῖον ὁ Ἀμὰν ἀνασταυρῶσαι ἐμελέτα. ὅπως[1] *ἀνεμνήσθη ὁ βασιλεὺς τοῦ Μαρδοχαίου διὰ τὴν ἐπιβουλήν, καὶ ὅτι διὰ τοῦτο ἐκεῖνον ἐτίμησεν. οὕτω διασκεδάζει βουλὰς πονηρὰς ὁ θεός.*

7. *Ὅπως ὁ Ἀμὰν ἐκρεμάσθη εἰς τὸ ξύλον, ὃ κατὰ τοῦ Μαρδοχαίου ἡτοίμαζεν. ὅτι καὶ οἱ τοῦ Ἀμὰν παῖδες ἀνεσταυρώθησαν. ὅπως Ἰωάννας τὸν οἰκεῖον ἀπέκτεινεν ἀδελφὸν ἐν τῷ ναῷ. ὅπως τὸν ἀδελφὸν τοῦ ἀρχιερέως συνοικήσαντα ἀλλοφύλῳ γυναικὶ ἐκώλυον ἀπὸ τοῦ ναοῦ. περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ τοῦ ἐν τῷ Γαριζὶν τοῦ*[2] *ἐν τῇ Σαμαρείᾳ.*

8. *Ἀρχὴ τῆς κατὰ τὸν Ἀλέξανδρον ἱστορίας. τίνος υἱὸς ἦν Ἀλέξανδρος. οἷον ὄνειρον εἶδε Φίλιππος ἐγκυμονούσης τῆς γυναικὸς τὸν Ἀλέξανδρον καὶ πότε ἐγεννήθη. περὶ τοῦ σώματος Ἀλεξάνδρου. περὶ τοῦ ἵππου τοῦ Βουκεφάλου. ὅτι ὁμιλητὴς Ἀριστοτέλους ἐγένετο. ὅτι καὶ πρακτικὸς ἰατρὸς ἦν ὁ Ἀλέξανδρος.*

9. *Ὅτι εἰκοσαετὴς τῆς βασιλείας ἐκράτησεν. περὶ Τιμοκλείας τῆς τὸν βιασάμενον αὐτὴν εἰς τὸ φρέαρ βαλούσης. οἷα ὁ Σινωπεὺς Διογένης πρὸς Ἀλέξανδρον εἶπεν. τὸ φιλότιμον Ἀλεξάνδρου. ὅσων ἐκράτησε πόλεων. περὶ Ἀκαρνᾶνος τοῦ ἰατροῦ, καὶ ὅπως ἐξ αὐτοῦ τὸ φάρμακον*[3] *ἔλαβεν Ἀλέξανδρος, καὶ ἀντέδωκε τὴν τῆς συκοφαντίας ἐπιστολήν. ἡ ἐν Ἰσσῷ συμπλοκὴ Δαρείου καὶ Ἀλεξάνδρου καὶ ἡ Δαρείου ἧττα. περὶ τῆς γυναικὸς καὶ τῆς μητρὸς Δαρείου ἁλουσῶν παρὰ Ἀλεξάνδρου.*

---

1) *ὅπως* pro *ὅτι* 2) *τοῦ*] sic 3) *φάρμακον*] pro hoc vocabulum legitur admodum obscuratum, sed ut aliud fuisse appareat, velut *πόμα*, sed $\overset{\text{μα}}{\text{πό}}$ scriptum.

10. Ὅτι καὶ Δαμασκὸν εἷλεν Ἀλέξανδρος καὶ Κύπρον καὶ Φοινίκην. περὶ τοῦ κατ' ὄναρ Σατύρου. περὶ τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας καὶ τοῦ κατ' ὄναρ Ὁμήρου καὶ ὅτι νῆσος ἦν αὕτη πρότερον. περὶ τῶν κατὰ τὴν ἐν ἐρήμῳ διάβασιν Ἀλεξάνδρου ἐξαισίων. πῶς παῖς Διὸς ἐλογίσθη ὁ Ἀλέξανδρος. ὅτι λύτρα ὁ Δαρεῖος ἔπεμψε, καὶ οὐκ ἔλαβε ταῦτα[1]) Ἀλέξανδρος. περὶ τοῦ θανάτου τῆς γυναικὸς Δαρείου. περὶ τῆς μαρτυρίας τῆς πρὸς Δαρεῖον διὰ τὴν Ἀλεξάνδρου σωφροσύνην.

11. Ὅτι Ἀλέξανδρος οὐ λάθρᾳ συμβαλεῖν ἤθελε τοῖς πολεμίοις. φυγὴ Δαρείου. ὅσον πλοῦτον εὗρεν Ἀλέξανδρος τοῦ Δαρείου. ὅπως ὠνείδιξε τοὺς τρυφῶντας Ἀλέξανδρος. τί ἔλεγεν Ἀλέξανδρος περὶ τῶν γογγυζόντων εἰς αὐτόν. περὶ τῆς δίψης ἣν εἶχεν Ἀλέξανδρος διώκων Δαρεῖον. ὅπως ἐν τῷ[2]) θανάτῳ Ἀλέξανδρος τὸν Δαρεῖον ἐτίμησε, τὸν δ' ἀνελόντα διεσφενδόνησεν. περὶ Ὑρκανίας καὶ τοῦ Κασπίου πελάγους.

12. Ὅτι Ἀλέξανδρος βαρβαρικὴν στολὴν ἐνδυσάμενος τοῖς Μακεδόσιν οὐκ ἤρεσεν. καὶ περὶ Ῥωξάνης, ἣν Ἀλέξανδρος ἔγημεν. ὅπως παρὰ Ἀλεξάνδρου ἀνῃρέθη Φιλώτας καὶ Κλεῖτος. ὅσα ὁ Ταξίλης καὶ οἷα ἐμήνυσεν Ἀλεξάνδρῳ κατὰ τῆς Ἰνδικῆς ἐρχομένῳ χώρας.

13. Περὶ Πώρου τοῦ τῆς Ἰνδικῆς ἄρχοντος, οἷος ἦν τὸ σῶμα. ὅσα ὁ Ἀλέξανδρος ἤλγησε τοῦ Βουκεφάλα[3]) ἵππου θανόντος, καὶ περὶ τοῦ ποταμοῦ Γάγγη, ὅσος ἦν κατ' εὗρος καὶ βάθος. ὅτι

λ
1) ταῦτα pro ταῦτα ὁ 2) ἐν τῷ] om. 3) -φα

Μαλλοὶ ἔθνος Ἰνδικόν. ὅπως Ἀλέξανδρος πρῶτος ὥρμα ἐν τοῖς πολέμοις[1]) *καὶ τυχαίως ἐνίκα.*

14. *Περὶ τῶν Γυμνοσοφιστῶν καὶ τοῦ διὰ τῆς βύρσης ὑποδείγματος, ἵνα μὴ μακρὰν ὁ βασιλεὺς ἀποδημῇ. ὅτι εἰς τὸν Ὠκεανὸν ἦλθεν Ἀλέξανδρος, καὶ ὅσον τοῦ στρατοῦ πλῆθος ἀπώλετο, καὶ περὶ τῶν ἰχθυοφάγων προβάτων. περὶ τοῦ τάφου τοῦ βασιλέως Περσῶν Κύρου καὶ τῆς τούτου ἐπιγραφῆς. ὅτι ἔγημεν Ἀλέξανδρος καὶ τὴν θυγατέρα Δαρείου, καὶ ὅσα ἐν τῷ γάμῳ χρήματα ἀνάλωσε, δοὺς καὶ*
PII333*τοῖς ὀφειλέταις τὰς ὀφειλάς. ὅσα ἐπένθησεν ἐπὶ τῷ Ἡφαιστίωνι ὁ Ἀλέξανδρος καὶ οἱ σὺν αὐτῷ. περὶ τοῦ διὰ κοράκων σημείου καὶ τοῦ θύματος. περὶ τοῦ εὑρεθέντος ξένου καθημένου ἐν τῷ τοῦ Ἀλεξάνδρου θρόνῳ. ὅτι ὁ θάνατος Ἀλεξάνδρου ἄλλοις ἄλλως λέγεται. περὶ τοῦ ψυχροῦ ὕδατος. ὅτι ἐν τῇ τελευτῇ ἠβουλήθη ἀφανίσαι αὐτόν, ἵνα δόξῃ καὶ θεός.*

15. *Ὅπως ὑπήντησαν Ἀλεξάνδρῳ οἱ ἱερεῖς τῶν Ἑβραίων καὶ ὁ ἀρχιερεύς. ὅτι ὁ Ἀλέξανδρος ἰδὼν τὸν ἀρχιερέα εἰς μνήμην ἦλθε τοῦ κατ' ὄναρ ὀφθέντος αὐτῷ θεοῦ. ὅτι ἔθυσε τῷ θεῷ ὁ Ἀλέξανδρος κατὰ τὴν ὑφήγησιν τοῦ ἀρχιερέως καὶ πολλὰ ἐχαρίσατο, ἀνέγνω τε καὶ τὴν βίβλον*[2]) *τοῦ Δανιήλ. περὶ τοῦ ἐν Γαριζὶν ἱεροῦ, ἐν ᾧ κατέφευγον οἱ παρανομοῦντες.*

16. *Ὅτι εἰς τέσσαρα ἐμερίσθη ἡ τοῦ Ἀλεξάνδρου ἀρχή. καὶ περὶ Πτολεμαίου τοῦ Λάγου, ὅπως Ἱεροσολύμων ἐκράτησεν. ὅτι Πτολεμαῖος ὁ Φιλάδελφος διεδέξατο τὴν ἀρχήν. τί ἐστι δραχμή, καὶ πόσαι τάλαντον*[3]) *ποιοῦσιν. ὅσα ὁ Πτολεμαῖος εἰς τὸ*

1) *πολέμοις* pro *πολεμίοις* 2) *τὴν βίβλον*] *τὸν βίον*
3) *πόσαι* pro *πόσα* et *τάλαντον* pro *τάλαντα.*

Ἰουδαίων ἱερὸν ἔστειλε δῶρα. περὶ τῶν ἑβδομήκοντα δύο τῶν ἐξελληνισάντων τὰ Ἑβραϊκὰ βιβλία. ὅτι οἱ πρὸ τούτου ἐπιχειρήσαντες τὸ τοιοῦτον ἔργον οὐκ ἀτιμώρητοι ἔμειναν. ὅτι τινές φασι διῃρημένους ποιῆσαι τὴν ἑρμηνείαν τοὺς ἑρμηνεῖς, ὕστερον δὲ εὑρεθῆναι ἐκ πάντων τὰ αὐτά.

17. *Ὅτι ἔλαβε Πτολεμαῖος τὴν Κλεοπάτραν, καὶ ὅσα ἦν ἡ ταύτης φερνή. οἷος ἦν δεξιὸς περὶ τὰ πράγματα ὁ πρὸς Πτολεμαῖον ἀποσταλεὶς πρέσβις*[1] *Ἰωσήφ. ὅτι τὸ τὰ τέλη τῶν πόλεων ἐπὶ αὐξήσει πωλεῖσθαι τοῖς ὠνουμένοις παλαιὸν ἦν.*

18. *Ὅπως συνῴκησεν ἡ ἀδελφόπαις τῷ Ἰωσήφ. ὅπως Ὑρκανὸς ὁ υἱὸς Ἰωσὴφ καὶ ἐν μειρακίοις τελῶν ἦν φρονιμώτατος. ὅτι ἀτίμως ὠνήσατο ὁ Ὑρκανὸς τοὺς γραμματικοὺς δούλους. ὅτι βᾶρις τὸ ὀχύρωμα.*

19. *Ὅτι ὁ Ἐπιφανὴς Ἀντίοχος κατέσχε τὰ Ἱεροσόλυμα. περὶ Ἐλεάζαρ καὶ τῶν Μακκαβαίων. ὅτι ἐν σαββάτῳ πολέμου συγκροτηθέντος ἐμάχοντο Ἰουδαῖοι.*

20. *Νίκη Ἰουδαίων κατὰ τῶν τοῦ Ἀντιόχου. ὅτι ὁ Ἀντίοχος ἐνόσησε διὰ τὰ κατὰ τῶν Ἰουδαίων κακὰ καὶ ἀπέθανεν.*

21. *Ὅπως τὸν ἐλέφαντα ὁ Ἐλεάζαρ πλήξας ὑπ' αὐτοῦ τέθνηκεν ἐν τῷ πολέμῳ.*

22. *Περὶ Κλεοπάτρας τῆς θυγατρὸς Πτολεμαίου. ὅτι ὁ Πτολεμαῖος δύο διαδήματα περιέθετο, οἷα δύο ἄρχων χωρῶν.*

23. *Ὅτι ὄρος καθῄρησαν ἄνθρωποι λίαν ὑψηλὸν διὰ τριῶν ἐνιαυτῶν.*

---

1) *πρεσβϊς* sine accentu pro *πρεσβεύς*.

1. *Περὶ Ἀντιόχου τοῦ ἐπικληθέντος θεοῦ. ὅρα γυναικὸς καρτερίαν.*

2. *Ὅτι οἱ Σαδδουκαῖοι τὰ ἄγραφα καὶ ἐκ παραδόσεως οὐκ ἐτήρουν.*

3. *Ὅπως ὁ Ἀντίγονος ἀνηρέθη εἰς τὸν*[1]) *Στράτωνος πύργον κατὰ τὴν Ἰούδα τοῦ Ἐσσαίου πρόρρησιν, κἂν ἐδόκει ἐψεῦσθαι.*

4. *Περὶ φοινίκων καὶ κιτρίων τῶν ἐν τῇ σκηνοπηγίᾳ. ὅτι ἐπὶ τρία ἔτη ἐνόσει τεταρταῖον.*

5. *Περὶ Ὑρκανοῦ καὶ Ἀριστοβούλου. περὶ Τιγράνου τοῦ Ἀρμενίου. βασιλεία Ὑρκανοῦ καὶ Ἀριστοβούλου. ὡς εὖ σοι τῆς εὐχῆς ἄνθρωπε.*

6. *Περὶ Πομπηίου καὶ τῆς δοθείσης αὐτῷ χρυσῆς ἀμπέλου ἐξ Ἀριστοβούλου ἐκ πεντακοσίων ταλάντων. περὶ τῆς Μιθριδάτου τελευτῆς καὶ περὶ τοῦ ὀποβαλσάμου, ὅπερ τῶν μύρων ἄριστον. ὅπως ὑπὸ Πομπηίου τὰ Ἱεροσόλυμα ἑάλω.*

7. *Περὶ τοῦ Ἰταβυρίου ὄρους.*[2]) *ὅσα ἦσαν τὰ τοῦ ἱεροῦ Ἰουδαίων χρήματα, ἐν οἷς καὶ δοκὸς ἐκ χρυσοῦ.*[3]) *καὶ ὅτι ἡ μνᾶ ἕλκει λίτρας δύο*[4]) *πρὸς τῇ ἡμισείᾳ. Κύπρος ὄνομα γυναικός. ὅτι ὁ Ἡρώδης ἐλθὼν εἰς τὸ δοκιμάσασθαι ἐξέπληξε τοὺς παρόντας διὰ τὸ ἐλθεῖν μετὰ δορυφορίας πολλῆς· διὸ καὶ ᾐτιάθη.*

9. *Ὅπως ὁ Ἀντώνιος ἤρα τῆς Κλεοπάτρας. περὶ Πακόρου τοῦ Πάρθων βασιλέως.*

10. *Διὰ τί ἀπετμήθη τὰ ὦτα Ὑρκανός. ὅπως ὁ Φασάηλος τέθνηκεν.*

---

1) *εἰς τὸν* pro *κατὰ* litteris obscurioribus 2) *περὶ — ὄρους*] addit 3) *ἐκ χρυσοῦ*] *χρῦ* (quomodo infra 19 scriptum pro *χρυσίου*, et 6, 11 pro *χρυσῆν*) $\overset{\lambda}{\text{πὸ}}$ *ἐνδεδυμένη* 4) *δύω*] *β'*

11. Ἀναίρεσις Ἀντιγόνου. PII334

13. Περὶ τῆς ἀρχιερωσύνης Ἀριστοβούλου ἐν νέᾳ τῇ ἡλικίᾳ. ὅπως ἡ Ἀλεξάνδρα ἔφυγε διὰ λάρνακος καὶ ἐφωράθη. ὅπως ἀπεπνίγη Ἀριστόβουλος.

14. Ὅτι ἠράσθη Ἡρώδου ἡ Κλεοπάτρα. περὶ τοῦ ἐν Ἰουδαίᾳ μεγάλου γεγονότος σεισμοῦ.

15. Ὅπως καὶ παρὰ τοῦ Καίσαρος Ἡρώδης ἐτιμήθη. ὅπως εἰς τὸ φανερὸν Ἡρώδην ἐφάνη μισοῦσα ἡ γυνὴ αὐτοῦ. ὅπως ἡ τοῦ Ἡρώδου γυνὴ θανάτῳ κατακριθεῖσα τέθνηκεν. ὅπως ὁ Ἡρώδης καὶ οἵαν νόσον ἐνόσησεν. [1])

16. Ὅπως οὐδὲ τοῦ οἰκείου κόσμου Ἡρώδης ἐφείσατο ἐν καιρῷ λιμοῦ διὰ τὴν πόλιν, καὶ αὐτὸν ἀποδοὺς εἰς τὸ ἀγοράσαι σῖτον. πόσος ἦν ὁ διαδοθεὶς σῖτος. πόσοι μόδιοι ὁ κόρος.

17. Ὅπως ὁ Ἡρώδης ἐκώλυε τοὺς ὑπ' αὐτὸν ἀλλήλοις συνέρχεσθαι, δεδιὼς τὰς ἐπιβουλάς. τίνες οἱ Ἐσσαῖοι καὶ οἵᾳ χρῶνται διαίτῃ, καὶ ὅπως εἷς τῶν Ἐσσαίων προεῖπε τῷ Ἡρώδῃ παιδίῳ ὄντι τὴν βασιλείαν. ὅπως ὁ Ἡρώδης τὸν ναὸν ἐπὶ τὸ μεῖζον μετεσκεύασε, καὶ περὶ τοῦ πύργου, ὃν Ἀντωνίαν ἐκάλεσεν. ὅτι ὁ ναὸς ἐν ἐνιαυτῷ ἑνὶ πρὸς τῷ ἡμίσει ᾠκοδομήθη. ὅτι καὶ οὐδὲ ὑετὸς γέγονεν ἐν ἡμέρᾳ. περὶ τοῦ πιπράσκεσθαι τοὺς κλέπτας.

18. Περὶ τῶν παίδων Ἡρώδου, οἷοι ἦσαν. ὅπως ἐμίσησε τοὺς υἱοὺς ὁ Ἡρώδης. ὅπως κατήλλαξε τὸν Ἡρώδην τοῖς παισὶν ὁ Καῖσαρ.

19. Οἷος τὸ ἦθος καὶ τοὺς τρόπους ὁ Ἡρώδης. ὅσα Ὑρκανὸς καὶ Ἡρώδης ἔλαβον ἀργυρίου καὶ χρυσίου [2]) τάλαντα ἐκ τοῦ τάφου Δαβίδ, καὶ ὅπως καὶ εἰς

---

1) ὅπως ὁ Ἡ.—ἐνόσησεν] addit 2) χρυσίου pro χρυσοῦ.

αὐτὰ τὰ σώματα Δαβὶδ καὶ Σολομῶντος ἐκωλύθη Ἡρώδης εἰσελθεῖν θείῳ πυρί.

20. *Οἷα ἡ διαβολὴ ἀεὶ κακὰ εἰργάζετο καὶ ἔτι ἐργάζεται. καὶ δεῖγμα τὰ ἐνταῦθα γεγραμμένα καὶ τὰ προλαβόντα περὶ τῆς γυναικὸς Ἡρώδου καὶ τῶν παίδων.*[1])

21. *Περὶ τοῦ κακίστου Εὐρυκλέους. ὅτι ἐδέσμησε τοὺς υἱοὺς ὁ Ἡρώδης Ἀριστόβουλον καὶ Ἀλέξανδρον. τὸ συνέδριον τὸ τοὺς παῖδας Ἡρώδου κρῖνον σὺν τῷ Ἡρώδῃ.*

22. *Περὶ τοῦ παρρησιασαμένου στρατιώτου εἰς Ἡρώδην βουλευόμενον θάνατον τῶν οἰκείων παίδων. ὅπως ἀπηγχόνησε τοὺς οἰκείους παῖδας ὁ Ἡρώδης. ὅτι πάτριον ἦν τότε ἔθος τὸ πολλαῖς συνοικεῖν γυναιξί. ὅτι ἀνεψιοὶ οἱ ἐξάδελφοι.*

23. *Ὅτι οἱ Φαρισαῖοι οὐκ ἐπείσθησαν ὀμόσαι, καὶ ὅτι προεῖπον τὸν τοῦ Ἡρώδου θάνατον· διὸ καὶ ἀπεκτάνθησαν πολλοὶ ἐξ αὐτῶν.*

24. *Περὶ λιμένος τοῦ λεγομένου Σεβαστοῦ. κατηγορία Ἀντιπάτρου. ὅτι ὁ Ἡρώδης καὶ τὸν υἱὸν Ἀντίπατρον δέσμιον εἰς Καίσαρα ἔπεμψεν.*

25. *Ἀκμὴ ὄνομα γυναικός. κύκηθρον τὸ ταραχὴν ἐμποιοῦν. περὶ τῶν καθελόντων τὸν ἀνατεθέντα ἀετὸν εἰς τὸν μέγαν πυλῶνα τοῦ ναοῦ.*

26. *Τίνα νόσον ἐνόσησεν Ἡρώδης, ποικίλην τε καὶ ὀδυνηράν. περὶ τῶν τῆς Καλλιρόης θερμῶν. οἵαν ἐπίνοιαν ὁ Ἡρώδης ἐπενοήσατο κάκιστος ὤν, ἵνα κλαυσθῇ μετὰ θάνατον. περὶ τῶν διαθηκῶν Ἡρώδου καὶ ὅπως τελευτῶν ἔκτεινε τὸν υἱόν.*[2]) *τελευτὴ Ἡρώδου. ὅτι ὁ Ἀρχέλαος διεδέξατο Ἡρώδην.*

---

1) *καὶ δεῖγμα—παίδων*] addit 2) *περὶ—υἱὸν*] addit.

1. *Περὶ τῆς τῶν Ἰουδαίων στάσεως κατὰ Ῥωμαίων, ὅτε καὶ ὁ ναὸς ἐνεπρήσθη. ὅτι δοῦλος Ἡρώδου διάδημα περιέθετο.*[1]

2. *Ὅτι καὶ ὁ Ἀρχέλαος ὠμὸς ἦν κατὰ τὸν πατέρα. περὶ τοὺ πλοῦ Ἀλεξάνδρου. κατηγορία κατὰ Ἀρχελάου. περὶ τοῦ ὀνείρου οὗ εἶδεν Ἀρχέλαος. ἕτερος ὄνειρος τῆς Ἀρχελάου γυναικός. περὶ τῆς ἀπογραφῆς τῆς ἐπὶ Καίσαρος γεγενημένης.*

3. *Αἵρεσις Φαρισαίων. αἵρεσις Σαδδουκαίων. αἵρεσις Ἐσσηνῶν. αἵρεσις Γαλιλαίων. πότε ἐγένετο ἡ ἀπογραφή. πότε ὁ Καῖσαρ ἔθανε καὶ πόσα ἔτη ἐκράτησεν. ὅτι διεδέξατο Καίσαρα ὁ Τιβέριος.*

4. *Περὶ Ποντίου Πιλάτου. περὶ Ἡρώδου τοῦ τετράρχου καὶ τῆς πόλεως Τιβεριάδος. περὶ τῆς τῶν Ἰουδαίων ἐνστάσεως. πότε ἐφάνη ὁ Χριστὸς ἐν Ἰουδαίᾳ καὶ οἷά φησιν ὁ Ἰώσηπος περὶ αὐτοῦ. ἔτι περὶ Χριστοῦ φησιν ὁ Ἰώσηπος.*

5. *Περὶ τῆς Ῥωμαίας Παυλίνης. ὅτι μέγα τὸ τῶν ἱππέων ἀξίωμα. περὶ τῆς πονηρίας Ἴδης. ὅπως* PII335
ἡ Παυλῖνα τῷ ἐρῶντι αὐτῆς συνεγένετο, οἰομένη τοῦτον θεόν. ὅπως τὸ κατὰ τῆς Παυλίνης σκέμμα ἐξήτασε Τιβέριος καὶ ἐκόλασε τοὺς τοῦτο συνεργήσαντας. περὶ τῆς βάρεως τῆς μετονομασθείσης Ἀντωνίας.

6. *Περὶ Φιλίππου, ὅτι καὶ καθ᾽ ὁδὸν ἔκρινε καὶ ὁ θρόνος αὐτοῦ ἐπιφερόμενος ἐτίθετο κατὰ τὸν τόπον ἔνθα καθήμενος ἠκροᾶτο. περὶ τοῦ θανάτου τοῦ βαπτιστοῦ Ἰωάννου οἷά φησιν ὁ Ἰώσηπος. περὶ τῆς τοῦ Τιβερίου τελευτῆς, ὃν διεδέξατο Γάιος.*

7. *Περὶ Ἀγρίππα, ὅπως εὐηργετήθη παρὰ*

---

1) *διάδημα περιέθετο] διέθετο διάδημα*

Ἡρωδιάδος τῆς ἀδελφῆς. διὰ τί πρέσβεσιν οὐ προσωμίλει συχνοῖς. διὰ τί τοὺς ἐν ἀρχῇ οὐ παρέλυε, καὶ περὶ τοῦ παραδείγματος τούτων.

8. *Περὶ Ἀντωνίας, καὶ ὅπως ἐτίμα αὐτὴν*[1]) *Τιβέριος. περὶ ὧν τις προεῖπεν ἔσεσθαι οἰωνοσκοπήσας. ὅπως τὸν Γάιον διάδοχον ἑαυτοῦ κατέλιπε Τιβέριος.*

9. *Ὅτι ἀρχαῖον τὸ τοὺς ἐξορίστους ἀκειρεκόμους*[2]) *εἶναι. ὅπως ἔλυσε τῶν δεσμῶν τὸν Ἀγρίππαν Γάιος καὶ βασιλέα ἀπέδειξεν. ὅπως κατὰ Ἡρῴδου Ἀγρίππας ἐπέστειλε τῷ Γαΐῳ. ὅτι τὸ ὅπλα ἔχειν τοὺς ἄρχοντας οὐκ ἀνύποπτον.*

10. *Ὁ Γάιος μὴ ὡς θεὸς παρὰ Ἰουδαίων τιμώμενος ὠργίζετο καὶ τὸν Φίλωνα ὑπεραπολογούμενον οὐκ ἐδέχετο. ὅπως οὐ παρεχώρησαν Ἰουδαῖοι στῆναι ἀνδριάντα Γαΐου ἐν τῇ πόλει αὐτῶν. ὅτι ὁ Ἀγρίππας ἔπεισε Γάιον συγχωρῆσαι μὴ στῆναι ἐν Ἰουδαίᾳ τὸν οἰκεῖον ἀνδριάντα. ὅτι ἀνῃρέθη Γάιος καὶ Κλαύδιος αὐτὸν διεδέξατο.*

11. *Ὅτι χρυσῆν ἅλυσιν Γάιος τῷ Ἀγρίππᾳ ἐδωρήσατο ἀνθ' ἧς κατεκρίθη σιδηρᾶς, ἣν καὶ ἀνέθετο Ἀγρίππας τῷ θεῷ. ὅτι ὁ ὕπαρχος ἀρχὴ ἦν παρὰ Ῥωμαίοις. ὅτι Δωρῖται ἔθνος εἰσίν. ὅτι εὐεργετικὸς ἦν ὁ Ἀγρίππας. ὅτι ὁ Στράτωνος πύργος ἐστὶν ἡ ἐν Παλαιστίνῃ Καισάρεια. περὶ τῆς ἐξ ἀργύρου στολῆς λαμπρὸν ἀποστιλβούσης. ὅπως ὁ Ἀγρίππας τέθνηκεν.*

12. *Περὶ τῆς ἐγκυμονούσης γυναικός, ἧς ἐκ τῆς κοιλίας ἔδοξε φωνὴν γενέσθαι, λέγουσαν τὴν τοῦ ἐμβρύου τύχην. ὅπως ὁ Ἰζάτης μετετέθη εἰς τὴν*

---

1) *αὐτὴν* pro *αὐτὴν ὁ* 2) *ἀκειρεκόμους* pro *ἀκειροκόμους.*

Ἰουδαϊκὴν θρησκείαν, καὶ ἡ τούτου μήτηρ Ἑλένη ὁμοίως, καὶ εἰς Ἱεροσόλυμα ἀπῆλθεν εἰς τὸ τοῦ θεοῦ ἱερόν. περὶ Ἀρταβάνου τοῦ Πάρθων βασιλέως, ὅπως εἰς Ἰζάτην ἦλθε δεόμενος. ὅτι ἀποκατέστη πάλιν ὁ Ἀρταβάνης εἰς τὴν Πάρθων βασιλείαν.

14. *Πόλεμοι Ἀράβων πρὸς Ἰζάτην τὸ πρῶτον ἐκ προδοσίας τῶν οἰκείων, εἶτα ἧττα Ἀράβων. περὶ τοῦ γόητος Θευδᾶ. ἡ ἴλη ἱππέων σύλλογος. περὶ ἀλαβαρχίας. περὶ τῶν φευγόντων ἐκ τοῦ ἱεροῦ διὰ τὸ στενὸν τῆς ἐξόδου καταπατηθέντων καὶ θανόντων. ὅπως ἐτιμωρήθη ὁ εἰς τοὺς νόμους Μωσέως ἐνυβρίσας.*

15. *Ὅτι μέγα*[1]) *τὸ ἡγεμονεύειν Συρίας. ὅτι πυρφόρον ἦν τὸ Βέσβιον ὄρος. τελευτὴ Κλαυδίου.*

16. *Ὅτι Νέρων Κλαύδιον διεδέξατο. οἷα καὶ νῦν οἱ ἀρχιερεῖς ποιοῦσι τοὺς οἰκείους ἀδικοῦντες κληρικούς.*

17. *Περὶ τῶν σικαρίων ληστῶν. περὶ Ἰακώβου τοῦ ἀδελφοθέου. πόσοι ἐξ Ἀαρὼν μέχρι Φινεὲς γεγόνασι κατὰ συγγένειαν ἀρχιερεῖς.*

18. *Ὅτι Οὐεσπασιανὸς*[2]) *ἀπεστάλη κατὰ τῆς Ἰουδαίας παρὰ Νέρωνος. περὶ τῆς πόλεως Ἰωταπάτων καὶ τοῦ Ἰωσήπου. ὅτι ὁ Νέρων ἀνεῖλεν ἑαυτὸν καὶ Γάλβας ἦρξε μετ' αὐτόν, καὶ αὐτὸς μετὰ μικρὸν ἀνῃρέθη, καὶ ἦρξαν*[3]) *Ὄθων καὶ Οὐιτέλλιος καὶ ἀλλήλοις ἐπολέμουν. ἀνάρρησις Οὐεσπασιανοῦ.*

19. *Τίτου πολιορκία κατὰ τῆς Ἱερουσαλήμ. ὅτι τρίτειχος ἦν ἡ Ἱερουσαλήμ. περὶ τοῦ μηχανήματος τῶν κριῶν τῶν κατὰ τῆς πόλεως ἐπαχθέντων. περὶ τῶν ξυλίνων πύργων, οὓς ὁ Τίτος ἐποίησεν.*

---

1) *μέγα* pro *μετὰ* 2) *Οὐεσπασιανὸς*] *οὐεσπεσιανὸς* hic et infra 3) *ἦρξαν* pro *ἤρξαντο* et *οὐιτέλιος* pro *Οὐιτέλλιος*.

20. *Περὶ τῆς ἐπινοίας τοῦ Ἰουδαίου Κάστορος,*[1]) *δι' ἧς ὑπερετέθη ἡ κατὰ τοῦ πύργου ἐπιβουλὴ τῶν Ῥωμαίων. ὅτι ὁ Τίτος φιλανθρωπότερον περὶ τοὺς Ἰουδαίους διέκειτο, καὶ νικῶν αὐτούς. ὅτι τριπλῶς ἡ πόλις τετείχιστο. περὶ ὧν ἐκακούργουν οἱ στασιασταί, καὶ μάλιστα λιμώττοντες. περὶ ὧν ἐποίει κακῶν ὁ λιμὸς τοῖς Ἰουδαίοις.*

21. *Περὶ τῶν διὰ χωμάτων ἑλεπόλεων. περὶ τῆς ἐπινοίας τῶν Ἰουδαίων, δι' ἧς καθῃρέθησαν ἀθρόον αἱ ἑλεπόλεις τῶν Ῥωμαίων εὐμηχάνως. ὅτι*
PII336 *ἑτέρῳ τείχει τοὺς Ἰουδαίους ἔξωθεν Τίτος περιέκλεισεν. ὅπως ὁ λιμὸς τοὺς Ἰουδαίους διέθετο. περὶ τῶν αὐτομολούντων Ἰουδαίων, καὶ ὅτι ἀπὸ τοῦ λιμοῦ ἐμπιπλάμενοι διερρήγνυντο. καὶ ὅτι τινὲς αὐτῶν εὑρέθησαν ἔχοντες εἰς τὰς γαστέρας χρυσόν· διὸ καὶ πολλοὺς αὐτῶν καὶ πρὸ τοῦ θνήσκειν ἀνήρουν οἱ Ῥωμαῖοι ἀνηλεῶς.*

22. *Ὅτι ζῴων κόπρους ἤσθιον. ὅτι τοῦ τείχους καταπεσόντος ἕτερον εὑρέθη ἐντός. περὶ τοῦ εἰσελθόντος διὰ τοῦ τείχους Ῥωμαίου ἀνδρὸς ἀρίστου. ὅτι ἥλους εἶχον οἱ Ῥωμαῖοι ἐν τοῖς ὑποδήμασιν. ὅτι καὶ διὰ τῆς νυκτὸς ἐπολέμουν, καὶ ὅτι καὶ ἡ Ἀντωνία ὁ πύργος κατεσείσθη.*[2]) *περὶ τῆς γυναικός, ἥτις τὸ οἰκεῖον τέκνον εἰς τροφὴν οἰκείαν ἀπέσφαξεν.*

23. *Ὅτι αἱ πύλαι τοῦ ἱεροῦ ἐνεπρήσθησαν, ἀργυραῖ οὖσαι. ὅτι ἔδοξε τοῖς Ῥωμαίοις τοὺς εἰς τὸ ἱερὸν καταφυγόντας σῴζεσθαι Ἰουδαίους, εἰ μὴ ἀνταμύνονται, καὶ ὅτι ὁ Τίτος τὴν τοῦ ναοῦ οὐκ ἐβούλετο καταστροφήν. ὅτι καὶ χρυσᾶς εἶχε θυρίδας ὁ*

---

1) *Κάστωρος*] κασρ cum compendio ultimae 2) *μετεσείσθη*] κατεσ. scripsi ex p. 300, A.

ναός. ὅτι ὁ Τίτος παντοίως ἐσπούδαζε μὴ καυθῆναι τὸν ναόν. ὅτι κατὰ τὸν αὐτὸν μῆνα καὶ τὴν αὐτὴν ἡμέραν συνέπεσε γενέσθαι τὸν ἐμπρησμὸν τοῦ ναοῦ ὑπὸ Βαβυλωνίων πρότερον καὶ ὕστερον ὑπὸ Ῥωμαίων.

24. *Περὶ τοῦ τοίχου, οὗ τὸ εὖρος πήχεις η'. περὶ τῶν ἐν τῷ γαζοφυλακίῳ χρημάτων. περὶ τῶν γενομένων σημείων τῆς ἁλώσεως. οἷον τὸ μέγεθος τῆς πύλης. περὶ τοῦ βοῶντος πρὸ μακροῦ τὰ τῆς ἁλώσεως καὶ ὅπως καὶ οὗτος ἀπώλετο.*[1]) *ὅτι Ῥωμαῖοι τὸν Τίτον ἀπέφηναν αὐτοκράτορα. περὶ τῶν Ἰδουμαίων. περὶ τῶν χρυσῶν κειμηλίων. περὶ τῆς ἀρχιερατικῆς στολῆς. ὅτι θαυμάσας ὁ Τίτος τὴν τῆς πόλεως ὀχυρότητα σὺν θεῷ εἶπε πολεμῆσαι, καὶ ταῦτα Ἕλλην ὤν, καὶ ὅτι πύργους κατέλιπε δύο ἀκατασκάπτους διὰ θαῦμα, καὶ ὅτι ὁ ἀριθμὸς τῶν αἰχμαλώτων ἦν μυριάδες θ' καὶ λ' καὶ τῶν ἀπολλυμένων μυριάδες ρι'. ὅπως ὁ Σίμων τοὺς ὑπονόμους ὑπέδυ καὶ ὅπως ὕστερον ἀναδὺς μετὰ καιρὸν ἀγχόνῃ ἔθανεν. ὅτι καὶ τὰ τοῦ ναοῦ ἀνωρύχθη θεμέλια. ὅτι κατὰ τὸν καιρὸν τῆς ἁλώσεως Ἱερουσαλὴμ πανταχοῦ οἱ κατεσπαρμένοι Ἰουδαῖοι ἐκακοῦντο. ὅτι τὸ φρούριον ἡ Μαχαιροῦς λίαν ἦν ὀχυρόν. περὶ τοῦ εὐμεγέθους δένδρου. περὶ τοῦ φυτοῦ τοῦ λεγομένου βαάρ, ὃ καὶ κυνόσπαστον*[2]) *λέγεται, καὶ περὶ τῆς τούτου δυνάμεως. ὅπως ἑάλω τὸ φρούριον ἡ Μαχαιροῦς. περὶ τοῦ χωρίου Ἀμμοὺς ὅτι ἀπέχει Ἱεροσολύμων στάδια λ'. ὅτι τὸ κατὰ κέλευσιν τοὺς Ἰουδαίους τελεῖν ἀρχαῖον ἦν. περὶ τοῦ ἐκ ξύλων τείχους, ὅπερ ὀχυρὸν μὲν ἦν, πυρὶ δὲ ὕστερον κα-*

1) Sequentia usque ad p. 308, 4 *ὑφάντου* addidi ex cod.
2) *κυνόσπαστον*] *κυνόπαστον*.

τηνάλωτο. ὅτι ἐξ ἀπογνώσεως ἀλλήλους ἀνῄρουν οἱ ἐν τῷ φρουρίῳ πρότερον τὴν ὕπαρξιν κατακαύσαντες. ὅπως ἑάλω τὸ φρούριον ἡ Μασαδά. περὶ τοῦ πονηροῦ ὑφάντου.

1. *Περὶ Λατίνων. περὶ Ῥουτούλων. ὅπως ὁ Αἰνείας ἐνομίσθη θεός. περὶ Ἄλβας τῆς πόλεως καὶ ὅπως οὕτως ἐκλήθη. πόθεν Τίβερις ὁ ποταμὸς τὴν ὀνομασίαν ἔσχεν. ὅπως ὁ Ἀμούλιος ἐθεοποίει ἑαυτόν. ὅτι ἀπὸ Νομίτορος*[1]) *καὶ Ἀμουλίου ἔσχε τὰ τῶν Ῥωμαίων ἀρχήν. ὅτι δίδυμοι ἦσαν Ῥῶμός τε καὶ Ῥωμύλος, οἳ καὶ γεγόνασιν ἔκθετοι, καὶ ὅτι παρὰ λυκαίνης ἐτράφησαν, καὶ οἵαν φασὶ τὴν λύκαιναν.*

2. *Ὁποῖοι ἦσαν Ῥῶμός τε καὶ Ῥωμύλος. ὁ ἀναγνωρισμὸς Ῥώμου καὶ Ῥωμύλου. ἀναίρεσις Ἀμουλίου.*

3. *Θάνατος Ῥώμου, καὶ ὅθεν ἐπικίνδυνον ἐνομίσθη τὸ τὴν τάφρον τοῦ στρατοπέδου τινὰ διελθεῖν, ἀφέντα τὴν συνήθη ὁδόν. ὅπως διεγράφη τὸ τεῖχος τῆς Ῥώμης. ὅτι τὰ τείχη ἱερά, οὐ μὴν καὶ αἱ πύλαι. ποίᾳ ἡμέρᾳ ἡ Ῥώμη ἐκτίσθη, καὶ πόθεν κατ' ἀρχὴν*[2]) *τὸ Παλάτιον ἐκλήθη, καὶ περὶ λεγεῶνος. ὅτι ἑκατὸν ἦσαν οἱ βουλευταί, οἳ καὶ πατρίκιοι ἐκαλοῦντο, καὶ*[3]) *διὰ τί ἐκλήθησαν πατρίκιοι. ὅπως ἥρπασαν τὰς τῶν Σαβίνων θυγατέρας οἱ Ῥωμαῖοι· οἱ δὲ Σαβῖνοι Λακεδαιμονίων εἰσὶν ἄποικοι. ὅτι ὑπὸ τῶν Σαβίνων ἑάλω ἡ Ῥώμη παρὰ γυναικὸς προδοθεῖσα, ὑπόσχεσιν λαβοῦσα*[4]) *τοὺς βραχιονιστῆρας*

---

1) *Νομίτορος*] *νομήτορος* 2) *κατ' ἀρχὴν* addidi ex cod., qui *καταρ* (with *χ* above), quod aut *ἀρχὴν* est aut *ἀρχάς* 3) *καὶ*] om. 4) ita codex quoque.

Σαβίνων, οὓς μετὰ τὴν προδοσίαν ἐπιρρίπτοντες τῇ προδούσῃ ἀπέκτειναν αὐτήν.

4. *Ὅτι κοινῇ Ῥωμαῖοι καὶ Σαβῖνοι τὴν Ῥώμην*[1] *ᾤκησαν, καὶ Τάτιος Ῥωμύλῳ συνεβασίλευεν. φόνος Τατίου. περὶ τοῦ ἐν Ῥώμῃ γεγονότος λοιμοῦ διὰ τὸν Τατίου θάνατον καὶ τὴν αἱματώδη βροχήν. ὅτι ἐπὶ ἑκατὸν χρόνοις συνέθεντο εἰρηνεύειν μετὰ Ῥωμαίων Οὐήιοι,*[2] *δόντες καὶ ὁμήρους πεντήκοντα. ὅτι τὴν μοναρχίαν καὶ τὰ βασιλικὰ σύσσημα πρῶτος Ῥωμύλος ἔδειξεν. ὅτι οἱ καλούμενοι πατρίκιοι ὕστερον ἄπρακτον εἶχον τὸ ὄνομα. ὅπως ἠφανίσθη Ῥωμύλος καὶ θεὸς ἔδοξεν. ὅπως ὁ Ῥωμύλος μετὰ τὸ ἀφανισθῆναι Κυρῖνος ἐκλήθη.*

5. *Ὅτι μετὰ τὸν Ῥωμύλον οἱ πατρίκιοι οὐκέτι ἕνα βασιλέα ἡρετίσαντο*[3]*, ἀλλ' ἕκαστος αὐτῶν ἥμισυ ἡμέρας καὶ νυκτὸς ἐβασίλευεν, ὃ καὶ μεσοβασιλείαν ἐκάλεσαν. ὅτι πάλιν εἷς ἀνερρήθη βασιλεὺς ὁ Νομᾶς Πομπήλιος. ὅτι πρότερον ἔθυσε τοῖς θεοῖς, καὶ οὕτως ἔλαβε τὴν ἀρχὴν ὁ Νομᾶς καὶ τὰ βασιλικὰ παράσημα. ὅτι καλῶς ἄγαν καὶ θεοφιλῶς ὁ Νομᾶς τὴν ἀρχὴν διήνυσεν, εὐσεβῶς παρὰ τοὺς τότε Ἕλληνας διακείμενος περὶ τὸ θεῖον. ὅτι δεκάμηνος ἦν ὁ χρόνος παρὰ Ῥωμαίοις, παρὰ δὲ τοῖς λοιποῖς διαφόρως εἶχε, μηνιαῖος, τετραμηνιαῖος, ἑξαμηνιαῖος.*

6. *Ὅτι Ὀστίλλιος Τοῦλλος μετὰ Νομᾶν ἦρξεν. περὶ τῶν τριδύμων ἀδελφῶν τῶν τε ἀπὸ Ῥώμης καὶ τῶν ἐξ Ἀλβανῶν, οὓς ἔτεκον μητέρες δίδυμοι. ὅτι ἦν ποτε ἡ Ἄλβα τῆς Ῥώμης μητρόπολις. βασιλεία Ἄγκου Μαρκίου.*[4]

---

1) *ῥώμην* pro *πόλιν*, sed obscurius scriptum 2) *Οὐήιοι*] *οὐῆροι*, ut in textu 3) *ἡρετίσαντο* pro *ἡρετήσαντο* 4) *βασ.—Μαρκίου*] addit, etsi eadem fere in textu superscribit.

PII337 7. Ὅτι οἱ Λατῖνοι ἐναντίοι ἦσαν Ῥωμαίοις.

8. *Περὶ τοῦ καταπτάντος ἀετοῦ εἰς τὴν κεφαλὴν τοῦ Ταρκυνίου. ὅτι ὁ Ταρκύνιος ὁλοπόρφυρα εἶχε τό τε ἱμάτιον καὶ τὸν χιτῶνα καὶ χρυσόπαστα καὶ στέφανον διὰ λίθων καὶ σκῆπτρον καὶ δίφρον καὶ τέθριππον. περὶ τοῦ στοχαστικοῦ οἰωνιστοῦ. περὶ τοῦ τιμηθέντος χαλκῇ εἰκόνι. περὶ τῆς διαπαρθενευθείσης ἱερείας, ὅπως ἐκολάσθη, καὶ περὶ τῶν διαπαρθενευόντων αὐτάς.*

9. *Περὶ τοῦ σημείου τοῦ εἰς τὸν Τούλλιον. ὅτι ἔθνος οἱ Οὐολόσκοι. ὅτι τοὺς πάντων δούλους ἠλευθέρωσαν. ὅτι τὰ ἀστικὰ*[1]*) ὑποδήματα τῶν εὐπατριδῶν ἦσαν καὶ οἷα ταῦτα. ὅτι ἄλλοι Ῥωμαῖοι παρὰ τοὺς Λατίνους.*

10. *Βασιλεία Ταρκυνίου. ὅτι κακῶς ἦρξε Ταρκύνιος. κἀντεῦθεν ἄλλοι παρὰ τοὺς Ῥωμαίους οἱ Λατῖνοι. ὅτι ἔθνος οἱ*[2]*) Γαουῖνοι. ὅπως συνεβούλευσεν ὁ πατὴρ μηδὲν εἰπών, ἀλλὰ πράξας. ὅτι τὰ αὐτὰ καὶ Θρασύβουλός ποτε διεπράξατο.*

11. *Περὶ τῆς μάντιδος Σιβύλλης. περὶ τῶν βιβλίων Σιβύλλης. περὶ τῆς διὰ βυρσῶν τιμωρίας. περὶ τῆς εὑρεθείσης ἀνδρῴας κεφαλῆς εἰς τὰ θεμέλια τοῦ ναοῦ, καὶ τί ἐδήλου τὸ τέρας. ὅπως ὠνομάσθη τὸ Καπιτώλιον. περὶ τῶν σημείων τῆς ἐκπτώσεως τοῦ Ταρκυνίου. ὅτι Βροῦτος ὁ μωρὸς παρὰ Λατίνοις*[3]*). ὅπως ὁ Βροῦτος τὴν γῆν ὡς κοινὴν μητέρα ἐφίλει. περὶ Λουκριτίας, ἣν ἐβιάσατο ὁ τοῦ Ταρκυνίου υἱός, καὶ διὰ τοῦτο ἀπέσφαξεν ἑαυτήν. ὅπως ὁ Βροῦτος τὸν Ταρκύνιον κατέλυσε καὶ*

---

1) *ἀστικὰ* pro *ἀστυκὰ* 2) *οἱ*] addit 3) *λατίνοις* pro *Λατίνων.*

τῆς βασιλείας ἠξιώθη σὺν Κολλατίνῳ, ἵνα μὴ δοκῇ μοναρχεῖν· διὸ καὶ ὕπατοι οὗτοι ἐκλήθησαν.

12. *Ὅτι διὰ τὴν μελετωμένην προδοσίαν τῶν υἱῶν τοῦ Βρούτου κολαζομένων ὁ πατὴρ οἷον ἀπαθῶς διέκειτο, ὁρῶν αὐτοὺς πάσχοντας, ἤτοι διὰ πελέκεως ἀπέθανον. ποπλικόλας ὁ δημοτικός. περὶ τοῦ ἔθνους τῶν Τυρσηνῶν. ἐν μάχῃ πολλῶν πεσόντων ἑκατέρωθεν εἶπε τὸ δαιμόνιον ἐκ τοῦ ἑνὸς μέρους ἕνα πεσεῖν ἐπέκεινα, καὶ εὑρέθη οὕτως. ὅτι Ῥωμαίοις οἱ Ἰταλοὶ ἐναντίοι ἦσαν τότε. ὅπως ὁ Σκαιόλας εὐμηχάνως εἰρήνην ἐποίησε μεταξὺ Ἰταλῶν καὶ Ῥωμαίων.*

13. *Ὅτι τετράκις ὑπάτευσεν Οὐαλέριος*[1]) *καὶ Ῥωμαῖοι δυσχεραίνουσιν, ὅτι ῥαβδούχους μετὰ πελέκεων εἶχε προϊόντας καὶ οἰκίαν λαμπράν, ἣν καὶ καθῄρησαν. πότε ταμίαι ἐγένοντο, οἳ καὶ κοιαίστορες ἐκαλοῦντο, καὶ τί τὸ τῶν κοιαιστόρων ἔργον. περὶ τοῦ ἔθνους τῶν Σαβίνων. ὅτι Ῥωμαῖοι ἐνίκησαν. ἧττα Σαβίνων. ὅτι ἐπ' ἐνιαυτὸν ἐθρηνεῖτο τελευτήσας Ποπλικόλας. αὖθις πόλεμος Λατίνων καὶ Ῥωμαίων. περὶ δικτάτορος.*

14. *Περὶ τοῦ ἔθνους Οὐολούσκων. ὅτι ἀρχικὸν ἦν τοὺς ἐν ἐκστρατείᾳ μὴ ἀπαιτεῖσθαι. περὶ τοῦ ἔθνους τῶν Αἰκουῶν, καὶ ὅτι τὸν*[2]) *Μάξιμον τὸν μέγιστον σημαίνει. περὶ τοῦ μύθου, ἐν ᾧ ἡ γαστὴρ ὠνειδίζετο παρὰ τῶν λοιπῶν τοῦ σώματος μερῶν. ὅπως ἐν ταῖς πολιτείαις οἱ δανείζοντες χρειώδεις.*

15. *Τίνες οἱ τριβοῦνοι. οἵα ἦν ἡ ἰσχὺς τότε*

---

1) *Οὐαλέριος*] *οὐαλλέριος*, omissis *καὶ Ῥωμαῖοι* 2) *τὸν*] ita codex pro *τό*.

τῶν τριβούνων. πόθεν λέγεται τὸ[1]) *καθωσιώθη. τίς ὁ ἀγορανόμος.*

16. *Ὅτι ὠνομάσθη Κοριολᾶνος ὁ Μάρκιος ἐκ τοῦ ἡττῆσαι τὸ ἔθνος τοῦ Κοριόλου. ὅτι ἐν καιρῷ ἱπποδρομίας καὶ οἱ πρόσχωροι εἰς Ῥώμην συνέθεον. κἀνταῦθα οἱ Ῥωμαῖοι τοῖς Λατίνοις ἐχθροί.*

17. *Περὶ τῆς τιμωρίας τῆς δεκατεύσεως, ἥτις τοῖς ἁμαρτήσασι στρατιώταις ἐπάγεται. ὅτι πένης ἀνὴρ καὶ γεωργίᾳ ζῶν δικτάτωρ γέγονε διὰ τὴν λοιπὴν ἀρετήν. ὅτι κατὰ Ῥωμαίους κικινάτοι*[2]) *οἱ ἀκειρεκόμαι.*[3]) *τί τὸ ὑπὸ ζυγὸν ἀγαγεῖν τοὺς ἡττηθέντας.*

18. *Ὅτι μετὰ τὴν τῶν νόμων ἐξ Ἑλλάδος μεταγωγὴν ἐπαύσαντο Ῥωμαίοις οἱ δήμαρχοι καὶ στρατηγοὶ προεβλήθησαν. ὅτι σανίσιν οἱ νόμοι γραφόμενοι τότε εἰς τὴν ἀγορὰν προετίθεντο. πόθεν ἡ δωδεκάδελτος. πότε ἡ δεκαρχία κατελύθη.*

19. *Πότε χιλίαρχοι ἀνθ᾽ ὑπάτων ἐκλήθησαν. περὶ τιμητῶν. ἐντιμότεροι τῶν τιμητῶν καὶ τῶν ἱππάρχων*[4]) *δικτάτορες. τί ἐστι πρίγκιψ.*

20. *Πότε μισθοφορεῖν τὸ στρατιωτικὸν ἤρξατο. τί σημαίνει ὅταν ὕδωρ ὑπερεκβλύσῃ.*

21. *Πότε ἐδόθη ταῖς γυναιξὶ τὸ ἐπ᾽ ὀχήματι*[5]) PII338 *περιιέναι. ὅτι πρῶτος λευκῷ τεθρίππῳ Κάμιλλος ἐθριάμβευσε καὶ ὅπως ὁ θρίαμβος ἐτελεῖτο. οἷον ἦν τὸ ἅρμα τοῦ θριάμβου. περὶ ἵππων ζυγίων καὶ σειραφόρων καὶ κελήτων. ὅτι ἐκωδωνοφόρουν οἱ κριθέντες θανεῖν. ὅτι καὶ ἐν δευτέρᾳ καὶ τρίτῃ ἡμέρᾳ ἐξήρκει ἡ πομπή.*

22. *Ὅπως Φαλίσκοι κατεφρόνουν Ῥωμαίων*[6])

---

1) *τὸ*] addit 2) *κικινάτοι*] *κικινάκοι* 3) *ἀκειρεκόμαι* pro *ἀκειροκόμαι*, ut 6, 9. 4) *ἱππάρχων*] *ὑπάρχων* 5) *ὀχήματι*] *ὀχη* with *μτ* written above 6) *Φαλίσκοι—Ῥωμαίων*] *φϊλΐσκων—ῥωμαῖοι.*

πολεμούντων καὶ διὰ τοῦτο τοὺς παῖδας ἐξῆγον εἰς τὸ τεῖχος γυμνασομένους. καὶ ὅπως ὁ διδάσκαλος προδέδωκε τούτους, καὶ ὅπως αὐτὸν οἱ πολέμιοι δεδεμένον ἀντέστρεψαν.

14.[1]) *Ὅπως ὁ Μέτελλος τοὺς τῶν πολεμίων κατασκόπους ἐφώρασεν. ὅτι πολέμου Ῥωμαίοις καὶ Καρχηδονίοις συρραγέντος ἐνίκησαν οἱ Ῥωμαῖοι καὶ τοὺς ἐλέφαντας αὐτῶν ἀνεῖλον. ὅπως τοὺς ἐλέφαντας οἱ Ῥωμαῖοι διεπεραίωσαν τὸν πορθμὸν καὶ εἰς Ῥώμην ἀπήγαγον.*

15. *Ὅτι πρέσβεις εἰς Ῥώμην οἱ Καρχηδόνιοι ἔπεμψαν καὶ αὐτὸν τὸν Ῥηγοῦλον τὸν ὕπατον, εἰρήνην αἰτοῦντες. ὅσα Ῥωμαίοις ὁ Ῥηγοῦλος συνεβούλευσε, γνώμην δοῦναι ἐπιτραπείς, καὶ ὅπως ἀνακομισθεὶς ἑκὼν εἰς Καρχηδόνα, ἵνα μὴ ἐπιορκήσῃ, ὠμότατα διεφθάρη. στρατεία Ῥωμαίων εἰς τὴν Λιβύην καὶ πολιορκία τοῦ Λιλυβαίου.*[2]) *ὅσα οἱ Ῥωμαῖοι ἐν τῇ πολιορκίᾳ τοῦ Λιλυβαίου παρὰ τῶν Καρχηδονίων ὑπέστησαν.*

16. *Ὅτι ἀφῆκαν οἱ Ῥωμαῖοι τὸ ναυμαχεῖν. ὅτι μετέστησαν πρὸς Ῥώμην οἱ Γαλάται τοῖς Καρχηδονίοις συμμαχοῦντες, καὶ ὅτι αὖθις ναυτικὸν οἱ Ῥωμαῖοι συνεστήσαντο, καὶ ναυμαχίᾳ τοὺς Καρχηδονίους ἐνίκησαν.*

17. *Ὅτι τὸν σφέτερον στρατηγὸν οἱ Καρχηδόνιοι ἀνεσταύρωσαν καὶ σπείσασθαι Ῥωμαίοις ᾔτουν. ὅτι οἱ ἐν τῇ Ῥώμῃ φυσηθέντες διὰ τὴν νίκην βαρυτέρας τὰς τῶν σπονδῶν συνθήκας τοῖς Καρχηδονίοις ἐπήνεγκαν, καὶ οὕτως ὁ πόλεμος ἔληξε σφίσιν.*

---

1) Nulla sunt ad c. 1—13 in codice argumenta. 2) *Λιλυβαίου*] *λῦβαίου* ut mox.

18. *Πόλεμοι Ῥωμαίων πρὸς ἔθνη. ὅτι τὴν Σαρδὼ ἔλαβον οἱ Ῥωμαῖοι ἐκ τῶν Καρχηδονίων καὶ χρήματα. πόλεμοι Ῥωμαίων πρὸς Γαλάτας καὶ Λίγυας καὶ Κυρνίους. πόλεμοι Ῥωμαίων πρὸς Σαρδονίους καὶ Κυρνίους καὶ Λίγυας. ὅτι πολέμιοι τοῖς Ῥωμαίοις ἐκρίθησαν Καρχηδόνιοι. κηρύκιον ἡ τοῦ κήρυκος ῥάβδος. μάχαι πρὸς Σαρδῶνας καὶ Κυρνίους.*

19. *Ὅπως Ἀμίλκας ἐνικήθη παρὰ Ἰβήρων καὶ ἐφθάρη. περὶ Βοουΐων καὶ Γαλατῶν. περὶ Ἴσσης τῆς νήσου καὶ ὅπως οἱ κάτοικοι ταύτης Ῥωμαίοις προσεχώρησαν καὶ περὶ τῆς ἀρχούσης αὐτῶν γυναικός. ποῖαι χῶραι καλοῦνται Ἰλλυρικόν.*

20. *Ἰνσούβρων ἐπίθεσις κατὰ Ῥωμαίων καὶ μάχη καὶ ἧττα. τέρατα συμβεβηκότα Ῥωμαίοις. ὅτι τοὺς ὑπάτους οἱ Ῥωμαῖοι μετεπέμψαντο, οἱ δὲ οὐκ ἀπῆλθον, ἕως τὸ πᾶν ἤνυσαν. ἑτέρα στρατεία κατὰ Ἰνσούβρων. περὶ Δημητρίου τοῦ Σαρδιαίων ἄρχοντος, ὅπως ὑπὸ Ῥωμαίων ἐκολάσθη.*

21. *Ὅτι αὖθις πόλεμοι μεταξὺ Ῥωμαίων ἀνερράγησαν καὶ Καρχηδονίων Ἀννίβου στρατηγοῦντος αὐτῶν τοῦ Ἀμίλκου παιδός. περὶ τῆς ἐν Εὐρώπῃ Ἰβηρίας ὅπου ἐστὶ καὶ μέχρι τίνος διήκει. ὅτι ὁ Ἀννίβας ἐπολιόρκει τοὺς ἐν Ἰβηρίᾳ Ζακυνθίους. ἅλωσις τοῦ περιβόλου τῶν Ζακυνθίων. ὅτι ἔκαυσαν οἱ Ζακύνθιοι τὰ τιμιώτερα τῶν χρημάτων αὐτῶν καὶ αὐτοὶ σὺν ἀπονοίᾳ τοῖς ἐναντίοις συμμίξαντες κατεκόπησαν.*

22. *Ὅτι πόλεμος ἐψηφίσθη Ῥωμαίοις κατὰ Καρχηδονίων. ὅτι πρέσβεις ἐπέμφθησαν εἰς Καρχηδονίους. περὶ σημείων γενομένων πρὸ τῆς μάχης τῶν*

Ῥωμαίων καὶ τῶν Καρχηδονίων καὶ περὶ ὀνείρου τῷ Ἀννίβᾳ φανέντος.

23. *Ὅτε οἱ Ῥωμαῖοι τῶν ὑπάτων τὸν μὲν εἰς Σικελίαν ἔπεμψαν, τὸν δὲ εἰς Ἰβηρίαν, καὶ ὅπως ὁ Ἀννίβας ἐπεραιώθη τὸν Ῥοδανόν. ὅτι οἱ πεμφθέντες παρὰ τῶν ἀντιμαχομένων εἰς κατασκοπὴν συνήντησαν ἀλλήλοις καὶ ἐμαχέσαντο. καὶ ὅτι ὁ Ἀννίβας ἄτριπτον*[1]) *ὁδὸν δι᾽ ὀρῶν διαβὰς ἐκακοπάθησε καὶ πολλοὺς ἀπώλεσε τῶν οἰκείων. μάχαι διάφοροι Ῥωμαίων καὶ Καρχηδονίων τοῦ Ἀννίβου αὐτῶν στρατηγοῦντος.*

25. *Ὅτι κατεστρατήγησε τῶν Ῥωμαίων ὁ Ἀννίβας καὶ πολλοὺς ἀνεῖλε καὶ οὐ μείους ἐζώγρησε, καὶ ἐπὶ τὴν Ῥώμην ἠπείγετο. ὅσα ἐποίουν οἱ ἐν τῇ Ῥώμῃ μαθόντες τὰ κατὰ τὸν Ἀννίβαν. ὅτι περιέκλεισαν*[2]) *τοὺς πολεμίους οἱ Ῥωμαῖοι εἰς τὴν Καμπανίαν.*

26. *Μηχάνημα τοῦ Ἀννίβου. ὅπως οἱ Ῥωμαῖοι* PII339
ἐσφάλησαν ἐκ κακοβουλίας τοῦ σφῶν στρατηγοῦ. ὅτι εἰς κίνδυνον κατέστησαν οἱ περὶ τὸν Ῥοῦφον ἐξ ἀβουλίας αὐτοῦ καὶ ὅτι ταχὺ μετεβάλετο καὶ τῷ δικτάτωρι[3]) *ὑπετάγη.*

1. *Περὶ χρησμῶν. ὅπως ἡ*[4]) *ἐν Κάνναις ἧττα τοῖς Ῥωμαίοις συνέπεσε καὶ ὅσα ὁ Ἀννίβας ἐποίησεν εἰς μάχην αὐτοὺς ἐκκαλούμενος καὶ ὅσα ἐμηχανήσατο ἐκείνῳ τὴν νίκην κατεργαζόμενα. ὅτι εἰ τότε ὁ Ἀννίβας εἰς τὴν Ῥώμην ὥρμησεν, εἷλεν ἂν αὐτήν.*

---

1) *ἄτριπτον* pro *ἀτρέπτως* 2) *περιέκλεισαν* pro *περιέκλυσαν* 3) *δικτάτωρι*] Per compendium *δϊκτα*$^{\tau\rho}$, ut supra, quod *τορι* est potius quam *τωρι* 4) *ἡ*] *οἱ*.

2. *Περὶ τοῦ Σκιπίωνος. ὅπως οἱ ἐν τῇ Ῥώμῃ διετέθησαν τὴν ἧτταν τῶν οἰκείων μαθόντες. ὅπως τοῖς αἰχμαλώτοις ὁ Ἀννίβας ἐχρήσατο. βούλευμα θαυμαστὸν ὅπως ὁ Ἀννίβας τοὺς Νεαπολίτας ᾠκειώσατο καὶ τὴν Καπύην καὶ τὴν Καμπανίαν τῶν Ῥωμαίων μετέστησε καὶ ἄλλους εἷλε καὶ ἀπηνῶς αὐτοῖς χρησάμενος ἀνέκοψε τοὺς λοιποὺς μὴ προσιέναι αὐτῷ. ὅπως οἱ ἐν Βασιλίναις Ῥωμαῖοι τῆς πολιορκίας ἐρρύσθησαν.*

3. *Στρατήγημα τοῦ Ἀννίβου. ὅτι διὰ τρυφὴν καὶ ῥᾳστώνην οἱ Καρχηδόνιοι ἡττήθησαν. ὅσα οἱ*[1]) *Σκιπίωνες ἐν Ἰβηρίᾳ ἐποίησαν.*

4. *Ὅτι οὐδὲν ἔχοντες οἴκοι στεῖλαι οἱ Σκιπίωνες ἀστραγάλους τοῖς παισὶν ἔστειλαν. ὅσα ὁ Ἀρχιμήδης κατὰ τῶν Ῥωμαίων ἐμηχανήσατο πολεμούντων τὰς Συρακούσας.*

5. *Ὅσα τοῖς Ῥωμαίοις συνέβη δεινά. ὅπως ὑπὸ Μαρκέλλου ἑάλωσαν αἱ Συράκουσαι. ὅπως ὁ Ἀρχιμήδης ἀνῃρέθη.*

6. *Ὅσα οἱ Καρχηδόνιοι ἐν Σικελίᾳ ἐποίησαν καὶ ὁ Ἀννίβας ἐν τῇ Ῥώμῃ ἐλθὼν εἰργάσατο, καὶ ὅπως ἐκεῖθεν ἀνεχώρησεν. ὅπως τὴν Καπύην οἱ Ῥωμαῖοι παρέλαβον καὶ ὅπως αὐτοῖς ἐχρήσαντο.*[2]) *ὅσα ὁ Λαουίνιος πρὸς Φίλιππον ἀντιστρατευόμενος ἔπραξεν.*

7. *Ὅπως ὁ Ἀσδρούβας ἐν Ἰβηρίᾳ τὸν Γάιον Κλαύδιον ἠπάτησε καὶ διέδρα. ὅτι Σκιπίων ὁ Πούπλιος ᾑρέθη στρατηγὸς τῶν ἐν Ἰβηρίᾳ. σημείωσαι τόλμαν καὶ μηχανὴν τοῦ κατηγορηθέντος. ὅπως ὁ Μουτίνας ἐκ Καρχηδονίων Ῥωμαίοις προσεχώρησεν.*

8. *Ὅπως οἱ Ῥωμαῖοι τὸν Τάραντα ἔλαβον. ὅτι*

---

1) οἱ] addit 2) ἐχρήσαντο] ἐχρήσατο.

οὐκ ἠδυνήθη ὁ Ἀννίβας ἀπατῆσαι τὸν Φάβιον. ὅπως ὁ Σκιπίων τὴν ἐν Ἰβηρίᾳ Καρχηδονίαν[1]) εἷλε καὶ ὅπως τὸν θόρυβον κατέπαυσε τῶν στρατιωτῶν καὶ τοὺς Κελτίβηρας ὑπηγάγετο. ὅπως τὸν Ἀσδρούβαν ὁ Σκιπίων ἐνίκησε καὶ οἷος ἦν[2]) τοὺς τρόπους. ὅπως ὁ Σκιπίων τοὺς ἐναντίους μετεχειρίσατο καὶ ἐνίκησεν.

9. Ὅτι ὁ Ἀννίβας ἐν μάχῃ ἐνίκησε, καὶ πεσόντος τοῦ Μαρκέλλου τὸν σημαντῆρα ἐκείνου δακτύλιον εὑρηκὼς ἐπλάττετο γράμματα, ὡς ἐκείνου αὐτὰ ταῖς πόλεσι στέλλοντος, καὶ πλείστους ἠπάτησεν, ἕως ἐγνώσθη. μάχη Ῥωμαίων πρὸς Ἀχαιοὺς συμμαχουμένους ὑπὸ Μακεδόνων. πόλεμοι πάλιν ἄλλοι Ῥωμαίων καὶ Καρχηδονίων καὶ στρατήγημα τοῦ ἑνὸς τῶν ὑπάτων τολμηρότατον.

10. Ὅσα ὁ Σκιπίων ἐν Ἰβηρίᾳ καὶ ἐν Λιβύῃ ἐποίησεν. ὅπως ὁ Σκιπίων τοὺς ἀποστατήσαντας τῶν αὐτοῦ στρατιωτῶν διὰ τὴν νόσον αὐτοῦ προσηγάγετο καὶ ὅπως αὐτοῖς ἐχρήσατο καὶ τίνας ἐκόλασεν. ὅτι τῆς Ἰβηρίας ὁ Σκιπίων ἐκράτησεν. περὶ τῶν Γυμνησίων νήσων.

11. Δι' ἣν αἰτίαν ὁ Μασινίσσας Ῥωμαίοις[3]) προσεχώρησεν. ὅτι ἐπαύθη τῆς ἀρχῆς ὁ Σκιπίων. ὅπως ὁ Φίλιππος Ῥωμαίοις ἐσπείσατο καὶ ὁ Σκιπίων τῆς πόλεως τῶν Λοκρῶν πολλὰ ἐκ προδοσίας συνέσχε, εἶτα καὶ αὐτὴν τὴν ἀκρόπολιν.

12. Ὅτι ὁ Μασινίσσας κατηλλάγη δῆθεν Καρχηδονίοις, ἵν' αὐτοῖς[4]) οὕτω σφήλῃ. ὅτι ὁ Σκιπίων διέβη πρὸς Καρχηδονίους καὶ πόλεις εἷλέ τινας. ὅτι

---

1) Καρχηδονίαν] sic 2) ἦν] addit 3) τοῖς ante Ῥωμαίοις om. 4) αὐτοῖς] ita cod. quoque.

Μασινίσσας Ῥωμαίοις ἐβοήθησε κατὰ τῶν Καρχηδονίων. στρατήγημα τοῦ Σκιπίωνος.

13. *Περὶ Μασινίσσου καὶ τοῦ Σύφακος καὶ τῆς Σοφωνίδος. ὅτι σπονδὰς οἱ Καρχηδόνιοι ᾔτησαν. ὅτι τῷ Σκιπίωνι ἐν Λιβύῃ Καρχηδόνιοι ἐπεβούλευσαν. ὅτι τῷ Ἀννίβᾳ πᾶσα ἡ ἡγεμονία ἐδόθη.*

14. *Ὅτι ὁ Σκιπίων τῷ Ἀννίβᾳ συμβαλὼν ἐνί-*
κησεν. ὅτι σπείσασθαι ὁ Ἀννίβας ἐξήτησεν. ὅτι συμ-
βαλὼν ὁ Σκιπίων τῷ Ἀννίβᾳ ἥττησεν αὐτόν. ὅτι
PII340 *πολιορκούμενοι παρὰ τοῦ Σκιπίωνος οἱ Καρχηδόνιοι*
περὶ σπονδῶν διειλέχθησαν. ὅτι πρέσβεις οἱ Καρ-
χηδόνιοι πρὸς Ῥώμην ἔστειλαν καὶ συμβάσεις αὐτοῖς
ἐψηφίσθησαν.

15. *Πόλεμος πρὸς Φίλιππον τὸν Μακεδόνα. ὅτι τὰς Ἀθήνας πολιορκουμένας ὑπὸ τῶν Μακεδόνων ἐρρύσαντο οἱ Ῥωμαῖοι. ὅτι ἡττήθη Φίλιππος Ῥωμαίοις συμβαλὼν καὶ ἐτρώθη.*

16. *Μάχη ἑτέρα Ῥωμαίων πρὸς Φίλιππον. μάχη καὶ πάλιν Ῥωμαίων πρὸς Φίλιππον καὶ ἧττα αὐτοῦ. ἐπὶ ποίαις συνθήκαις Ῥωμαῖοι τῷ Φιλίππῳ ἐσπείσαντο.*

17. *Ὅπως ἐλύθη ὁ κελεύων μὴ κοσμεῖσθαι τὰς γυναῖκας νόμος. ὅσα ὁ Κάτων ἐν Ἰβηρίᾳ ἐποίησεν. ὅπως ὁ Κάτων ἐν μιᾷ ἡμέρᾳ τὰ τείχη τῶν ἐν Ἰβηρίᾳ πόλεων παρὰ τῶν πολιτῶν αὐτῶν κατασκαφῆναι ἐποίει.*

18. *Ὅπως οἱ Ῥωμαῖοι ἐπὶ τὸ Ἄργος καὶ τὴν Σπάρτην ἐστράτευσαν, καὶ ὅπως ἐσπείσαντο καὶ τοὺς Ἕλληνας ἠλευθέρωσαν. ὅτι ἐνεωτέρισαν οἱ Ἕλληνες. ὅτι τοῦ Σκιπίωνος ἀφικομένου πρὸς Ἀντίοχον ὁ Ἀννίβας ὕποπτος ἔδοξεν.*

19. *Ὅτι διὰ τὸν Ἀντίοχον οἱ Ῥωμαῖοι ἐθορυ-*

βοῦντο. ὅτι ὁ Φίλιππος Ῥωμαίοις ἐφιλιώθη. ἐξέλασις Ἀντιόχου ἐκ τῆς Ἑλλάδος. ὅτι ἐν Ναυπάκτῳ σπείσασθαι τοῖς Ῥωμαίοις ἐζήτησαν, οὐκ ἐσπείσαντο δέ.

20. *Ὅτι οἱ Σκιπίωνες τῷ Ἀντιόχῳ ἀντετάχθησαν. ὅτι ᾔτησεν ὁ Ἀντίοχος εἰρήνην, οὐκ ἔτυχε δ' αὐτῆς. καὶ ὅτι ἐπολέμησαν οἱ Ῥωμαῖοι καὶ οἱ αὐτοῦ. ὅτι ἐπεχείρησεν ὁ Ἀντίοχος ἑλεῖν τὸ τῆς Ῥώμης στρατόπεδον, ἀπεκρούσθη δέ, τὸ δ' αὐτοῦ εἷλεν ὁ Σκιπίων. ὅτι σπονδὰς ᾔτησεν ὁ Ἀντίοχος, καὶ ὁ Ἀννίβας, δείσας ἵνα μὴ ἐκδοθῇ, ἔφυγε πρὸς Προυσίαν. ὅτι φθονηθέντες οἱ Σκιπίωνες κατεκρίθησαν. ὅπως οἱ ἐν τῇ Ἀσίᾳ Γαλάται ἄποικοι τῶν Εὐρωπαίων ἐγένοντο Γαλατῶν. ὅπως ὁ Μάλλιος τὴν Ἄγκυραν εἷλεν.*

21. *Ὅτι οἱ Αἰτωλοὶ πρέσβεις ὑπὲρ εἰρήνης ἔπεμψαν, καὶ ὅπως ὁ Μάρκος ἐπολιόρκει τὴν Ἀμβρακίαν, καὶ ὅσα οἱ Αἰτωλοὶ ἀντετεχνήσαντο, καὶ ὡς ἐσπείσαντο αὐτοῖς οἱ Ῥωμαῖοι. τίνες θανόντος τοῦ Ἀντιόχου μετ' ἐκεῖνον ἐβασίλευσαν. ὅτι ὁ Ἀννίβας ἑαυτὸν διεχρήσατο, ἵνα μὴ ἐκδοθῇ Ῥωμαίοις.*

22. *Ὅτι ὁ Φίλιππος τὸν υἱὸν Δημήτριον ἔκτεινεν ἐκ διαβολῆς τοῦ Περσέως, καὶ ὅτι καὶ τοῦτον κτεῖναι θέλων οὐκ ἴσχυσεν. πόλεμοι Ῥωμαίων πρὸς Περσέα βασιλέα τῶν Μακεδόνων. ὅτι τοῦ Κράσσου*[1]) *πόλεις Ἑλληνίδας ἑλόντος καί τινας κατασκάψαντος καὶ τοὺς ἁλόντας ἀποδομένου*[2]) *οἱ Ῥωμαῖοι ὠργίσθησαν. ὅτι ἠτύχησαν οἱ Ῥωμαῖοι*[3]) *μαχόμενοι τῷ Περσεῖ. ὅτι εὐτυχῶν ὁ Περσεὺς διὰ φειδωλίαν ἠτύχησε καὶ σπονδῶν ἐδεήθη.*

---

1) *Κράσσου*] *κράσου* 2) *ἀποδομένου* pro *ἀποδομένους*
3) *οἱ* post *Ῥωμαῖοι* om.

23. *Ὅτι Παῦλος Αἰμίλιος ὕπατος ᾑρέθη καὶ κατὰ τοῦ Περσέως ἐπέμφθη. ὅτι ἐκλιπεῖν τὴν σελήνην μέλλειν προμαθὼν ὁ Παῦλος, προεῖπε τοῖς στρατιώταις, ἵνα μὴ ταραχθῶσιν. ἧττα τοῦ Περσέως καὶ τῶν Μακεδόνων. ὅτι στενοχωρηθεὶς ὁ Περσεὺς ἐπέστειλε τῷ Παύλῳ περὶ σπονδῶν, βασιλέα δὲ αὐτὸν ὀνομάσας οὐ προσεδέχθη. ὅτι οἱ Κρῆτες τοῦ Περσέως χρήματα εἰς τὰ πλοῖα ἐνθέμενοι ἀπῆραν. ὅτι κρυπτόμενος ὁ Περσεὺς ἑκὼν εὑρέθη καὶ ὅπως αὐτῷ ὁ Παῦλος ἐχρήσατο. ὅσα ὁ Πλούταρχος περὶ τοῦ Περσέως λέγει καὶ περὶ τοῦ Παύλου.*

24. *Ὅτι καὶ τὸν Γέντιον οἱ Ῥωμαῖοι ἐνίκησαν. ὅτι οἱ Ῥωμαῖοι μαθόντες τὴν τοῦ Παύλου νίκην ἔχαιρον, καὶ ὁ Παῦλος λαμπρῶς ἐθριάμβευσεν, ὅτε καὶ δύο*[1]*) υἱοὶ αὐτοῦ ἐτελεύτησαν. ὅπου ὁ Περσεὺς ἐφρουρεῖτο καὶ διεχειρίσατο ἑαυτόν. περὶ Ῥοδίων καὶ Κρητῶν καὶ Προυσίου καὶ Εὐμένους.*[2]*) περὶ τῶν παίδων Ἀριαράθου τοῦ Καππαδοκῶν βασιλέως.*

25. *Περὶ Ἀντιόχου τοῦ υἱοῦ Ἀντιόχου καὶ Δημητρίου τοῦ υἱοῦ Σελεύκου. ὅτι ἐπὶ Δαλμάτας οἱ Ῥωμαῖοι ἐστράτευσαν καὶ τούτους ὑπέταξαν.*

26. *Ὁ τρίτος Ῥωμαίοις πρὸς τοὺς Καρχηδονίους πόλεμος, ὅτε τέλεον αὐτοὺς ἐξηνδραποδίσαντο καὶ τὴν Καρχηδόνα κατέσκαψαν. ὅτι πόλεμον κατὰ Καρχηδονίων τῶν Ῥωμαίων ψηφισαμένων ἐκεῖνοι ὑπήκοοι αὐτοῖς εἶναι ἐπλάττοντο καὶ ὁμήρους ἔδωκαν. ὅτι ἔλυσαν οἱ Ῥωμαῖοι τὴν πολιορκίαν.*

27. *Περὶ Σκιπίωνος οἷος ἦν. ὅπως ὁ Σκιπίων*

---

1) *δύο* pro *δύω* 2) *Εὐμένους*] *εὐμενοῦς*.

οἰκονομῆσαι καταλειφθεὶς παρὰ[1]) τοῦ Μασινίσσου τελευτῶντος τὰ τῆς βασιλείας αὐτοῦ τοῖς ἐκείνου παισὶ τὰ πράγματα προσεκλήρωσεν. ὅτι ὁ Φαμέας[2]) πρὸς Ῥωμαίους ηὐτομόλησεν. περὶ Προυσίου τοῦ Βιθυνῶν βασιλέως καὶ Νικομήδου τοῦ υἱοῦ αὐτοῦ. PII341

28. Περὶ Ἀνδρίσκου, ὃς ἐπλάσατο τοῦ Περσέως εἶναι υἱός, καὶ διάδημα περιθέμενος τὴν Μακεδονίαν κατέσχε καὶ τῆς Θεσσαλίας πολλὰ καὶ τοὺς Ῥωμαίους ἥττησε προσβαλόντας αὐτῷ. ὅτι ὁ Ἀνδρίσκος ὑπὸ Μετέλλου ἡττηθεὶς προεδόθη ὑπὸ Βύζου καὶ ἐκολάσθη, καὶ περὶ Ἀλεξάνδρου υἱὸν ἑαυτὸν τοῦ Περσέως λέγοντος.

29. Περὶ Καρχηδονίων καὶ ὅτι τῷ Σκιπίωνι ὁ κατ' αὐτῶν ἀνετέθη πόλεμος. ὅπως ὁ Σκιπίων τῷ Μαγκίνῳ ἐπήμυνε χωρίον τι τῆς Καρχηδόνος ἑλόντι καὶ κινδυνεύοντι. ὅπως ὁ Σκιπίων μέρος τῆς πόλεως Καρχηδόνος εἷλε. καὶ ὅτι ὁ Ἀσδρούβας μετὰ τῶν Καρχηδονίων εἰς τὸν Κώθωνα καὶ εἰς τὴν Βύρσαν κατέφυγον. καὶ ὅτι ὁ Σκιπίων τὸ στόμα τοῦ λιμένος συνέχωσεν, ἵνα μὴ τοῖς Καρχηδονίοις τροφαὶ κομίζωνται.

30. Ἅλωσις τελεία τῆς Καρχηδόνος καὶ ταύτης κατασκαφή. ψήφισμα τοῦ κατασκαφῆναι τὴν Καρχηδόνα.

31. Ἐξ οἵας αἰτίας τοῖς Ἕλλησιν ἐπολέμησαν οἱ Ῥωμαῖοι καὶ τήν τε Κόρινθον κατέσκαψαν καὶ τοὺς Κορινθίους ἀπέδοντο.

1. Περὶ τῶν ἐν Ῥώμῃ μοναρχησάντων. ὅπως ἐφθάρη ὁ Κίννας καὶ Κάρβων αὐτὸν διεδέξατο καὶ ὁ Πομπήιος τῷ Σύλλᾳ προσῆλθεν. ὅσα κατώρθωσεν

1) περὶ] Scripsi παρὰ 2) φαμέας pro Φαβέας.

ὁ Πομπήιος πρὸς Σύλλαν ἀπιών, καὶ ὅπως αὐτὸν ὁ Σύλλας ἐδέξατο. ὅτι κῆδος[1]*) ὁ Σύλλας πρὸς Πομπήιον ἔθετο. ὅτι τὴν Σικελίαν ὁ Πομπήιος ᾠκειώσατο καὶ τὸν Κάρβωνα ἀνεῖλεν.*

2. *Ὅτι καὶ ὁ Δομέτιος προσβαλὼν τῷ Πομπηίῳ ἡττήθη καὶ ἀνηρέθη. οἵαν ἐτήρουν διάθεσιν πρὸς Πομπήιον τὰ στρατεύματα. ὅτι Μάγνον ὁ Σύλλας προσεῖπεν αὐτόν. ὅπως ἔτυχε τοῦ θριάμβου Πομπήιος, καίπερ τοῦ Σύλλα κωλύοντος. ὅτι στρατεύματος ἡγεμὼν ἡρέθη Πομπήιος κατὰ Λεπίδου, καὶ ὅπως ἀπέθανε Λέπιδος. ὅτι κατὰ Σερτωρίου ἐστάλη*[2]*) Πομπήιος. ὅπως ὁ Σερτώριος ἐφθάρη καὶ ὅπως τὸν Περπένναν ἀνεῖλε Πομπήιος. ὅτι ἠγάπα τὸν Πομπήιον ὁ δῆμος κἀκεῖνος τῷ δήμῳ προσέκειτο. ὅπως οἱ τιμηταὶ τὸν Πομπήιον ἐδέξαντο προσιόντα αὐτοῖς.*

3. *Περὶ τῶν πειρατικῶν νεῶν*[3]*) καὶ ὅσας εἷλον πόλεις καὶ ὅπως τοῖς ἁλισκομένοις Ῥωμαίοις ἐνέπαιζον καὶ οἵα ἐξουσία τῷ Πομπηίῳ κατ' αὐτῶν στελλομένῳ ἐψηφίσθη. ὅπως ταχέως τὸν πειρατικὸν ἐνίκησε πόλεμον καὶ τὴν θάλασσαν τῶν ληστηρίων ἐκάθηρε, καὶ ὅπως παρ' Ἀθηναίων ἐδέχθη.*

4. *Ὅσα ἐψηφίσθη τῷ Πομπηίῳ μαθόντων τῶν Ῥωμαίων τὴν νίκην τοῦ πειρατικοῦ πολέμου. ὅπως τὸν Μιθριδάτην ὁ Πομπήιος ἐπολέμησεν. ὅτι ἑαυτὸν παρέδωκε τῷ Πομπηίῳ Τιγράνης ὁ τῶν Ἀρμενίων βασιλεύς. καὶ ὅπως αὐτῷ ἐχρήσατο ἐκεῖνος καὶ τῷ υἱῷ αὐτοῦ. περὶ Ἀλβανῶν καὶ Ἰβήρων. ὅτι τοὺς Ἀλβανοὺς καὶ τοὺς Ἴβηρας ἐνίκησεν ὁ Πομπήιος. περὶ Ἀμαζόνων. περὶ τῆς σωφροσύνης Πομπηίου καὶ τῆς τῶν χρημάτων καταφρονήσεως.*

---

1) *κῆδος*] *κῦδος* 2) *ἐστάλη* pro *ἐστάλη ὁ* 3) *νεῶν*] *νηῶν.*

5. Ὅτι τοὺς περὶ Ἄμανον Ἄραβας καὶ Συρίαν καὶ τὴν Ἰουδαίαν ὑπέταξεν. ὅτι ὁ Μιθριδάτης ἔθανε καὶ ὁ ἐκείνου υἱὸς προσῆλθε τῷ Πομπηίῳ. ὅτι ὑποπτευόμενος ὁ Πομπήιος τῆς μοναρχίας ἀνθέξεσθαι χωρὶς τῶν[1]) στρατιωτῶν τὴν Ῥώμην κατέλαβεν. ὅτι σιτοδείας οὔσης ἐν Ῥώμῃ Πομπήιος ἐκπλεύσας συνήθροισε σῖτον καὶ εἰς τὴν Ῥώμην ἐκόμισεν.

6. Ὅτι τὴν[2]) ἑαυτοῦ θυγατέρα ὁ Καῖσαρ τῷ Πομπηίῳ κατηγγύησεν. ὅσα ὁ Καῖσαρ κατώρθωσεν.

7. Ὅτι ὁ Καῖσαρ καταλῦσαι τὸν Πομπήιον ἐμελέτα καὶ τὸν Καίσαρα ἐκεῖνος. ὅτι ἐψήφιστο ὑπὸ τῆς βουλῆς καταθέσθαι τὰ ὅπλα τὸν Καίσαρα, οἱ δὲ περὶ Ἀντώνιον καὶ τὸν Πομπήιον ἠξίουν καταθέσθαι τὰ ὅπλα. ὅτι ἤρξατο τῆς τυραννίδος ὁ Καῖσαρ. ὅτι ἐξῆλθε τῆς Ῥώμης ὁ Πομπήιος καὶ οἱ πλείους αὐτῷ εἵποντο.

8. Ὅτι πρὸς Πομπήιον ἀπιὼν ὁ Καῖσαρ εἰς τὴν
Ῥώμην ἀνέστρεψε καὶ τῆς Ἰταλίας ἐκράτησεν. ὅτι
αὖθις ἐπὶ Πομπήιον ἀπήει. τόλμα παράβολος[3]) τοῦ
Καίσαρος. ὅτι ἡττήθη ὁ Καῖσαρ καὶ μικροῦ ἐκιν- PII342
δύνευσεν ἄν. ὅτι ὁ Πομπήιος ὑπερτίθεσθαι τὸν
πόλεμον ἤθελεν, οἱ δ' ἄλλοι ἐκ θράσους εἰς μάχην
ὥρμων.

9. Περὶ σημείων πρὸ τῆς μάχης φανέντων. τροπὴ τοῦ Πομπηίου. οἵα ἦν ἡ τοῦ Πομπηίου γυνὴ καὶ ὅσα εἶπεν ἰδοῦσα αὐτὸν φεύγοντα καὶ οἷα ἐκεῖνος πρὸς αὐτήν. ὅτι εἰς Αἴγυπτον ὁ Πομπήιος κατηνέχθη[4]) καὶ ὅπως ἀνῃρέθη ἐκεῖ. οἵας ἔτυχε ταφῆς ὁ Μάγνος Πομπήιος.

---

1) τῶν] addit 2) ὅτι τὴν] ὅτην τὴν 3) παράβολος] παράβουλος 4) κατηνέχθη] κατήχθη, ut in textu.

10. *Ὅπως ὁ Καῖσαρ διετέθη πρὸς τοὺς ἀναιρέτας Πομπηίου. περὶ τῆς Κλεοπάτρας, καὶ ὅπως ὁ Καῖσαρ ἑάλω ταύτης τῷ ἔρωτι. ὅτι πολέμου μέσον τοῦ Καίσαρος καὶ τῶν Ἀλεξανδρέων συστάντος ἡ μεγάλη βιβλιοθήκη ἐκαύθη. ὅτι τὴν Κλεοπάτραν Αἰγύπτου βασιλίδα κατέλιπε Καῖσαρ ἔγκυον οὖσαν ἐξ αὐτοῦ. καὶ ὅπως τὸν Φαρνάκην ἐνίκησεν. ὅσον πλῆθος Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις διέφθαρτο καὶ ὅπως τοῖς υἱοῖς τοῦ Πομπηίου ἐμαχέσατο Καῖσαρ.*

11. *Ὅτι δικτάτωρ ὁ Καῖσαρ διὰ βίου ἐψηφίσθη. ὅτι διὰ τὸν τῆς βασιλείας ἔρωτα ἐμισήθη ὁ Καῖσαρ. ὅθεν ἐκαλεῖτο Καῖσαρ. ὅσα ὁ Καῖσαρ ἐκ φιλαρχίας ἐποίησε, δι' ἃ ἐμισήθη καὶ ἐπεβουλεύθη. περὶ Βρούτου καὶ ὅπως αὐτὸν κατὰ τοῦ Καίσαρος παρώξυνον πολλοί. σημεῖα γενόμενα δηλωτικὰ τῆς τοῦ Καίσαρος ἀναιρέσεως. σφαγὴ τοῦ Καίσαρος. ὅσα τῷ Καίσαρι ἐψηφίζοντο.*

12. *Ὅτι οἱ τοῦ Καίσαρος ἀναιρέται εἰς τὸ Καπιτώλιον ἀνῆλθον. ὅτι ὁ Κικέρων ἔπεισε πάντας σπείσασθαι ἀλλήλοις καὶ τὰ παρὰ τοῦ Καίσαρος πραχθέντα κρατεῖν. ὅτι ὁ Ἀντώνιος τὸν τοῦ Καίσαρος νεκρὸν προθέμενος πολλὰ πρὸς ἔπαινον ἐκείνου καὶ κινοῦντα τὸν δῆμον πρὸς ὀργὴν κατὰ τῶν φονέων εἶπεν. ὅτι ὁ δῆμος ἐκ τῆς τοῦ Ἀντωνίου δημηγορίας ἐρεθισθεὶς τὸν νεκρὸν τοῦ Καίσαρος ἔκαυσε, κατὰ δὲ τῶν φονέων αὐτοῦ κεκίνητο.*

13. *Σημεῖα δηλωτικὰ τῆς τοῦ Ὀκταβίου Καίσαρος εὐτυχίας.*

14. *Συμβουλαὶ Κικέρωνος καὶ τῶν ἐναντιουμένων αὐτῷ καὶ μηνύματα τῆς βουλῆς πρὸς τὸν Ἀν-*

τώνιον. ὅτι μὴ πειθομένου[1]) *τῇ βουλῇ τοῦ Ἀντωνίου ἐψηφίσθη πολέμιον εἶναι αὐτόν. μάχαι μέσον Ἀντωνίου καὶ Καίσαρος. τροπὴ τοῦ Ἀντωνίου.*

15. *Ὅπως οἱ ἐν τῇ Ῥώμῃ πρὸς τὸν Καίσαρα διετίθεντο. ὅτι τὸν πρὸς τὸν Ἀντώνιον καὶ τὸν Λέπιδον πόλεμον οἱ Ῥωμαῖοι τῷ Καίσαρι ἀνέθεντο. ὅτι καὶ ἄκοντες οἱ ἐν τῇ Ῥώμῃ ὕπατον τὸν Καίσαρα ἐψηφίσαντο. ὅτι καὶ παρὰ τῆς βουλῆς εἰς τὸ τοῦ Καίσαρος τοῦ Ἰουλίου εἰσεποιήθη γένος ὁ Ὀκτάβιος.*

16. *Διὰ τί τὰς πρὸς τὸν Ἀντώνιον καὶ τὸν Λέπιδον συνθήκας ὁ Καῖσαρ ἐτήρησε, καὶ ὅτι καὶ τοῖς Ῥωμαίοις αὐτοὺς κατήλλαξε δι' ἑτέρων. πῶς συνῆλθον ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος καὶ ὁ Λέπιδος, καὶ ὅπως ἑαυτοῖς ἀρχὰς ἐθνῶν ἀπένειμαν. ὅτι τῷ Καίσαρι ἐμνηστεύθη ἡ τῆς γυναικὸς τοῦ Ἀντωνίου θυγάτηρ. περὶ σημείων. ὅτι ἐν τῇ Ῥώμῃ ἐλθόντες σφαγὰς πολλῶν ἐποιήσαντο, ἀντιδιδόντες ἀλλήλοις τοὺς ἑαυτοῦ φίλους ἕκαστος.*

17. *Ὅπως ὁ Κικέρων ἀνῄρηται καὶ ὅπως πρὸς αὐτὸν καὶ νεκρὸν διετέθη ὁ Ἀντώνιος καὶ ἡ γαμετὴ αὐτοῦ Φουλβία. πίστις θαυμαστὴ δούλου πρὸς δεσπότην. ἀγάπη πατρική. ὅσα βίαια τότε ἐπράχθη.*

18. *Ὅτι ὁ μὲν Λέπιδος τὰ τῆς Ῥώμης καὶ τῆς Ἰταλίας διοικήσων εἰάθη, Καῖσαρ δὲ καὶ Ἀντώνιος κατὰ Βρούτου καὶ Κασσίου ἐστράτευσαν. ὅσα ὁ Βροῦτος καὶ ὁ Κάσσιος ἐποίουν ἑτοιμαζόμενοι ἀνθίστασθαι τῷ Καίσαρι καὶ τῷ Ἀντωνίῳ. ὅτι τῶν Ῥοδίων ὁ Κάσσιος ἐκράτησε, τῶν δὲ Λυκίων ὁ Βροῦτος. ὅτι ὁ Βροῦτος καὶ ὁ Κάσσιος ἀνεβάλλοντο τὴν μάχην.*[2])

---

1) *πειθομένου*] *πειθόμενος* perspicue 2) *ὅτι ὁ Βροῦτος — μάχην*] addit.

19. *Περὶ σημείων γεγονότων ἐν τῇ Ῥώμῃ καὶ ἐν τοῖς στρατοπέδοις. μάχη Καίσαρος καὶ Ἀντωνίου πρὸς Βροῦτον καὶ Κάσσιον καὶ ἧττα Κασσίου καὶ τῶν ταφρευμάτων πόρθησις καὶ Κασσίου ἑκούσιος σφαγή.*

20. *Ἧττα τοῦ Βρούτου. σῆ Ἕλληνα πληροῦντα καὶ πρὸ τοῦ εὐᾶ (εὐαγγελίου) τὸ ἵνα τις θῇ τὴν ψυχὴν ὑπὲρ τοῦ φίλου αὐτοῦ.*[1]) *αὐτοχειρία Βρούτου. περὶ Πορκίας τῆς τοῦ Βρούτου γυναικός.*

21. *Ὅτι καὶ ὁ Κάσσιος καὶ ὁ Βροῦτος τοῖς ξίφεσιν, οἷς ἀνεῖλον τὸν Καίσαρα, ἀνηρέθησαν. ὅτι ἐν Ῥώμῃ τῷ Καίσαρι διηνέχθη ἡ τοῦ Ἀντωνίου γυνὴ καὶ ὁ ἀδελφὸς ἐκείνου ὑπατεύων. ὅτι ἡ στάσις μέσον τοῦ δήμου καὶ τῶν στρατιωτῶν ἐγένετο. ὅτι ἔσπευσεν ὁ Καῖσαρ σπείσασθαι τῷ Σέξτῳ καὶ τῶν σπονδῶν διήμαρτε.*

PII343 22. *Οἷα ἐν Ἀσίᾳ ὁ Ἀντώνιος ἔπραξε, καὶ ὅπως ἐδουλώθη*[2]) *τῆς Κλεοπάτρας τῷ ἔρωτι. περὶ Λαβιηνοῦ*[3]) *καὶ Πακόρου. ὅτι ἐπολεμώθη τῷ Καίσαρι ὁ Ἀντώνιος διὰ τὴν Φουλβίαν, καὶ ὅτι ἐκείνης θανούσης ἐσπείσαντο. ὅτι κοινῶς μαχέσασθαι τῷ Σέξτῳ συνέθεντο ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος. ὅτι ἐστασίαζον οἱ ἐν τῇ Ῥώμῃ διὰ τὸν λιμὸν καὶ ᾔτουν τῷ Σέξτῳ σπείσασθαι, καὶ ἐφ' αἷς συνθήκαις ἐσπείσαντο. ὅτι εἱστίασεν ὁ Σέξτος τὸν Ἀντώνιον καὶ τὸν Καίσαρα ἐν τῇ νηὶ αὐτοῦ, καὶ δυνάμενος αὐτοὺς κατασχεῖν οὐκ ἠθέλησε.*

23. *Ὅσα ὁ Ἀντώνιος εἰς τὴν Ἑλλάδα πλεύσας ἐποίησεν. περὶ Βεντιδίου καὶ Λαβιηνοῦ καὶ τῶν*

---

1) *σῆ—αὐτοῦ*] addit 2) *ἐδουλώθη*] *ἐδηλώθη* 3) *Λαβιηνοῦ*] *λαβηινοῦ*, ut in textu, sed infra *λαβιηνοῦ*.

Πάρθων. ὅτι τὸ πλῆθος πρὸς τοὺς τελώνας ἐστασίασαν.[1]) *ὅτι τὴν Λιβίαν ἔγημεν ὁ Καῖσαρ ἔγκυον οὖσαν, τοῦ ἀνδρὸς αὐτῆς ταύτην ἐκδόντος αὐτῷ. τίσι πάλαι τῶν Ῥωμαίων δακτυλίοις κοσμεῖσθαι ἐξῆν. διὰ τίνας αἰτίας ὁ Καῖσαρ καὶ ὁ Σέξτος ἐπολέμησαν.*

24. *Ὅτι ἡ Ὀκταβία ἡ τοῦ Καίσαρος ἀδελφὴ τῷ Ἀντωνίῳ συνῴκησεν. ὅτι ἑαυτοῖς ὁ Καῖσαρ καὶ Ἀντώνιος τὰς ἡγεμονίας ἐπέτρεπον. ὅτι ἐσφάλη ὁ Καῖσαρ στόλῳ τῇ Σικελίᾳ προσβαλών. ναυμαχία τοῦ Σέξτου καὶ τῶν τοῦ Καίσαρος. μάχη Σέξτου καὶ τοῦ Καίσαρος.*

25. *Ὅτι διηνέχθη ὁ Καῖσαρ καὶ ὁ Λέπιδος. ἧττα Σέξτου. φυγὴ Σέξτου. ὅτι οἱ τοῦ Λεπίδου ηὐτομόλησαν πρὸς τὸν Καίσαρα, καὶ αὐτὸς ὁ Λέπιδος προσῆλθεν αὐτῷ. περὶ τῶν στρατιωτῶν στασιαζόντων καὶ ὅπως αὐτοὺς ὁ Καῖσαρ μετῆλθε. περὶ Σέξτου. ὅσα ἐνενόει ὁ Σέξτος. ἀναίρεσις Σέξτου.*

26. *Νίκη κατὰ Πάρθων. περὶ Ὀρώδου καὶ ὅπως ἀνῄρητο. περὶ Πάρθων καὶ Μήδων καὶ τοῦ Ἀντωνίου πολεμοῦντος αὐτοῖς. οἷον ἦν τὸ τῆς χελώνης πάλαι σύνταγμα καὶ ὅτε τούτῳ Ῥωμαῖοι ἐκέχρηντο.*

27. *Περὶ τοῦ ἔθνους τῶν Παννονίων οἷοί εἰσι καὶ ὅπου οἰκοῦσιν. ὅτι δόλῳ συνέσχε τὸν Ἀρμένιον ὁ Ἀντώνιος. ὅτι καὶ τὸν Ἀρμένιον καὶ τοὺς αὐτοῦ τῇ Κλεοπάτρᾳ ὁ Ἀντώνιος ἐχαρίσατο καὶ ὅτι ἀταπείνωτοι πρὸς αὐτὴν ἐκεῖνοι ἔμειναν. ὅτι τὴν μὲν δημοκρατίαν οἱ Ῥωμαῖοι ἀπώλεσαν, οὔπω δὲ ἐς φα-*

---

1) *ἐστασίασαν* pro *ἐστασίασε* et mox *ἔγγυον*.

νερὰν περιέστησαν μοναρχίαν. αἰτίαι δι' ἃς ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος ἐχθροὶ ἀλλήλων ἐγένοντο. ὅτι πολλὰ τοῦ Ἀντωνίου ὁ Καῖσαρ παρὰ Ῥωμαίοις κατηγόρησε. καὶ ὅτι τὰς διαθήκας τοῦ Ἀντωνίου λαβὼν δημοσίᾳ ἀνέγνω καὶ ἐξέμηνε κατ' ἐκείνου πάντας.[1]) *ὅπως ἡ Κλεοπάτρα τὸν Ἀντώνιον ἐδουλώσατο ἢ ἐκ γοητειῶν ἢ ἐξ ἔρωτος. ὅτι ἡτοιμάζοντο εἰς τὸν κατ' ἀλλήλων πόλεμον ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος, καὶ περὶ σημείων τότε συμβάντων.*

29. *Περὶ τοῦ καλουμένου Γλυκέος λιμένος. συνέλευσις Ἀντωνίου καὶ Καίσαρος. ναυμαχία καὶ νίκη τῶν τοῦ Καίσαρος. ὅτι ἡ Κλεοπάτρα ἀπᾶραι εἰς Αἴγυπτον συνεβούλευσε τῷ Ἀντωνίῳ. ναυμαχία τῶν τοῦ Καίσαρος καὶ τοῦ*[2]) *Ἀντωνίου καὶ τῆς Κλεοπάτρας ἔκπλους καὶ Ἀντωνίου αὐτῇ ἀκολούθησις. ἧττα παντελὴς τοῦ ναυτικοῦ Ἀντωνίου.*

30. *Ὅτι μετὰ τὴν ἧτταν τοῦ Ἀντωνίου μόναρχος ὁ Καῖσαρ ἐλογίζετο. περὶ Νικοπόλεως καὶ περὶ τοῦ φάσματος ὃ πρὸ τῆς ναυμαχίας ἐφάνη τῷ Καίσαρι. ὅτι ἡ Κλεοπάτρα εἰς Αἴγυπτον γενομένη παρεσκευάζετο εἰς πόλεμον σὺν τῷ Ἀντωνίῳ. ὅσα ὁ Καῖσαρ τῇ Κλεοπάτρᾳ ἐμήνυσε. μάχη τῶν τοῦ Καίσαρος καὶ τοῦ Ἀντωνίου. ὅτι ἑαυτὸν ἀπέκτεινεν ὁ Ἀντώνιος καὶ ὅσα ἡ Κλεοπάτρα ἐποίησεν ἐκείνου θανόντος.*

31. *Ὅπως ἐξωγρήθη ἡ Κλεοπάτρα. ὅτι ἀπῆλθε πρὸς τὴν Κλεοπάτραν ὁ Καῖσαρ καὶ ὅτι ἠπάτησεν αὐτὸν ἐκείνη ὡς φιλοψυχοῦσα καὶ ὅπως ἀπέθανεν ἀσπίδος, ὡς εἰκάσθη, δήγματι ἢ ἄλλῳ τινὶ φαρμάκῳ.*

---

1) *ὅτι πολλὰ — παντας*] addit 2) *τοῦ* pro *τῶν*, ut 30.

κνῆστις ἡ μάχαιρα. ὅτι ὁ Καῖσαρ τὸν τοῦ Ἀλεξάνδρου εἶδε νεκρόν. ὅπως διετέθησαν οἱ Ῥωμαῖοι πρὸς τὸν Καίσαρα ἐπανελθόντα εἰς Ῥώμην.

32. *Ὅσα τότε οἱ Ῥωμαῖοι ἐνίκησαν ἔθνη. ὅτι ἔκτοτε μοναρχεῖσθαι ἤρξαντο οἱ Ῥωμαῖοι. ὅσα τοῖς ἐν τῇ Ῥώμῃ ὁ Καῖσαρ ἐποίησεν. ὅτι ἐσκήπτετο ὁ Καῖσαρ παραιτεῖσθαι τὴν μοναρχίαν. οἱ δὲ τῆς βουλῆς τὴν σκῆψιν γινώσκοντες ἐβίαζον δῆθεν αὐτὸν μοναρχεῖν. ὅτι ἐπὶ δέκα ἔτη τὴν ἀρχὴν ἔλεγε καταδέχεσθαι ὁ Καῖσαρ. καὶ παρελθούσης δ' αὐτῆς αὖθις ἦρχεν εἰς τὸ ἑξῆς. τί δηλοῖ τὸ Αὔγουστος. ὅθεν ἡ κατοικία τῶν αὐτοκρατόρων ὠνομάσθη Παλάτιον.*

33. *Ὅπως ἦρχεν ὁ Καῖσαρ. ὅτι ἐνόσησεν ὁ Αὔ-* PII344
γουστος καὶ ὅπως ἀνερρώσθη. ὅτι δικτάτωρ ὁ Καῖσαρ ψηφισθεὶς τὴν κλῆσιν παρῃτήσατο.

34. *Ὅτι τὸν Ἀγρίππαν ὁ Καῖσαρ τῇ ἰδίᾳ θυγατρὶ τῇ Ἰουλίᾳ συνῴκισεν. ὅσα ὁ Καῖσαρ ὁ Αὔγουστος ἐποίησε διαφόροις ἔθνεσι. περὶ νόμων.*[1]) *θάνατος Ἀγρίππα. οἷος ἦν ὁ Ἀγρίππας. ὅπως ὁ Καῖσαρ ᾠκειώσατο τὸν Τιβέριον. περὶ φάσματος. τελευτὴ τοῦ Δρούσου.*[2]).

35. *Περὶ τῶν ἐγγόνων τοῦ Καίσαρος.*

36. *Ὅπως οἱ τοῦ Καίσαρος ἐτελεύτησαν ἔγγονοι. ὁπόσαι*[3]) *δραχμαὶ ποιοῦσι νόμισμα. ὅτι υἱοθετήσατο τὸν Τιβέριον ὁ Καῖσαρ καὶ τὸν Γερμανικόν. ὅσα ἡ Λιβία περὶ τῶν ἐπιβουλευσάντων τῷ Αὐγούστῳ συνεβούλευσεν.*

37. *Ὅτι ὁ Τιβέριος κατὰ τῶν Παννονικῶν ἐστάλη ἐθνῶν. ὅτι ἐνίκησαν οἱ Ῥωμαῖοι καὶ τοὺς Παννο-*

---

1) *περὶ νόμων*] addit 2) *τελευτὴ τοῦ Δρούσου*] addit
3) *ὁπόσαι*] *αἱπόσαι* sic.

νίους καὶ τοὺς Δαλμάτας. ὅσα ἐν τῇ Κελτικῇ οἱ Ῥωμαῖοι ἔπαθον τῶν βαρβάρων ἐπιθεμένων αὐτοῖς.

38. *Περὶ τοῦ τέλους τοῦ Αὐγούστου Καίσαρος. ὅτι ἀρχαῖόν ἐστι τὸ τὰς σφραγῖδας τῶν διαθηκῶν τοὺς σφραγίσαντας ἐπισκέπτεσθαι. οἷος ἦν ὁ Αὔγουστος Καῖσαρ. περὶ Ἀθηνοδώρου ἀνδρὸς σοφοῦ.*

39. *Πότε ἐτέχθη ἐνανθρωπήσας ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστός.*

1. *Ὅτι ἀπέκτεινε τὸν ἔγγονον τοῦ Αὐγούστου*[1] *Ἀγρίππαν. ὅτι οἱ ἐν τῇ Γερμανίᾳ στρατιῶται τὸν Γερμανικὸν ὠνόμασαν αὐτοκράτορα, ὁ δὲ λαβεῖν τὴν ἀρχὴν οὐκ ἠθέλησεν. οἷος ἦν ὁ Τιβέριος μέχρις ὁ Γερμανικὸς περιῆν.*

2. *Περὶ Κλήμεντος τοῦ δούλου τοῦ Ἀγρίππου. τελευτὴ τοῦ Γερμανικοῦ καὶ οἷος ἦν. ὅτι τοῦ Γερμανικοῦ τελευτήσαντος ὁ Τιβέριος ἐπὶ τὸ χεῖρον ἠλλοίωτο. ὅπως ὁ Δροῦσος ἀπώλετο. τελευτὴ τῆς Λιβίας. καὶ ὅπως ὁ Τιβέριος πρὸς αὐτὴν διετέθη καὶ ὅτι ἡ βουλὴ αὐτὴν ἐτίμησε καὶ οἵα ἦν ἐκείνη. περὶ Σειανοῦ*[2] *καὶ ὅπως ἀπώλετο.*

3. *Ὅτι καὶ ἀσελγὴς ἦν ὁ Τιβέριος. τελευτὴ Τιβερίου*[3] *Καίσαρος. ὅπως διέκειτο περὶ τοὺς χριστιανοὺς ὁ Τιβέριος.*

4. *Ὅσα καὶ ὅπως ἀνήλισκεν ὁ Γάιος. ὅτι καὶ ἀσελγέστατος ὁ Γάιος ἦν. ὅτι καὶ ἄστατον ἦθος εἶχεν. ὅτι ἐθέου ἑαυτόν.*

5. *Περὶ Κλαυδίου τοῦ ὕστερον βασιλεύσαντος. ὅτι καί τινα καλὰ ὁ Γάιος ἔπραξεν. ὅπως συνέλεγεν ὁ Γάιος χρήματα. ὅτι καὶ ῥήτωρ δοκεῖν εἶναι ἤθελε δεινότατος ὁ Γάιος.*

---

1) *τὸν* ante *Ἀγρ.* om. 2) *Σειανοῦ*] *σιανοῦ* 3) *τιβερίου* pro *τοῦ Τιβερίου.*

6. Ὅτι καὶ φόνους πολλοὺς ἀκρίτως ἐποίει. περὶ ἐπιβουλῆς κατὰ Γαΐου γενομένης. περὶ Πρωτογένους καὶ τῶν αὐτοῦ βίβλων.

7. Οἵαν ἐμάνη μανίαν ὁ Γάιος. περὶ τῆς τοῦ Γαλάτου ἐλευθερίας καὶ παρρησίας. ὅτι αὐτὸν ὁ Λούκιος εὐφυῶς παρελογίσατο. ὅτι ἀπῄτει ὁ Γάιος ναοὺς αὐτῷ ἀνεγείρεσθαι ὡς θεῷ καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν οἰκεῖον ὠνόμαζε. περὶ τοῦ Πιλάτου. ἐπιβουλὴ κατὰ Γαΐου. ἀναίρεσις Γαΐου. ὅρα ζῆλον καὶ παρρησίαν ἀνδρός.

8. Οἷος ἦν τὰ ἤθη ὁ Κλαύδιος. ὅτι τοὺς ἀπεκτονότας τὸν Γάιον ἐκόλασε, καὶ ἃ δεόντως ἐποίησεν. ὅτι οὐδὲ φιλοχρήματος ὁ Κλαύδιος ἦν. ὅτι ἀφθονίαν σίτου προμηθούμενος τοῖς Ῥωμαίοις λιμένας ἐποίει ὁ Κλαύδιος. ὅτι μετριόφρων ἦν.

9. Ὅτι φονικὸς ἐγένετο. ἐπιβουλὴ κατὰ Κλαυδίου. εὔστοχος ἀπόκρισις, καθαπτομένη τοῦ ἐρωτήσαντος. Ἀρρείας[1]) γυναικὸς καὶ ἔργον καὶ λόγος. οἷα ἐποίουν οἱ τοῦ Κλαυδίου ἀπελεύθεροι καὶ ἡ γυνή. στρατεία Κλαυδίου κατὰ Βρεττανῶν καὶ νίκη. περὶ τῆς ἀκολασίας τῆς Μεσσαλίνης.

10. Ὃ καὶ νῦν ὁ λογοθέτης τοῦ δρόμου περιζώννυται.[2]) καὶ αὖθις περὶ τῆς ἀκολασίας τῆς Μεσσαλίνης καὶ ὅπως ἐφθάρη. ὅτι τὴν[3]) Ἀγριππῖναν ὁ Κλαύδιος ἔγημεν ἀδελφιδῆν αὐτοῦ οὖσαν ψηφίσματος παρὰ τῆς βουλῆς γενομένου ἐξεῖναι ἀδελφιδᾶς[4]) καὶ Ῥωμαίοις γαμεῖν. οἵα ἦν ἡ Ἀγριππῖνα. ὅτι Αὐγοῦσταν τὴν Ἀγριππῖναν ὁ Κλαύδιος ὠνόμασε καὶ τὸν υἱὸν αὐτῆς εἰσεποιήσατο.

---

1) Ἀρρείας] ἀνδρείας, etsi in textu est ἀρρείας 2) Haec pertinent ad ἐγχειρίδιον in textu 3) τὴν] addit 4) ἀδελφιδῆν] -δῆν et -δάς.

11. *Αἰτίαι δι' ἃς ἐπεβούλευσε τῷ Κλαυδίῳ ἡ*
PII345 *Ἀγριππῖνα. τελευτὴ Κλαυδίου. ἔργον ἀξιέπαινον. περὶ σημείων. περὶ Θευδᾶ καὶ Σίμωνος τοῦ μάγου. περὶ τοῦ ἀποστόλου Πέτρου καὶ ὅπως τὸ κατὰ Μάρκον εὐαγγέλιον ἐξεδόθη. ὅτι ἡ Ἀγριππῖνα τὴν διοίκησιν ἐποιεῖτο τῶν κοινῶν.*[1])

12. *Ὅτι καὶ πολυδάπανος ἦν ὁ Νέρων. ὅτι φαρμάκῳ ἔκτεινε τὸν Βρεττανικὸν ὁ Νέρων. ὅτι καὶ τὴν μητέρα αὐτοῦ ὁ Νέρων ἀπέκτεινεν. ὅτι καὶ τὴν γυναῖκα αὐτοῦ ἀπεπέμψατο, εἶτα καὶ ἀνεῖλεν. ὅσα ἐποίει ὁ Νέρων ἐκπλήκτως καὶ μιαρῶς.*

13. *Ὅτι πρῶτος ὁ Νέρων τοῦ κατὰ χριστιανῶν ἤρξατο διωγμοῦ καὶ ὅτι τοὺς ἀποστόλους ἀπέκτεινε Πέτρον καὶ Παῦλον, καὶ περὶ ἀρχιερέων τῆς Ῥώμης. ἀποστασία κατὰ Νέρωνος. ἀναίρεσις Νέρωνος.*

14. *Ὅτι υἱοθετήσατο ὁ Γάλβας τὸν Πείσωνα καὶ ὁ Ὄθων ἐπεβούλευσε τῷ Γάλβᾳ. ἀναίρεσις Γάλβου.*

15. *Περὶ τοῦ Ψευδονέρωνος. ὅτι οἱ τοῦ Ὄθωνος τῷ Οὐιτελίῳ προσβαλόντες ἡττήθησαν. ὅτι οἱ τοῦ Ὄθωνος καὶ πάλιν ἡττήθησαν. ἀνάρρησις Οὐιτελίου Καίσαρος.*[2])

16. *Οἷος ἦν Οὐιτέλιος. ὅπως Οὐεσπασιανὸς*[3]) *ἐπανέστη. Οὐεσπασιανοῦ Καίσαρος ἀναγόρευσις. ὅθεν ὁ Ἰώσηπος προεῖπε τῷ Οὐεσπασιανῷ ὡς ἄρξει. ὅπως καὶ παρὰ τίνων ὁ Οὐιτέλιος ἀνῃρέθη.*

17. *Ὅτι ὁ Οὐεσπασιανὸς αὐτοκράτωρ καὶ παρὰ τῆς βουλῆς ἀνερρήθη, καὶ ὅτι ὁ Μουκιανὸς διοικῶν ἦν τὰ πράγματα. ὅσα ὁ Οὐεσπασιανὸς ἐν Ἀλεξανδρείᾳ καὶ ἀλλαχοῦ ἐποίησεν. ὅσα ἐν τῇ Ῥώμῃ γε-*

---

1) *ὅτι ἡ — κοινῶν*] addit 2) *ἀνάρρησις — Καίσαρος*] addit 3) *οὐεσπεσιανὸς* et mox *οὐεσπεσιανοῦ* et sic porro.

νόμενος ἐποίει. ὅτι ἐθριάμβευσαν ἐπὶ τῇ ἁλώσει τῆς Ἱερουσαλὴμ Οὐεσπασιανὸς καὶ οἱ παῖδες αὐτοῦ. τελευτὴ Οὐεσπασιανοῦ. οἷος ἦν ὁ Τίτος.[1])

18. *Περὶ τοῦ Ψευδονέρωνος. περὶ τοῦ Βεσβίου ὄρους καὶ τοῦ ἐξ αὐτοῦ ἀναδιδομένου πυρὸς καὶ τῶν ἐν αὐτῷ γενομένων ἐπὶ Τίτου. οἵους ἀγῶνας ὁ Τίτος ἐποίησεν. περὶ ἀρχιερέων τῆς Ῥώμης. τελευτὴ Τίτου.*

19. *Οἷος ἦν ὁ Δομετιανός. ὅτι καὶ θεὸς ἤθελε νομίζεσθαι. ὅτι ἀναριθμήτους ἐκόλασεν. ὅτι ἐμισήθη παρὰ πάντων ὁ Δομετιανὸς καὶ ἐπεβουλεύθη. περὶ τῶν προειπόντων τὸν ὄλεθρον αὐτοῦ. ἀναίρεσις Δομετιανοῦ. ὅτι Ἀπολλώνιος ὁ Τυανεὺς ἐν Ἐφέσῳ ὢν ἔγνω τὴν τοῦ Δομετιανοῦ σφαγήν. περὶ ἀρχιερέων. ὅτι καὶ ὁ Δομετιανὸς διωγμὸν ἐκίνησε κατὰ χριστιανῶν καὶ τὸν θεολόγον Ἰωάννην περιώρισεν ἐν Πάτμῳ. περὶ τῶν ἐκ γένους Δαβὶδ τοῦ κυρίου συγγενῶν.*

20. *Ὅτι ἐπανῆλθεν ὁ θεολόγος ἀπὸ τῆς ὑπερορίας. περὶ πατριαρχῶν. ὅτι τὸν Τραιανὸν υἱοθετήσατο καὶ Καίσαρα ἀνεῖπεν ὁ Νερούας.*

21. *Οἷος ἦν ὁ Τραιανὸς τοὺς τρόπους. ὅτι ἐπολέμησε τοὺς Δακοὺς καὶ ἐνίκησεν. εἶτα καταθεμένοις τὰ ὅπλα ἐσπείσατο αὐτοῖς. ὅτι οὐκ ἐνέμειναν οἱ Δακοὶ ταῖς ὁμολογίαις αὐτῶν καὶ ὅτι στρατεύσαντος αὖθις κατὰ τοῦ Τραιανοῦ ἐπεχείρησαν δόλῳ αὐτὸν ἀνελεῖν, ἐγνώσθησαν δέ, καὶ ἡττηθέντες ὑπετάγησαν Ῥωμαίοις. ὅπως ὁ βασιλεὺς τῶν Δακῶν τοὺς θησαυροὺς αὐτοῦ ἔκρυψεν. ὅπως τοῖς φίλοις ἐπίστευεν ὁ Τραιανός. ὅτι τῆς Ἀρμενίας ἐκράτησεν ὁ Τραιανός.*

---

1) *οἷος — Τίτος*] addit.

22. *Ὅσα Ῥωμαίοις ὑπέταξε κατὰ Πάρθων στρατεύσας καὶ ὅθεν ἔσχε τὴν ἐπωνυμίαν ἡ Ἐρυθρὰ θάλασσα. περὶ Ἰουδαίων. περὶ πατριαρχῶν.*

23. *Οἷος ἦν ὁ Ἀδριανός. ὅτι χρεοκοπίαν ὁ Ἀδριανὸς ἐκήρυξεν. ὅτι ἐν Παλαιστίνῃ πόλιν ἀντὶ τῆς Ἱερουσαλὴμ ὁ Ἀδριανὸς ᾠκοδόμησεν, Αἰλίαν καλέσας αὐτήν. περὶ τῆς κατ'*[1] *Ἀδριανοῦ τῶν Ἰουδαίων ἐπαναστάσεως.*

24. *Περὶ Ἀλβανῶν καὶ ὅτι Μασσαγέται εἰσίν. περὶ Σευηριανοῦ. οἷος ὁ Τούρβων ἦν καὶ οἷος ὁ Σίμιλις. ὅτι τὸν Ἀντωνῖνον ὁ Ἀδριανὸς προεχειρίσατο αὐτοκράτορα. τελευτὴ Ἀδριανοῦ. περὶ πατριαρχῶν. περὶ Ἰουδαίων. περὶ αἱρεσιαρχῶν. περὶ Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος.*

1. *Διὰ τί εὐσεβὴς ἐπεκλήθη ὁ Ἀντωνῖνος. νομοθεσία αὐτοῦ. τελευτὴ Ἀντωνίνου. περὶ πατριαρχῶν. περὶ Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος. ὅτι δόγμα ὁ Ἀντωνῖνος ἐξέθετο μηδένα χριστιανὸν διὰ τὴν πίστιν κολάζεσθαι.*[2]

2. *Μάρκου Ἀντωνίνου πόλεμοι*[3] *πρὸς διάφορα ἔθνη. περὶ τοῦ ἐντεύξεσι χριστιανῶν πρὸς τὸν θεὸν γενομένου θαύματος ἐν τῷ Ῥωμαϊκῷ στρατοπέδῳ.*

PII346 3. *Ἀποστασία κατὰ Μάρκου Ἀντωνίνου. νομοθεσία.*[4] *ὅτι ὁ βασιλεὺς οὗτος ἐν Ἀθήναις διδασκάλους ἔταξε τῶν λόγων ἐκ τοῦ δημοσίου ταμείου μισθὸν λαμβάνοντας. τελευτὴ Μάρκου Ἀντωνίνου. περὶ μάρτυρος.*[5] *περὶ πατριαρχῶν.*

4. *Οἷος ἦν τὰ ἤθη ὁ Κόμοδος. ὅτι πρὸς πολ-*

---

1) *κατ'* om. 2) *ὅτι δόγμα — κολάζεσθαι*] addit 3) *Ἀντ. πόλεμοι*] invertit 4) *νομοθεσία* pro *νομοθέτημα* per compendium 5) *τελευτὴ — μάρτυρος*] addit.

λοῖς ἄλλοις καὶ τὴν οἰκείαν γυναῖκα ἀνεῖλεν ὁ Κόμοδος. περὶ πολέμων γενομένων ἐπὶ Κομόδου. περὶ Περεννίου[1]) *καὶ ὅπως ἐξεδόθη τοῖς στρατιώταις. οἷοι ἦσαν οἱ Καισάρειοι καὶ οἷα ἐποίουν. ὅπως ὁ Κλέανδρος ὑπὸ τοῦ δήμου διέφθαρτο. ὅτι φονικώτατος ἦν ὁ Κόμοδος.*

5. *Τὰ τοῦ Κομόδου ἐπίθετα. ὅτι ἡρματηλάτει καὶ ἐμονομάχει ὁ Κόμοδος καὶ ὅτι ὠμότατος ἦν. ἡ ῥάβδος τοῦ κήρυκος. ἀναίρεσις Κομόδου. περὶ πατριαρχῶν.*

6. *Οἵου γένους ἦν ὁ Περτίναξ. ὅπως διετέθη περὶ τὰ πράγματα ὁ Περτίναξ καὶ τοὺς Ῥωμαίους. ὅτι ὁ Περτίναξ τὸν παρὰ τῶν στρατιωτῶν αὐτοκράτορα μέλλοντα γενέσθαι οὐκ ἐκόλασεν.*

7. *Στάσις τοῦ δήμου πρὸς τὸν Ἰουλιανόν. περὶ Σευήρου καὶ Νίγρου καὶ Ἀλβίνου στασιασάντων κατὰ Ἰουλιανοῦ. περὶ τοῦ εἰς Ῥώμην Ἀθηναίου τόπου καὶ ὅπως οὕτως ὠνομάσθη.*

8. *Ὅσα ὁ Σευῆρος ὑπέσχετο καὶ οὐκ ἐπλήρωσε ταῦτα. οἷα πρὸ*[2]) *τῆς βασιλείας σημεῖα τῷ Σευήρῳ ἐγένοντο τὴν ἀρχὴν αὐτῷ προσημαίνοντα. ὅτι τῷ Νίγρῳ πολεμήσας ἐνίκησε καὶ Νίγρος ἀνῃρέθη. περὶ τοῦ Βυζαντίου ὅτι ἐπὶ τριετίᾳ*[3]) *πολιορκούμενον ἑάλω. ὅτι Πειρινθίοις ὁ Σευῆρος ὑπέθετο τὸ Βυζάντιον.*

9. *Πόλεμοι Ῥωμαίων πρὸς ἔθνη διάφορα. ὅτι πόλεμος συνερράγη τῷ Σευήρῳ καὶ τῷ Ἀλβίνῳ καὶ ὁ Ἀλβῖνος ἡττήθη. ὅτι κατὰ Πάρθων ὁ Σευῆ-*

---

1) *περεννίου*] *περρενίου* 2) *πρὸς* in *πρὸ* mutat 3) *τριετίᾳ* pro *τριετίαν*. Multa autem hic et antea in ed. Ducangii corrupta et neglecta.

ρος ἐστράτευσε καὶ πόλεις εἷλεν. ὅτι πολυπράγμων ἦν ὁ Σευῆρος. περὶ τοῦ Νείλου. περὶ Πλαυτιανοῦ καὶ τῆς αὐτοῦ ἀπληστίας καὶ δυναστείας. καὶ ὅπως ἀπώλετο. περὶ τοῦ ἀρχιληστοῦ Φήλικος.[1] *ὅτι εἰς τὴν Βρεττανίαν ὁ Σευῆρος ἐστράτευσε καὶ περὶ Βρεττανῶν καὶ τῶν ἠθῶν αὐτῶν. ὅσον τὸ μῆκος καὶ τὸ πλάτος τῆς Βρεττανίας. ὅτι ὁ υἱὸς αὐτοῦ Ἀντωνῖνος ἐπεβούλευσε τῷ πατρὶ καὶ τῷ ἀδελφῷ. τελευτὴ Σευήρου.*

11. *Περὶ Ὠριγένους. τίνα εἰσὶ τὰ ἑξαπλᾶ Ὠριγένους. περὶ πατριαρχῶν.*

12. *Ὅπως ἀνεῖλε Γέταν τὸν αὐτοῦ ἀδελφὸν ὁ Ἀντωνῖνος. ὅτι καὶ ἄπιστος ἦν. ὅθεν ὠνομάσθη Καράκαλος. ἀναίρεσις Ἀντωνίνου.*

13. *Περὶ Ἰουλίας τῆς μητρὸς Ἀντωνίνου καὶ ὅπως ἐτελεύτησεν. ἐπιβουλὴ κατὰ Μακρίνου. ἀναίρεσις Μακρίνου.*

14. *Ὅτι οὐ μόνον ἦν ἀσελγέστατος, ἀλλὰ καὶ ἀσεβέστατος καὶ πρὸς τὴν ἑαυτοῦ θρησκείαν. οἷα ὁ Ψευδαντωνῖνος ἐποίει πᾶσαν ἀσέλγειαν ὑπερβάλλοντα. ὅτι τὸν ἐξάδελφον αὐτοῦ Βασιανὸν υἱοθετήσατο, Ἀλέξανδρον μετονομάσας αὐτόν. ἀναίρεσις τοῦ Ψευδαντωνίνου. περὶ πατριαρχῶν.*

15. *Περὶ στάσεων μέσον τοῦ δήμου καὶ τῶν στρατιωτῶν γενομένων. ὅπως ὁ Ἀλέξανδρος ὑπετάσσετο τῇ μητρί.*[2] *ὅπως τοῖς Πέρσαις αὖθις ἡ βασιλεία περιελήλυθε, καταλυθεῖσα παρὰ Ἀλεξάνδρου τοῦ Μακεδόνος. οἷα οἱ πεμφθέντες παρὰ Ἀρταξέρξου εἶπον. καὶ ὅπως αὐτοῖς ἐχρήσατο ὁ βασι-*

---

1) Φήλικος] φίληκος 2) ὅπως — τῇ μητρὶ] addit.

λεὺς οὗτος καὶ ὅπως τοῖς Πέρσαις ἐπολέμησεν. ὅτι καὶ τοῖς Γερμανοῖς ἐμαχέσατο. ἀνάρρησις Μαξιμίνου. ἀναίρεσις Ἀλεξάνδρου. ὅτι ἡ Μαμαία χριστιανὴ γέγονεν. περὶ ἀρχιερέων.

16. *Αἰτία δι' ἣν ὁ Μαξιμῖνος διωγμὸν κατὰ χριστιανῶν κεκίνηκεν. ὅτι κατὰ Γερμανῶν ἐκστρατεύσας ὁ Μαξιμῖνος ἐνίκησεν. ὅτι δύο στρατηγοὺς ἢ Καίσαρας ἡ βουλὴ προεβάλετο κατὰ Μαξιμίνου. ἀναίρεσις Μαξιμίνου καὶ τοῦ υἱοῦ αὐτοῦ.*

17. *Περὶ πατριαρχῶν.*

19. *Στάσις κατὰ Φιλίππου. περὶ Δεκίου καὶ ὅπως παρὰ τῶν στρατιωτῶν ἠναγκάσθη δέξασθαι τὴν βασιλείαν. ἀναίρεσις Φιλίππου.*

20. *Περὶ μαρτύρων. περὶ πατριαρχῶν. περὶ τοῦ Ὠριγένους καὶ τῶν αὐτοῦ διαστρόφων δογμάτων. περὶ Ναυάτου. ἐπιστολὴ Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας. περὶ τῆς τοῦ Δεκίου τελευτῆς.*

21. *Ὅτι καὶ ὁ Γάλλος διωγμὸν ἐπήγειρε κατὰ χριστιανῶν. ἐθνῶν κινήσεις καὶ χωρῶν πλείστων καταδρομαὶ καὶ φθορὰ πολυπληθὴς ἐκ λοιμοῦ. ὅπως Αἰμιλιανὸς τὴν αὐταρχίαν ἥρπασεν. ἀναίρεσις Γάλλου.*

22. *Ἀναίρεσις Αἰμιλιανοῦ. περὶ πατριαρχῶν.*

23. *Ὅτι ὑπὸ Περσῶν ἐλήφθη Οὐαλεριανός.*[1]) *ὅτι εἷλον οἱ Πέρσαι πόλεις πολλὰς καὶ πλῆθος αἰχ*- PII347 *μαλώτων, καὶ ὅπως αὐτοῖς ἐκέχρηντο. ὅπως ἑάλω ἡ Καισάρεια. ὅτι ἐπέθεντο τοῖς Πέρσαις Ῥωμαῖοι ἀθρόον καὶ πολλοὺς αὐτῶν ἀνεῖλον καὶ παλλακὰς τοῦ Σαπώρου εἷλον. περὶ πατριαρχῶν.*

24. *Ὅσοις ἔθνεσιν ἐπολέμησεν. περὶ Αὐριόλου*

1) *Οὐαλεριανὸς*] *οὐαλλεριανός.*

καὶ περὶ Ἰγγενούου τυραννίδι ἐπιχειρήσαντος. περὶ τῆς ἐπαναστάσεως Ποστούμου. μάχη πρὸς Ποστοῦμον καὶ ἧττα αὐτοῦ. ὅτι ἐτυράννησεν ὁ Μακρῖνος. ὅτι τὸν Αὐρίολον ἔπεμψε κατὰ Μακρίνου ὁ Γαλιῆνος,[1]) *καὶ ὅπως οἱ τοῦ Μακρίνου τῷ βασιλεῖ προσεχώρησαν. ἀναίρεσις Μακρίνου καὶ Μακριανοῦ. ἧττα*[2]) *Κυΐντου καὶ ἀναίρεσις. ὅπως ὁ Ὠδέναθος ἀνηρέθη.*

25. *Ὅτι καὶ ὁ Αὐρίολος τυραννίδι ἐπικεχείρηκεν. ὅτι μικροῦ ἑάλω ἂν τοῦ βασιλέως ἡ γαμετή. ἑτέρα ἐπιβουλὴ κατὰ Γαλιήνου καὶ ἀναίρεσις αὐτοῦ. οἷος ἦν τοὺς τρόπους ὁ Γαλιῆνος. περὶ πατριαρχῶν.*

26. *Περὶ Θεσσαλονίκης. ὅτι καὶ ὁ Κυντιλιανὸς παρὰ τῆς συγκλήτου βασιλεὺς ἀνερρήθη.*

27. *Ὅτι οὗτος διωγμὸν κατὰ χριστιανῶν ἐγεῖραι ἐμελέτα. ὅσα ὁ βασιλεὺς οὗτος ἐστρατήγησεν. ἀναίρεσις Αὐρηλιανοῦ.*

28. *Πόλεμοι κατὰ Σκυθῶν. ἀναίρεσις Τακίτου.*

29. *Ἀναίρεσις Φλωριανοῦ. μοναρχία Πρόβου*[3]). *ἀποστασίαι*[4]) *κατὰ Πρόβου. Κάρου ἐπανάστασις.*

30. *Ἐκστρατεία τοῦ Κάρου κατὰ Περσῶν καὶ νίκη καὶ κατὰ Σαρματῶν. τελευτὴ Κάρου. αὐταρχία Νουμεριανοῦ τοῦ υἱοῦ αὐτοῦ καὶ ἀναίρεσις. περὶ τοῦ αἱρεσιάρχου Μάνεντος. περὶ πατριαρχῶν.*

31. *Ὅτι Μαξιμιανὸν τὸν Ἑρκούλιον ὁ Διοκλητιανὸς κοινωνὸν προσειλήφει τῆς βασιλείας, καὶ περὶ τοῦ διωγμοῦ, ὃν οὗτοι ἐποίησαν. ὅτι πόλεών τινων ἀποστασῶν ὁ Διοκλητιανὸς αὖθις ταύτας ὑπέταξεν. ὅτι τοὺς γαμβροὺς αὐτῶν καὶ ἄμφω*[5]) *οἱ βασιλεῖς*

---

1) *Γαλιῆνος*] *γαλιῖνος*, ut infra 2) *ἧττα*] *ἧττα καὶ* 3) *μοναρχία πρόβου*] addit 4) *ἀποστασίαι* pro *ἀποστασία* 5) *ἄμφω* pro *ἄμφοι*.

Καίσαρας πεποιήκασιν. ὅτι τοῖς Ἀλαμανοῖς[1]) *ὁ Κώνστας μαχεσάμενος ἐν μιᾷ ἡμέρᾳ καὶ ἡττήθη καὶ νενίκηκε. ὅτι Ναρσοῦ τοῦ Περσῶν βασιλέως ληηλατοῦντος τοὺς ὑπηκόους Ῥώμης ὁ Γαλλέριος αὐτῷ ἐπολέμησεν, καὶ πρῶτον μὲν ἡττήθη, εἶτα δὲ περιφανῆ ἐνίκησε νίκην. ὅτι ὑπερφρονήσας ὁ Διοκλητιανὸς προσκυνεῖσθαι ἀπήτησε καὶ λίθους καὶ μαργάρους ἑαυτῷ περιέθετο.*

32. *Ὅπως ἀποθέμενοι τὴν ἀρχὴν καὶ ἄμφω οὗτοι οἱ τύραννοι ἰδιώτευσαν. ὅτι ἐπὶ τῇ νίκῃ τῇ κατὰ Περσῶν ἐθριάμβευσαν. ὅθεν ἐκλήθη θρίαμβος. ὅτι οἱ Καίσαρες γεγόνασιν αὐτοκράτορες, καὶ ἐν τῇ Ῥώμῃ παρὰ τῶν στρατιωτῶν βασιλεὺς ἀνερρήθη Μαξέντιος. οἷος ἦν ἕκαστος τοὺς τρόπους τῶν βασιλέων τούτων.*

33. *Περὶ γυναικὸς κοσμίας διὰ σωφροσύνην ἑαυτὴν διαχειρισαμένης. περὶ τῆς τελευτῆς Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. τελευτὴ Κώνσταντος. ἀνάρρησις τοῦ μεγάλου Κωνσταντίνου. ὅτι ἐξ ἀποκαλύψεως ὁ Κώνστας τὸν μέγαν Κωνσταντῖνον ἐβασίλευσεν. ὅτι ὁμηρεύων παρὰ Γαλλερίῳ ὁ Κωνσταντῖνος ἐπεβουλεύετο παρ' ἐκείνου.*

34. *Τελευτὴ Μαξιμίνου. περὶ πατριαρχῶν.*

1. *Περὶ τῆς ἁγίας Ἑλένης. ἐκστρατεία τοῦ μεγάλου Κωνσταντίνου κατὰ Μαξεντίου. περὶ τοῦ φανέντος τῷ μεγάλῳ Κωνσταντίνῳ δι' ἀστέρων σταυροῦ, καὶ ὅπως ἀπώλετο ὁ Μαξέντιος. ὅτι καὶ τῆς Ῥώμης καὶ τῆς Ἰταλίας ἐκράτησεν ὁ μέγας Κωνσταντῖνος. ὅτι κατὰ Λικινίου*[2]) *ἐκστρατεύσας ὁ μέγας Κωνσταντῖνος ἐνίκησεν· εἰς δὲ Θεσσαλονίκην*

1) *Ἀλαμανοῖς*] *ἀλμανοῖς* ut W. 2) *Λικινίου*] *λικιννίου.*

αὐτὸν περιώρισεν, ἔνθα καὶ ἀνῃρέθη. περὶ ὀπτασιῶν τῷ μεγάλῳ Κωνσταντίνῳ φανεισῶν.

2. *Ὅτι λελώβητο τὸ σῶμα οὗτος ὁ βασιλεύς, καὶ ὅπως παίδων αἵματι λούσασθαι προτραπεὶς οὐκ ἠθέλησεν. ὅτι οἱ κορυφαῖοι τῶν ἀποστόλων ὄναρ τῷ βασιλεῖ ἐφάνησαν, καὶ ὑπέθεντο τρόπον, δι' οὗ ἰαθήσεται· καὶ ὡς βαπτισθεὶς ἰάθη καὶ τὰ εἰδωλεῖα ἀπέκλεισεν. περὶ τῶν Ἰουδαίων καὶ τῆς πρὸς αὐτοὺς διαλέξεως τοῦ ἁγίου Σιλβέστρου καὶ τοῦ ἐπὶ τῷ ταύρῳ θαύματος. περὶ τῆς εὑρέσεως τοῦ θείου σταυροῦ. περὶ τῶν παίδων τοῦ μεγάλου Κωνσταντίνου, καὶ ὅπως ἀνεῖλε τὸν υἱὸν αὐτοῦ Κρίσπον διαβολῇ τῆς μητρός, εἶτα κἀκείνην. ὅτι τοὺς Σαρμάτας καὶ τοὺς Γότθους ἐνίκησεν.*

3. *Περὶ τῆς κτίσεως Κωνσταντινουπόλεως καὶ* PII3480 *οἷον ἦν τὸ Βυζάντιον. περὶ τοῦ ἐπὶ τῷ γενεθλίῳ τῆς πόλεως γενομένου θεματίου. περὶ τοῦ Βυζαντίου καὶ ὅσα ὁ Δίων περὶ αὐτοῦ ἱστορεῖ. περὶ τοῦ ἐν τῷ Πλακωτῷ κίονος καὶ τοῦ ἐν αὐτῷ ἀγάλματος. περὶ τοῦ πατριαρχικοῦ θρόνου τῆς νέας Ῥώμης. περὶ τοῦ ἁγίου Μητροφάνους.*

4. *Περὶ Ἀρείου καὶ τῆς κακοδοξίας αὐτοῦ. περὶ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου. περὶ Εὐσεβίου τοῦ Παμφίλου. περὶ τοῦ ἁγίου συμβόλου. ὅπως ἐτίμησε τοὺς ἁγίους πατέρας ὁ βασιλεύς. ὅτι τοῦ ἁγίου Μητροφάνους θανόντος ὁ θεῖος Ἀλέξανδρος γέγονε πατριάρχης. τελευτὴ τῆς ἁγίας Ἑλένης. τελευτὴ τοῦ μεγάλου Κωνσταντίνου. οἷος ἦν τὰ ἤθη ὁ θεῖος οὑτοσὶ αὐτοκράτωρ.*

5. *Ὅπως ἡ βασιλεία Ῥωμαίων εἰς τοὺς τρεῖς ἐμερίσθη παῖδας τοῦ μεγάλου Κωνσταντίνου. Κοττίαι ὠνομάσθησαν ἀπὸ Κοττίου βασιλέως τῶν τό-*

πων τούτων γενομένου. ὅτι ὁ Κωνσταντῖνος ἐπελθὼν τῷ τοῦ Κώνσταντος λάχει ἡττήθη καὶ ἀνῃρέθη. ὅτι ὁ Κώνστας καὶ τῆς ἀδελφικῆς ἐκράτησε μοίρας καὶ ὑπὸ Μαγνεντίου ἀνῃρέθη. περὶ τῆς πρὸς Πέρσας μάχης τοῦ Κωνσταντίου, καὶ περὶ Ὁρμίσδου τοῦ Πέρσου.

6. *Ὅπως ὁ Μαγνέντιος τυραννίδι ἐπικεχείρηκεν. ἀναίρεσις Κώνσταντος. ὅτι πολλοὺς τῶν ἀξιολογωτέρων ἀπώλεσεν ὁ Μαγνέντιος.*

7. *Ὅτι Σαπώρης ὁ Περσῶν βασιλεὺς τῇ Ῥωμαίων χώρᾳ ἐπέθετο καὶ Νίσιβιν πολιορκήσας ἄπρακτος ἀνεχώρησεν. ὅτι καὶ Βετρανίων*[1]) *τυραννίδι ἐπικεχείρηκεν. ὄναρ τῷ Κωνσταντίῳ ὀφθέν. ὅτι προσῆλθεν ὁ Βετρανίων τῷ Κωνσταντίῳ. περὶ Γάλλου.*[2])

8. *Περὶ Μαγνεντίου τυραννήσαντος καὶ συμβαλόντος τῷ Κωνσταντίῳ καὶ*[3]) *ἡττηθέντος. ὅτι ἡττηθεὶς ὁ Μαγνέντιος ἔφυγεν. ὅτι καὶ αὖθις πρὸς πόλεμον ὁ Μαγνέντιος ἡτοιμάζετο. ὅτι ἐπεβούλευσεν ὁ Μαγνέντιος τῷ Γάλλῳ. περὶ τοῦ Ὀρόντου ποταμοῦ. ὅπως ἐγνώσθη ἡ κατὰ Γάλλου ἐπιβουλή.*

9. *Ὅτι καὶ αὖθις ἡττήθη ὁ Μαγνέντιος καὶ ἑαυτὸν διεχρήσατο. ὅτι μόναρχος ὁ Κωνστάντιος κατέστη καὶ ὁλοκλήρου τῆς ἀρχῆς γέγονεν ἐγκρατής. ὅπως ὁ Γάλλος ὑπερεφρόνησε καὶ τοὺς συγκλητικοὺς ἀνεῖλεν ἄνδρας, καὶ αὐτῆς*[4]) *τοῦ Καίσαρος ἀξίας ἐξέπεσε καὶ τῆς ζωῆς ἐστερήθη ἀναιρεθείς. ἀποστασία Σιλβανοῦ καὶ ἀναίρεσις. ὅσα ὁ Σαπώρης τῷ Κωνσταντίῳ ἐπέστειλε καὶ ὅσα ὁ Κωνστάντιος αὖθις ἐκείνῳ.*

---

1) *βετρανίων* hic et infra pro *Βρετανίων* 2) *περὶ Γάλλου*] addit 3) *καὶ*] addit 4) *αὐτῆς*] *αὐτός.*

10. *Ὅτι Καίσαρα τὸν Ἰουλιανὸν ἀνεῖπε Κωνστάντιος καὶ τὴν ἀδελφὴν Ἑλένην αὐτῷ συνέζευξεν. ὅτι ἐν πολέμοις εὐτύχησεν Ἰουλιανός. ὅτι ἀπεστάτησεν Ἰουλιανὸς καὶ Αὔγουστος ὑπὸ τοῦ στρατοῦ ἀνηγορεύθη. οἷα τῷ Κωνσταντίῳ ἐπέστειλεν Ἰουλιανός. οἷα αὖθις ἐμήνυσε τῷ Ἰουλιανῷ ὁ Κωνστάντιος. οἷα πρὸς τὰ τοῦ Κωνσταντίου μηνύματα ἀντέθετο ὁ Ἰουλιανὸς καὶ ὅσα αὐτῷ ἐπέστειλεν.*

11. *Ὅτι κατὰ τοῦ Κωνσταντίου ἐπῄει ὁ τύραννος μήπω τὴν ἑαυτοῦ ἐκφήνας ἀσέβειαν. τελευτὴ Κωνσταντίου. οἷος ὁ Κωνστάντιος ἦν. περὶ τῆς Ἀρείου διαφθορᾶς. περὶ πατριαρχῶν. ὅτι ὁ Μακεδόνιος τὸ σῶμα τοῦ μεγάλου Κωνσταντίνου εἰς τὸν ναὸν τοῦ ἁγίου μετήνεγκεν Ἀκακίου, αὖθις δὲ ὁ Κωνστάντιος εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων αὐτὸ μετεκόμισεν. περὶ τῶν λειψάνων τῶν ἁγίων Ἀποστόλων Ἀνδρέου καὶ Λουκᾶ.*[1] *περὶ Εὐσεβίας τῆς γαμετῆς Κωνσταντίου.*

12. *Ὅτι ἐτίμησε τὸν τοῦ Κωνσταντίου νεκρὸν ὁ Ἰουλιανός. ὅτι λιτότητα ὁ παραβάτης μετῄει. ὅτι μετὰ τὴν μοναρχίαν φανερῶς τὰ Ἑλλήνων ἐσέβετο. ὅτι ἐκώλυσε*[2] *τοὺς χριστιανοὺς μαθημάτων μετέχειν Ἑλληνικῶν.*[3] *ὅτι ἐπέτρεψε τοῖς Ἰουδαίοις τὸν ἐν Ἱεροσολύμοις ναὸν ἀνεγεῖραι. περὶ Εὐσεβίου καὶ τῶν ἄλλων εὐνούχων. ὅτι τὸ ἐν ταῖς Δάφναις τοῦ Ἀπόλλωνος ἄγαλμα καὶ τὸν ναὸν σκηπτὸς κατέκαυσεν. περὶ τῶν ἁγίων Ἀρτεμίου καὶ Εὐγενίου καὶ Μακαρίου.*

13. *Ὅπως ὁ παραβάτης τοῖς Πέρσαις μαχόμενος*

---

1) *περὶ—Λουκᾶ* post *Κωνσταντίου* ponit 2) *ἐκώλυσε* pro *ἐκώλυε* 3) *ἑλληνικῶν*] addit.

ἀφανῶς κατὰ τῆς πλευρᾶς ἐτρώθη, καὶ θνήσκων κατὰ τοῦ Χριστοῦ ἐβλασφήμησε, καὶ οὕτως τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπηρεύξατο. οἷος ἦν τὰ ἤθη ὁ Ἰουλιανός. περὶ τοῦ ὀνείρου. περὶ σημείου δηλοῦντος τὸν τοῦ παραβάτου θάνατον.

14. *Οἵας ὁ Ἰοβιανὸς ἔθετο πρὸς Πέρσας σπονδάς. περὶ τῆς τελευτῆς Ἰοβιανοῦ. περὶ Σαλουστίου. ὅτι παρὰ πάντων βασιλεὺς ὁ*[1]) *Οὐαλεντινιανὸς ἐψηφίσθη. οἷος ἦν Ἰοβιανός.*

15. *Περὶ πατριαρχῶν. ὅτι τὸν ἀδελφὸν Οὐάλεντα κοινωνὸν τῆς βασιλείας ὁ Οὐαλεντινιανὸς προσελάβετο. περὶ Ῥοδανοῦ καὶ ὅπως τοῦτον ἀδικοῦντα ἐκόλασεν Οὐαλεντινιανός. τελευτὴ*[2]) *Οὐαλεντινιανοῦ.* PII349

16. *Περὶ τοῦ βασιλέως Οὐάλεντος καὶ τῶν κατὰ θάλασσαν ἐμπρησθέντων παρ'*[3]) *αὐτοῦ ἱερέων. περὶ τῆς ἐν Νικαίᾳ ἐκκλησίας καὶ τοῦ παρὰ τοῦ*[4]) *μεγάλου Βασιλείου γενομένου θαύματος. περὶ τῆς τελευτῆς τοῦ Οὐάλεντος καὶ τῆς περὶ ταύτης προρρήσεως τοῦ ὁσίου Ἰσαακίου. περὶ τῆς Προκοπίου τυραννίδος καὶ ἀναιρέσεως καὶ*[5]) *τῆς καθαιρέσεως τῶν τειχῶν Χαλκηδόνος. περὶ τῆς ἀλεκτορομαντείας Ἰαμβλίχου καὶ Λιβανίου.*

17. *Ὅτι τὸν νέον Οὐαλεντινιανὸν ἡ στρατιὰ βασιλέα ἀνεῖπεν. περὶ Θεοδοσίου τοῦ ἐξ Ἱσπανίας καὶ ὅπως τοὺς Σκύθας ἐνίκησεν. ἀνάρρησις Θεοδοσίου.*[6]) *τελευτὴ Γρατιανοῦ.*

18. *Ὅτι ὁ Μάξιμος τυραννίδι ἐπικεχείρηκεν ἀπανθρώπῳ κατὰ τοῦ νέου Οὐαλεντινιανοῦ, καὶ*

---

1) ὁ] addit 2) post *τελευτὴ* om. *τοῦ* 3) *παρ'* pro *παρὰ* 4) *παρὰ τοῦ*] addit 5) *ἀναιρέσεως καὶ*] addit 6) *ἀνάρρησις Θ.*] addit.

κρατηθεὶς παρὰ Θεοδοσίου ἀνῃρέθη. ὅτι ἑαυτὸν ἀνεῖλεν ὁ Οὐαλεντινιανός. ὅτι ἐστασίασε κατὰ Θεοδοσίου ὁ δῆμος τῶν Θεσσαλονικέων· ὁ δὲ ἔκτεινεν αὐτῶν ὡσεὶ πεντεκαίδεκα χιλιάδας, καὶ ὅπως ἠλέγχθη παρὰ τοῦ μεγάλου Ἀμβροσίου. ὅτι ἀνεῖλεν ὁ Θεοδόσιος τὸν τύραννον Εὐγένιον. περὶ τῆς τῶν Ἰουδαίων συναγωγῆς, ἣν ἐν τοῖς Χαλκοπρατείοις[1] *ἔκτισαν καὶ ὅπως καὶ διὰ ταύτην ὁ μέγας Ἀμβρόσιος ἐπαρρησιάσατο. περὶ τῆς ἐν Ἀντιοχείᾳ γενομένης ἀταξίας.*

19. *Περὶ τῆς δευτέρας συνόδου. περὶ τοῦ ἁγίου Ἀμφιλοχίου. ὅτι βασιλεῖς καὶ ἄμφω τοὺς υἱοὺς ἀνηγόρευσεν ὁ Θεοδόσιος καὶ περὶ τοῦ ἁγίου Ἀρσενίου. τελευτὴ τοῦ βασιλέως Θεοδοσίου.*

20. *Περὶ τοῦ Χρυσοστόμου, ὅπως γέγονε πατριάρχης καὶ ὅπως ἐξωρίσθη. τελευτὴ Εὐδοξίας. τίνες μετὰ τὸν Χρυσόστομον ἐγένοντο πατριάρχαι. τελευτὴ Ἀρκαδίου.*

21. *Περὶ τοῦ βασιλέως Ὁνωρίου. τελευτὴ Ὁνωρίου.*

22. *Περὶ τῆς ἐξ Ἀθηνῶν Εὐδοκίας, ἣ συνῴκησε τῷ Θεοδοσίῳ. περὶ τοῦ εὐνούχου Ἀντιόχου. περὶ τῶν τῆς βασιλίδος ἀδελφῶν. περὶ τοῦ εἰς τὸν παράλυτον Ἰουδαῖον θαύματος.*

23. *Περὶ πατριαρχῶν καὶ περὶ Νεστορίου καὶ τῆς αὐτοῦ αἱρέσεως. περὶ τῆς τρίτης συνόδου. περὶ τῶν ἀπολειφθέντων τῆς συνόδου ἀρχιερέων καὶ ὅσα ἐποίησαν. ὅτι εἰς Κωνσταντινούπολιν μετακληθέντες οἱ τῆς συνόδου ὡμονόησαν. περὶ πατριαρχῶν. περὶ τῆς ἀνακομιδῆς τοῦ σώματος τοῦ*

1) *Χαλκοπρατείοις*] *-ίοις.*

Χρυσοστόμου. ὅτι ὁ νέος Θεοδόσιος μετέθετο τὰ τείχη τῆς πόλεως καὶ περὶ Κύρου τοῦ ἐπάρχου.

24. *Περὶ τοῦ πατριάρχου Φλαβιανοῦ καὶ περὶ Εὐτυχοῦς τοῦ αἱρετικοῦ. ὅτι τῷ Ἀλεξανδρείας Διοσκόρῳ ἐπετράπη ἡ ζήτησις τῶν τοῦ Εὐτυχοῦς δογμάτων, καὶ ὅσα ἐκεῖνος ἐποίησεν. ὅτι τοῦ Φλαβιανοῦ θανόντος πατριάρχης κεχειροτόνητο Ἀνατόλιος. ὅτι τὴν Πουλχερίαν μετέστησε τῆς διοικήσεως ὁ Θεοδόσιος. ὅτι αὖθις τῇ ἀδελφῇ τὴν διοίκησιν ἐνεχείρισεν.*[1] *ὅπως ἡ Πουλχερία ἐβελτίου τὸν ἀδελφόν. ὅπως τὴν Αὐγοῦσταν Εὐδοκίαν ἀπέστερξεν ὁ Θεοδόσιος. τελευτὴ Θεοδοσίου. οἷος ἦν ὁ Θεοδόσιος.*

25. *Περὶ σημείων προμηνυόντων τὴν βασιλείαν τῷ Μαρκιανῷ. περὶ τῆς τετάρτης συνόδου. περὶ πατριαρχῶν. περὶ τοῦ γενομένου θαύματος παρὰ τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐπὶ τῇ κρίσει τῶν τόμων τῆς πίστεως. τελευτὴ Πουλχερίας τῆς βασιλίσσης. περὶ Οὐαλεντινιανοῦ τοῦ ἀνεψιοῦ. Ὁνωρίου τοῦ ἐν Ῥώμῃ βασιλεύσαντος. ὅπως ἑάλω παρὰ Γιζερίχου τοῦ Οὐανδήλων ῥηγὸς ἡ Ῥώμη. τελευτὴ τοῦ βασιλέως Μαρκιανοῦ.*

1. *Ὅτι τὸν υἱὸν τοῦ Ἄσπαρος ὁ Λέων ἐποίησε Καίσαρα καὶ ὅτι ὁ δῆμος ἐστασίασε διὰ τοῦτο, καὶ ὅτι ὡς ἐπιβουλεύοντας αὐτῷ ἀνεῖλεν ὁ Λέων τὸν Ἄσπαρα καὶ τὸν υἱὸν αὐτοῦ Ἀρδαβούριον. περὶ τοῦ κοιαίστωρος*[2] *Ἰσοκασίου. περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἐπὶ τῆς βασιλείας Λέοντος. περὶ τοῦ γενομένου ἐν Ἀντιοχείᾳ σεισμοῦ. ὅτι ὁ Βασιλίσκος στρατοπεδάρχης προβληθεὶς καὶ προσβαλὼν τοῖς τοῦ Γιζερίχου ἡττήθη. ὅτι ἔγγονον αὐτοῦ ὁ Λέων ἔστεψε* PII359

1) *ἐνεχείρισεν*] addit 2) *κοιαίστωρος* per *ω* pro *ο*.

διαδήματι εἰς βασιλέα. περὶ τῆς τιμίας ἐσθῆτος τῆς θεοτόκου. περὶ πατριαρχῶν. τελευτὴ Λέοντος τοῦ μεγάλου.

2. *Ὅτι οἱ παρὰ Βασιλίσκου πεμφθέντες κατὰ τοῦ Ζήνωνος αὐτῷ προσετέθησαν. ὅτι ἐπανῆλθεν ὁ Ζήνων εἰς τὰ βασίλεια καὶ ὁ Βασιλίσκος ἑάλω καὶ διεφθάρη. περὶ τοῦ ἐμπρησμοῦ, γενομένου ἐν τοῖς χρόνοις τοῦ Βασιλίσκου, ὑφ' οὗ καὶ Ὅμηρος*[1]) *ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ διεφθάρη.*[2]) *ὅτι πολλοὺς ὁ Ζήνων ἐφόνευσε βασιλεύσας τὸ δεύτερον. τελευτὴ Ζήνωνος.*

3. *Ὅθεν Δίκορος ἐκαλεῖτο ὁ Ἀναστάσιος. περὶ πατριαρχῶν. ὅτι χρεοκοπίαν ὁ Ἀναστάσιος ἔθετο, καὶ τὸν τοῦ χρυσαργύρου δασμὸν ἐξέκοψεν. ὅτι τῆς τῶν Συγχυτικῶν αἱρέσεως ὁ Ἀναστάσιος γεγονὼς τὸν πατριάρχην ἐξώρισε. περὶ Λογγίνου τοῦ ἀδελφοῦ Ζήνωνος τυραννῆσαι ἐπιχειρήσαντος, καὶ περὶ τῶν Ἰσαύρων. περὶ τοῦ πάπα τῆς Ῥώμης. περὶ τῶν Βουλγάρων. περὶ Βιταλιανοῦ τυραννήσαντος, καὶ ὅπως κατεπολεμήθη, καὶ περὶ Πρόκλου. ὅτι προσθήκην εἰς τὸ τρισάγιον βουληθέντος ποιήσασθαι τοῦ Ἀναστασίου τὸ ὀρθόδοξον τοῦ λαοῦ ἐστασίασε, καὶ ὅσα ἐποίησεν.*

4. *Περὶ Ἀλαμουνδάρου καὶ ὅπως τοὺς τοῦ Σευήρου ἐπισκόπους διέπαιξεν. περὶ τῶν Βουλγάρων, καὶ ὅπως ἥττησαν τοὺς Ῥωμαίους. περὶ πατριαρχῶν. περὶ τοῦ τῆς Τύχης τῆς πόλεως ἀγάλματος. περὶ τῶν ὀνειράτων ὧν εἶδεν ὁ Ἀναστάσιος. τελευτὴ τοῦ βασιλέως Ἀναστασίου. ὅτι ὁ Ἀναστάσιος ἔκτισε τὸ Μακρὸν τεῖχος.*

---

1) *Ὅμηρος*] om. 2) *διεφθάρη*] *ἐφθάρη*.

5. *Ὅπως ὁ Ἰουστῖνος εἰς τὴν βασιλείαν ἀνήχθη. ὅτι ἀνῃρέθη ὁ εὐνοῦχος Ἀμάντιος. ὅτι τὴν ἐν Χαλκηδόνι σύνοδον ἐκύρωσεν Ἰουστῖνος καὶ τὴν γαμετὴν ἔστεψεν, καὶ περὶ Βιταλιανοῦ. περὶ τοῦ δυσσεβοῦς Σεβήρου καὶ τοῦ μετ' αὐτὸν ἀρχιερατεύσαντος Παύλου. περὶ πατριαρχῶν. ὅτι ἐσπείσατο τοῖς Πέρσαις ὁ*[1]*) Ἰουστῖνος. ὅτι αὖθις μάχη μέσον Ῥωμαίων καὶ Περσῶν γέγονεν. περὶ Μανιχαίων. περὶ Ἀναζάρβου*[2]*) καὶ Ἐδέσης καὶ Πομπηιουπόλεως. περὶ γυναικὸς γιγαντώδους. ὅτι στρατηλάτης ὁ Ἰουστινιανὸς προεβλήθη. ὅτι νοσῶν ὁ Ἰουστῖνος ἔστεψε βασιλέα τὸν Ἰουστινιανόν. τελευτὴ Ἰουστίνου. οἷοι τοὺς τρόπους ἦσαν Ἰουστινιανὸς καὶ ἡ γυνὴ αὐτοῦ Θεοδώρα.*[3]*)*

6. *Περὶ κομήτου. περὶ τῆς γενομένης στάσεως τῶν δήμων. ὅτι Ὑπάτιόν τινα συγγενῆ τοῦ βασιλέως Ἀναστασίου οἱ δῆμοι ἀνηγόρευσαν. περὶ τῶν ἀναιρεθέντων ἐκ τοῦ δήμου ἐν τῷ θεάτρῳ. περὶ τῆς ἀνοικοδομῆς τῆς μεγάλης ἐκκλησίας. περὶ τοῦ Αὐγουστεῶνος.*[4]*) περὶ τοῦ τερατουργοῦ κυνός.*

7. *Περὶ πατριαρχῶν. περὶ τῶν Οὐανδήλων, καὶ ὅπως τῆς Λιβύης ἐκράτησαν, καὶ ἐπὶ πόσον καὶ ὅπως ἐπὶ Ἰουστινιανοῦ κατεπολεμήθησαν παρὰ τοῦ Βελισαρίου.*[5]*) ἧττα τοῦ Γελίμερος*[6]*), πολιορκία τε καὶ κατάσχεσις. οἷος ὁ θρίαμβος γέγονεν. περὶ τῆς τῶν λαφύρων πομπῆς.*

8. *Ὅτι ὁ Βελισάριος εἰς τὴν Ἰταλίαν ἐστάλη, ταύτην τε καὶ τὴν Ῥώμην ὑποτάξων τῷ βασιλεῖ*

---

1) ὁ] addit 2) *ἀναζάρβου* pro *Ἀναβάρζου* et mox *αἰδέσης* 3) *οἷοι — Θεοδώρα*] addit 4) *Αὐγουστεῶνος*] *αὐγουστίωνος* 5) *βελισαρίου* pro *Βελλισαρίου* hic et infra 6) *Γελίμερος*] *γελίβερος*.

ὑπὸ Γότθων κατεχομένην. περὶ τοῦ πατριάρχου Μηνᾶ καὶ περὶ μερικῆς συνόδου ὑπ' αὐτοῦ καὶ τοῦ[1]) *πάπα Ῥώμης Ἀγαπητοῦ συστάσης. περὶ πατριαρχῶν. περὶ τῆς πέμπτης συνόδου. ὅπως ὁ Βελισάριος τὴν Ῥώμην ἔλαβε καὶ πόλεις ἑτέρας.*

9. *Ὅτι καὶ πᾶσαν τὴν Ἰταλίαν ὑπέταξεν ὁ Βελισάριος. τελευτὴ Θεοδώρας τῆς βασιλίδος. περὶ τοῦ κήτους. ὅτι ἐν τοῖς χρόνοις Ἰουστινιανοῦ ἡ τῆς μετάξης γένεσις ἐγνώσθη τῷ βασιλεῖ καὶ τοῖς Ῥωμαίοις. περὶ ἐπιβουλῆς καὶ περὶ τοῦ Βελισαρίου. ὅτι αἱρέσει ἁλοὺς ὁ βασιλεὺς οὗτος ἐτελεύτησε.*

10. *Περὶ τῶν ναῶν καὶ τῶν ἄλλων*[2]) *τῶν παρὰ Ἰουστίνου δομηθέντων. ὅτι τὰς ὀφειλὰς τῶν τότε χρεωστούντων ἀπέτισεν ἡ Αὐγούστα Σοφία. περὶ τοῦ ἐπάρχου καὶ τοῦ ἀδικοῦντος καὶ μὴ ἀπαντήσαντος εἰς τὸ δικαστήριον. ὅτι τὰς πρὸς Πέρσας σπονδὰς ἔλυσεν Ἰουστῖνος. ἀνάρρησις Τιβερίου καὶ τελευτὴ Ἰουστίνου.*

11. *Ὅτι ἐπῆλθον Πέρσαι τῇ Ἀρμενίᾳ καὶ συμμίξαντες τοῖς Ῥωμαίοις ἡττήθησαν. ὅτι τὸ λοετρὸν τῶν Βλαχερνῶν παρὰ Τιβερίου οἰκοδομεῖσθαι ἤρξατο. περὶ Χαγάνου, ὅτι σταλεὶς κατὰ Περσῶν*[3]) *Μαυρίκιος καὶ συμβαλὼν αὐτοῖς ἐνίκησε καὶ γαμβρὸς τοῦ βασιλέως ἐγένετο. ἀνάρρησις Μαυρικίου καὶ Τιβερίου τελευτή.*

12. *Περὶ Χαγάνου. περὶ Βαρὰμ τοῦ Περσῶν στρατηγοῦ. καθαίρεσις Ὁρμίσδου ἐκ τῆς ἀρχῆς. ἀνάρρησις Χοσρόου. ἀναίρεσις Ὁρμίσδου. ἐπανά-*
PII351 *στασις κατὰ τοῦ Χοσρόου καὶ φυγὴ αὐτοῦ πρὸς*

---

1) *τοῦ*] addit 2) *καὶ τῶν ἄλλων*] addit 3) *ὁ μ.* pro *Μ.*

Ῥωμαίους. περὶ τῶν ἑαλωκότων Τούρκων. ὅσα ὁ Χοσρόης περὶ τοῦ μέλλοντος ἀπεφοίβασεν, ὡς τὰ ἐσόμενα εἰδὼς ἐξ ἀστρολογίας. ὅτι τὸν υἱὸν ὁ Μαυρίκιος ἔστεψεν. περὶ τοῦ ναοῦ τῶν ἁγίων μ΄. ὅπως ὁ Μαυρίκιος πολιορκοῦντα τὸν Χαγάνον τὴν Τζουρουλὸν παρεσκεύασε καὶ ἄκοντα σπείσασθαι.

13. *Περὶ πατριαρχῶν. περὶ τῶν παρὰ τοῦ Χαγάνου πωλουμένων αἰχμαλώτων, οὓς ὁ βασιλεὺς Μαυρίκιος οὐκ ὠνήσατο. ὅτι μὴ ὠνησαμένου τοῦ βασιλέως τοὺς αἰχμαλώτους ὁ Χαγάνος πάντας ἀνεῖλεν. ὅτι διὰ τὴν τῶν αἰχμαλώτων ἀπώλειαν ἐμισήθη ὁ βασιλεὺς καὶ ὁ δῆμος ἐστασίασεν.*[1] *ὅτι τῷ υἱῷ αὐτοῦ γυναῖκα ὁ βασιλεὺς συνέζευξεν. περὶ τοῦ ὀνείρου,* [*ὃ ὁ βασιλεὺς ἐθεάσατο.*[2]] *ὅτι ἐδέετο ὁ βασιλεὺς τοῦ θεοῦ ἐνταῦθα δίκας ἐκτῖσαι. ὅτι στασιάσαν τὸ στρατιωτικὸν τὸν Φωκᾶν ἀνηγόρευσε βασιλέα.*

14. *Ὅτι ὁ Φωκᾶς ἐστέφθη παρὰ τοῦ πατριάρχου. ἀναίρεσις Μαυρικίου καὶ παντὸς τοῦ γένους αὐτοῦ. ἀπόστασις Ναρσοῦ, εἶτα προσέλευσις αὐτοῦ*[3] *καὶ κατάφλεξις. περὶ τῶν ἀναιρεθέντων ὑπὸ Φωκᾶ. περὶ πατριαρχῶν. ὅτι οἱ ἐν Ἀντιοχείᾳ Ἰουδαῖοι ἐπανέστησαν κατὰ τῶν ἐκεῖ χριστιανῶν. περὶ πατριαρχῶν. ὅτι τὴν θυγατέρα αὐτοῦ ὁ Φωκᾶς κατηγγύησε τῷ στρατηλάτῃ Κρίσπῳ,*[4] *καὶ ὅπως καὶ παρ' ἐκείνου καὶ παρὰ πάντων ἐμισήθη. ἐπανάστασις τῶν*[5] *ἐν τῇ Ἀφρικῇ στρατευμάτων κατὰ τοῦ Φωκᾶ. ἧττα τοῦ Φωκᾶ. ἀναίρεσις Φωκᾶ.*

15. *Ὅτι πάντοθεν τῇ Ῥωμαίων ἀρχῇ ἐγίνοντο*

---

1) *ἐστασίασεν* pro *ἐστασίαζεν* 2) *ὃ — ἐθεάσατο* addit Duc. 3) *αὐτοῦ* pro *αὐ* 4) *κρίσπῳ* pro *Πρίσκῳ* 5) om.

δυστυχήματα. ὅτι δύο παῖδες τῷ Ἡρακλείῳ ἐκ τῆς Αὐγούστης Εὐδοκίας ἐτέχθησαν. τελευτὴ τῆς Αὐγούστης Εὐδοκίας. ὅτι τὴν ἰδίαν ἀνεψιὰν ὁ Ἡράκλειος ἔγημεν. ὅτι διεπρεσβεύσατο πρὸς Χοσρόην Ἡράκλειος περὶ εἰρήνης, ὁ δὲ τὴν πρεσβείαν ἀπώσατο. ὅτι ἐσπείσατο ὁ Χαγάνος. περὶ Κρίσπου, καὶ ὅπως διετέθη πρὸς τὸν Ἡράκλειον. ὅτι τὸν Κρίσπον κληρικὸν καρῆναι προσέταξεν. περὶ τῶν ὑπὸ τῶν Ἰουδαίων ἀναιρεθέντων χριστιανῶν καὶ περὶ τῶν τιμίων ξύλων καὶ τοῦ πατριάρχου. ὅτι τῷ Σαρβάρῳ συμπλακεὶς ὁ Ἡράκλειος ἐνίκησεν.

16. *Ὅτι παραβὰς τὰς συνθήκας ὁ Χαγάνος ἐπῆλθε τῇ πόλει, καὶ ἡττηθεὶς ἔφυγεν. ὅσα ὁ Ἡράκλειος τοῖς Πέρσαις μαχόμενος κατώρθωσεν. ὅπως ὁ ἀρχισατράπης Σάρβαρος καὶ οἱ μετ' αὐτοῦ τῷ βασιλεῖ προσεχώρησαν. ὅπως παρὰ τοῦ υἱοῦ αὐτοῦ ὁ Χοσρόης καθηρέθη τῆς βασιλείας καὶ ἀνηρέθη. ὅτι ὁ Σιρόης βασιλεύσας ἐσπείσατο Ῥωμαίοις.*

17. *Ὅπως ὁ Ἡράκλειος εἰς τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἐξεκυλίσθη. περὶ τοῦ ἱεροῦ Σωφρονίου καὶ τῆς παρ' ἐκείνου γενομένης συνόδου. περὶ πατριαρχῶν. περὶ Μουχούμετ, καὶ ὅπως καὶ πότε εἰς τὰς Ῥωμαϊκὰς χώρας ἐγκατῳκίσθη. Ἡρακλείου τελευτή.*

19. *Βασιλεία Κώνσταντος τοῦ ἐγγόνου Ἡρακλείου, ὃς καὶ μονοθελήτης ἦν. ὅτι ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς στόλῳ κατὰ Ῥωμαίων ἐχώρησε, καὶ ἀντιταξάμενος αὐτῷ ὁ Κώνστας ἡττήθη. ὅτι ἐπὶ καιρὸν ἠρέμησαν οἱ Ἀγαρηνοί. περὶ πατριαρχῶν καὶ τοῦ Πύρρου. ὅπως ἐμισήθη ὁ Κώνστας παρὰ τῶν ὑπηκόων καὶ εἰς Σικελίαν ἀπάρας ἐκεῖ ἀνηρέθη.*

20. *Ἀπελθὼν ὁ Κωνσταντῖνος εἰς Σικελίαν τοὺς φονεῖς τοῦ πατρὸς ἐκόλασε, καὶ ὅθεν ἐπεκλήθη Πωγωνάτος. ὅτι σὺν στόλῳ οἱ Ἀγαρηνοὶ ἐπολιόρκουν τὴν Κωνσταντινούπολιν ἐπὶ ἑπτὰ ἐνιαυτούς, καὶ ἀπῆλθον παθόντες ἢ*[1] *δράσαντες. ὅτι ἐπὶ τούτου τοῦ βασιλέως τὸ ὑγρὸν πῦρ εὑρέθη. ὅτι ἀπογνόντες οἱ τῆς Ἄγαρ εἰρήνην ᾔτησαν, καὶ δασμὸν φέρειν ἐτήσιον τῇ βασιλείᾳ Ῥωμαίων κατέθεντο.*

21. *Ὅτι καὶ οἱ ἑσπέριοι τῶν Ῥωμαίων πολέμιοι ἐσπείσαντο. περὶ πατριαρχῶν, καὶ τῆς ἕκτης συνόδου.*[2] *ὅτι ἐξεστράτευσε κατὰ Βουλγάρων οὗτος ὁ βασιλεύς, εἶτα τῶν Ῥωμαίων τραπέντων ἠναγκάσθη σπείσασθαι καὶ φόρους διδόναι. τελευτὴ*[3] *Κωνσταντίνου τοῦ Πωγωνάτου.*

22. *Περὶ τῶν Μαρδαϊτῶν καὶ ὅπως αὐτοὺς ἐκ τοῦ Λιβάνου μετῴκισεν οὗτος ὁ βασιλεύς, ἀπατηθεὶς παρὰ τῶν Ἀράβων. ὅτι ὑπέταξε τὴν Ἰβηρίαν καὶ τὴν Ἀλβανίαν.*[4] *ὅτι ἔλυσε τὰς πρὸς τοὺς Βουλγάρους σπονδὰς καὶ ἔθνη Σθλαβικὰ ὑπηγάγετο. περὶ τῶν Ἀγαρηνῶν, καὶ*[5] *ὅτι ἐμισήθη παρὰ πάντων ὁ βασιλεὺς οὗτος δι' εὐνοῦχόν τινα Θεοδόσιον. περὶ Λεοντίου τοῦ στρατηγοῦ καὶ ὅπως ἐπανέστη κατὰ Ἰουστινιανοῦ.*[6] *ὅτι κατηνέχθη τῶν ἀνακτόρων ὁ Ἰουστινιανὸς καὶ τὴν ῥῖνα ἐτμήθη.*

23. *Ὅπως τὴν Ἀφρικὴν εἷλον οἱ Ἄραβες καὶ* PII352 *ὅπως αὐτὴν ἀφῄρηντο. ὅτι αὖθις εἷλον τὴν Ἀφρικὴν οἱ Ἄραβες. ἐπανάστασις τοῦ ναυτικοῦ καὶ ἀνάρρησις Ἀψιμάρου. καθαίρεσις Λεοντίου.*

24. *Περὶ τῶν Ἀγαρηνῶν καὶ ὅσα ἐποίησάν τε*

---

1) *ἢ*] sic 2) *ϛ' συνόδου* pro *συνόδου ἕκτης* 3) *τελευτὴ* pro *τελευτὴ τοῦ* et *κωνσταντίνου* 4) *Ἀλβανίαν*] *ἀλανίαν* 5) *καὶ*] addit 6) *περὶ Λεοντίου—Ἰουστ.*] addit.

καὶ ἔπαθον. περὶ Ἰουστινανοῦ καὶ ὅτι ἔλαβεν εἰς γυναῖκα τὴν ἀδελφὴν τοῦ Χαγάνου, καὶ ὅτι ἐπεβούλευεν ὁ Χαγάνος τῷ Ἰουστινιανῷ τοῦ Ἀψιμάρου δώσειν αὐτῷ χρήματα πολλὰ ὑποσχομένου, καὶ ὅτι τοῦτο γνοὺς ἐκεῖνος πρὸς Βουλγάρους κατέφυγεν. ὅτι μετὰ τῶν Βουλγάρων τῇ πόλει ἐπιστρατεύσας νύκτωρ ἐντὸς εἰσῆλθε διὰ τοῦ ἀγωγοῦ.

25. *Ὅπως ἐκόλασε τὸν Λεόντιον καὶ τὸν Ἀψίμαρον καὶ τὸν Ἡράκλειον καὶ*[1] *ἑτέρους ὁ Ἰουστιτιανὸς καὶ τὸν πατριάρχην. ὅτι ἔστεψε τὴν γυναῖκα αὐτοῦ καὶ τὸν υἱόν. ὅτι ἐπῆλθε κατὰ Βουλγάρων καὶ ἡττήθη. ἀποστασία Χερσωνιτῶν καὶ ἀνάρρησις Φιλιππικοῦ τοῦ καὶ Βαρδάνη. ὅτι καὶ οἱ τοῦ στόλου τὸν Φιλιππικὸν εὐφήμησαν. ἀναίρεσις*[2] *Ἰουστινιανοῦ καὶ τοῦ παιδὸς αὐτοῦ.*

26. *Ὅθεν ἀθετῆσαι τὴν ἕκτην σύνοδον προήχθη. οἷος ἦν περὶ πράξεις ὁ Φιλιππικός. περὶ πατριαρχῶν. περὶ Βουλγάρων καὶ τῶν Ἀγαρηνῶν. καθαίρεσις ἐκ τῆς βασιλείας τοῦ Φιλιππικοῦ.*

27. *Περὶ πατριαρχῶν. ὅτι στόλον ὁ βασιλεὺς οὗτος κατὰ τῶν Ἀγαρηνῶν ἔστειλε. καὶ οἱ τοῦ στόλου τὸν ἄρχοντα στασιάσαντες ἀνεῖλον καί τινα Θεοδόσιον ἀνηγόρευσαν αὐτοκράτορα. ὅτι τοῦ Ἀρτεμίου ἐν Νικαίᾳ διάγοντος ὁ Θεοδόσιος ἐκ προδοσίας τὴν πόλιν εἷλε. καὶ ὁ Ἀρτέμιος καρεὶς ἐν Θεσσαλονίκῃ περιωρίσθη.*

28. *Ὅτι ὁ Ἴσαυρος Λέων καὶ ὁ Ἀρτάβασδος ἐπανέστησαν κατὰ τοῦ Θεοδοσίου. καθαίρεσις τοῦ βασιλέως Θεοδοσίου.*

---

1) *τὸν Ἡράκλειον καὶ*] addit 2) *ἀναίρεσις*] *ἀνάρρησις*.

1. *Περὶ Ἀβασγῶν καὶ ὅτε καὶ ὅπως εἰς θεογνωσίαν μετήχθησαν. ὅτι τοὺς ἄρχοντας αὐτῶν οἱ Ἀβασγοὶ καθελόντες ἐκ τοῦ βασιλέως Ῥωμαίων ἐδέχοντο ἄρχοντας. ὅτι Ἄραβες ἐξ Ἀβύδου περάσαντες τὴν πόλιν ἐπολιόρκουν κατὰ γῆν τε καὶ θάλατταν, καὶ κακῶς ἀπηλλάγησαν ἀμφοτέρωθεν.*

2. *Ὅτι ὁ στρατηγὸς Σικελίας τυραννίδι ἐπεχείρησεν. ὅπως ἡ ἐν Σικελίᾳ ἐπανάστασις κατελύθη. ὅτι ἄνευ ε΄ νηῶν αἱ ἄλλαι τῶν Ἀράβων ἀπώλοντο σὺν αὐτοῖς. περὶ τοῦ Κοπρωνύμου. ὅτι ἔστεψε τὸν Κοπρώνυμον ὁ Λέων. ὅτι κατὰ τῶν ἁγίων εἰκόνων ὁ Λέων εἰς τοὐμφανὲς ἐξελύττησεν. περὶ πατριαρχῶν. ὅθεν ὁ Λέων εἰς τὴν ἀσέβειαν προήχθη.*[1])

3. *Ὅτι οἱ τὴν βασιλείαν προμαντευσάμενοι Ἑβραῖοι τῷ Λέοντι τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν ᾔτησαν. περὶ τοῦ πλησίον τῶν Χαλκοπρατείων*[2]) *βασιλικοῦ οἴκου καὶ τῆς ἐν αὐτῷ βιβλιοθήκης καὶ τῶν ἐν αὐτῷ διδασκάλων.*

4. *Ὅτι διὰ τὴν ἀσέβειαν τοῦ Λέοντος ὁ πάπας Ῥώμης τοῖς Φράγγοις ἐσπείσατο καὶ τοὺς ἐκ τῆς Ἰταλίας τῇ βασιλείᾳ κομιζομένους ἐπέσχε φόρους. καὶ ὅτι Γερμανικὸν ἔθνος οἱ Φράγγοι, καὶ οὐ Ῥωμαῖοι. οἷα κατὰ τῶν ὀρθοδόξων ἐποίει ὁ Λέων. καὶ ὅτι τὴν τοῦ Χαγάνου θυγατέρα ἔγημεν ὁ Κοπρώνυμος.*

5. *Οἷος ἦν ὁ μισόθεος οὗτος. ἐπανάστασις τοῦ Ἀρταβάσδου κατὰ τοῦ Κοπρωνύμου. ὅτι ὁ Κοπρώνυμος περαιωθεὶς εἰς Θρᾴκην τὴν πόλιν ἐπολιόρκει καὶ ταύτης ἐκράτησε, καὶ ἐτύφλωσε*[3]) *τὸν Ἀρτάβασ-*

1) *ὅθεν — προήχθη*] addit 2) *χαλκοπρατείων* pro *Χαλκοπρατίων* 3) *καὶ ἐτύφλωσε*] addit.

δον καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὸν πατριάρχην Ἀναστάσιον δημοσίᾳ τύψας ἐθριάμβευσεν, εἶτ' αὖθις πατριάρχην αὐτὸν εἴασεν εἶναι.

6. *Περὶ πατριαρχῶν καὶ περὶ τῆς τοῦ Κοπρωνύμου ἀθροισθείσης τῶν ἀνιέρων ἐπισκόπων συνόδου. περὶ Βουλγάρων.*

7. *Οἷος χειμὼν γέγονεν ἐπὶ τῆς βασιλείας τοῦ δυσωνύμου. οἷα ἐφρόνει ὁ ἄθεος καὶ οἷα ἐποίει. ὅσα ἐποίει ὁ Κοπρώνυμος κατὰ τῶν μὴ πεισθέντων βεβαιῶσαι τὴν κατὰ τῶν ἁγίων εἰκόνων συγγραφήν. ὅτι κατὰ Βουλγάρων ἐκστρατεύσας ἄπρακτος ἐπανῆλθε καὶ οἷα κατὰ τῶν μοναχῶν ἐποίει καὶ κατὰ ἀρχόντων. ὅπως καὶ τὸν πατριάρχην αὐτοῦ ἐξῶσε τῆς ἐκκλησίας καὶ ἐκόλασε καὶ ἀπέκτεινεν. ὅτι τρεῖς γυναῖκας ἠγάγετο καὶ ὅσους ἔσχεν ἐξ αὐτῶν παῖδας καὶ ὅτι τῷ πρώτῳ υἱῷ αὐτοῦ γυναῖκα ἠγάγετο. ὅτι σπονδὰς ἔθετο μετὰ Βουλγάρων.*[1])

8. *Ὅτι τινὰς τῶν Βουλγάρων ᾠκειώσατο ὁ Κοπρώνυμος, οἳ ἐδήλουν αὐτῷ τὰ τοῦ ἄρχοντος σφῶν βουλεύματα. ὅπως ὁ τῶν Βουλγάρων ἄρχων*[2]) *ἠπάτα*
PII353 *τὸν βασιλέα, καὶ ἔγνω τοὺς ᾠκειωμένους*[3]) *αὐτῷ Βουλγάρους. ὅπως κατὰ Βουλγάρων ἐξεστράτευσε καὶ νοσήσας ὑπέστρεφε*[1]) *καὶ κατέστρεψε τὴν ζωήν. οἷα κατὰ τῶν μοναχῶν καὶ τῶν μοναστηρίων καὶ κατὰ τῶν σεπτῶν λειψάνων τῶν ἁγίων ὁ πάντολμος ἐτόλμα. περὶ τοῦ ἱεροῦ λειψάνου τῆς πανευφήμου μάρτυρος Εὐφημίας.*

9. *Περὶ πατριαρχῶν. ὅτι διὰ τὰς ἁγίας εἰκόνας ὁ Λέων ἐκόλασέ τινας τῶν ἀρχόντων. τελευτὴ τοῦ Λέοντος.*

---

1) *ὅτι τρεῖς—Βουλγάρων*] addit 2) *ἄρχων* pro *ἀρχηγός* 3) *ᾠκ. αὐτῷ* pro *αὐτῷ ᾠκ.* 4) *ὑπέστρεφε* pro *ὑπέστρεψε.*

10. Ὅτι ἐπιβουλῆς γενομένης ἡ Θεοδώρα τοὺς μὲν ἄλλους ἐκόλασε, τοὺς δὲ ἀνδραδέλφους αὐτῆς ἀπέκειρε καὶ ἱερέας παρεσκεύασεν. περὶ τῆς εὑρεθείσης λάρνακος ἐν τῇ Θράκῃ κατὰ τὸ Μακρὸν τεῖχος. ὅτι κατηγγυήσατο τῷ υἱῷ γυναῖκα ἡ Εἰρήνη. ὅτι ὁ τῶν Ἀράβων ἀρχηγὸς μέχρι Χρυσοπόλεως ἐλθὼν ἐσπείσατο, φόρους αὐτοῖς διδόναι τῶν Ῥωμαίων συνθεμένων. περὶ τοῦ πατρικίου[1]) Ἐλπιδίου.

11. Ὅτι ὁ πατριάρχης Παῦλος ἐξέστη τῆς ἐκκλησίας. ὅτι ὁ ἐν ἁγίοις Ταράσιος πατριάρχης προεχειρίσθη. περὶ τῆς ἑβδόμης συνόδου. ὅτι ὁ βασιλεὺς Κωνσταντῖνος νεανίας γενόμενος βασιλεὺς[2]) εἰς ἑαυτὸν τὴν διοίκησιν μεταγαγεῖν ἐμελέτησε. γνωσθεὶς δὲ παρὰ τῆς μητρὸς ἐτύφθη καὶ δημοσιεύειν ἐκωλύθη. ὅτι τοῖς Ἀρμενιακοῖς καὶ οἱ τῶν ἄλλων θεμάτων συμφρονήσαντες τὸν Κωνσταντῖνον μόνον εὐφήμουν, καὶ ὅσα ἐκεῖνος προελθὼν ἐποίησεν.

12. Ὅτι ὁ Θωμαΐτης τρίκλινος ἐκαύθη. ἐκστρατεῖαι τοῦ Κωνσταντίνου κατὰ Βουλγάρων καὶ τῶν Ἀράβων. ὅτι αὖθις ἀνήγαγε τὴν μητέρα εἰς τὰ βασίλεια καὶ εὐφημεῖσθαι αὐτὴν παρεχώρησεν· οἱ δὲ Ἀρμενιακοὶ αὖθις ἐστασίαζον· καὶ περὶ τοῦ Μωσηλέ. ὅτι τοῖς Βουλγάροις συμβαλὼν ὁ Κωνσταντῖνος ἡττήθη, καὶ ὅτι ἐστασίασε τὸ στρατιωτικὸν καὶ ὅτι τοὺς θείους ὁ Κωνσταντῖνος ἐτιμωρήσατο. ὅτι τὴν οἰκείαν γαμετὴν ἄκουσαν ἀποκείρας ὁ Κωνσταντῖνος ἑτέραν ἠγάγετο. ὅτι κατὰ Βουλγάρων ὁ βασιλεὺς ἐξεστράτευσεν.

13. Περὶ τοῦ μοναχοῦ Πλάτωνος. ὅτι ἐτυφλώθη

1) πατρικίου] πατριάρχου 2) βασιλεὺς] addit.

ὁ βασιλεὺς Κωνσταντῖνος εἰδήσει τῆς μητρὸς αὐτοῦ. περὶ Λέοντος πάπα Ῥώμης καὶ ὅπως οἱ Φράγγοι καὶ πότε τῆς Ἰταλίας καὶ τῆς Ῥώμης αὐτῆς ἐκυρίευσαν. περὶ τῶν ἀνδραδέλφων τῆς βασιλίσσης Εἰρήνης. ὅτι ἐζήτει ὁ τῶν Φράγγων ἀρχηγὸς συζευχθῆναι τῇ βασιλίσσῃ. ὅπως καὶ παρὰ πάντων εἰς τὰ βασίλεια ὁ ἀπὸ γενικῶν ἀνήχθη Νικηφόρος.

14. Ὅσα πρὸς τὴν βασιλίδα Εἰρήνην ὁ Νικηφόρος εἴρηκε καὶ ὅσα πρὸς ἐκεῖνον ἐκείνη, καὶ ὅτι πολλὰ ὑπέδειξεν αὐτῷ χρήματα τεθησαυρισμένα καὶ ὡς αὐτίκα ὑπερωρίσθη. οἷος ἦν τοὺς τρόπους ὁ Νικηφόρος. περὶ τοῦ πατρικίου Βαρδάνη.[1]) τελευτὴ Εἰρήνης. ἀνάρρησις Σταυρακίου τοῦ υἱοῦ Νικηφόρου. περὶ πατριαρχῶν. ὅτι μετὰ τὸν ἐν ἁγίοις Ταράσιον ὁ θεῖος Νικηφόρος προεχειρίσθη πατριάρχης. καὶ[2]) ὅπως ὁ Πλάτων καὶ ὁ Στουδίτης Θεόδωρος ἐστασίαζον. οἵας κερδῶν ἐπινοίας ἐπενόει ὁ βασιλεὺς Νικηφόρος ὁ ἀπὸ γενικῶν. περὶ τοῦ εἰσδραμόντος ξιφηφόρου εἰς τὰ βασίλεια καὶ ζητοῦντος ἀνελεῖν τὸν βασιλέα.

15. Ὅτι Μανιχαίοις καὶ Ἀθιγγάνοις ἐκέχρητο ἐν μαντείαις. ἐκστρατεία κατὰ Βουλγάρων, ἐν ᾗ εὐτυχήσας καὶ ἐπαρθεὶς ὕστερον ἡττήθη καὶ ἀπώλετο. ὅτι τὴν κεφαλὴν τοῦ βασιλέως ὁ Κροῦμος ἀνεσταύρωσεν, εἶτα ἀντὶ κύλικος ἐκέχρητο.

16. Ἀνάρρησις τοῦ Ῥαγγαβὲ Μιχαήλ.

17. Ὅπως διετέθη ὁ Μιχαὴλ πρὸς τὴν τοῦ Σταυρακίου σύμβιον. ὅτι ἔστεψεν ὁ Μιχαὴλ τὸν υἱὸν αὐτοῦ Θεοφύλακτον. ὅτι τοὺς κατὰ τῶν ἁγίων

---

1) περὶ τοῦ π. Β.] addit 2) καὶ] addit.

εἰκόνων νεανιευομένους ᾐκίσατο. περὶ τῶν Ἀγαρηνῶν. ὅτι ὁ τῶν Βουλγάρων ἄρχων ᾔτει σπονδάς, ὁ δὲ βασιλεὺς ἃ ἐκεῖνος ἐζήτει μὴ πληρῶν παρῃτήσατο σπείσασθαι, καὶ οἱ Βούλγαροι κατὰ Μεσημβρίας ἐχώρησαν, καὶ τὸ ἄστυ εἷλον.

18. *Ὅτι μαθὼν ὁ βασιλεὺς μέλλειν τοὺς Βουλγάρους τῇ Θράκῃ ἐπελθεῖν, ἐξῆλθε. καὶ οἱ μὲν Βούλγαροι ἄπρακτοι ἔμειναν, ἐκεῖνος δὲ τὴν οἰκείαν χώραν διὰ τῆς προσεδρίας τοῦ στρατοῦ ἐκάκου. ἧττα τῶν Βουλγάρων ἐπελθόντων. ἡττήθησαν οἱ Ῥωμαῖοι ἐπιβουλῇ τοῦ Ἀρμενίου Λέοντος. ὅπως ὁ Λέων ἑαυτῷ τὴν βασιλείαν περιεποιήσατο. ὅτι βίᾳ τὴν βασιλείαν καταδέχεσθαι ὁ Λέων ἐσχηματίζετο, καὶ ὅπως ὁ Μιχαὴλ ἀπραγμόνως ἐξέστη τῆς ἀρχῆς καὶ ὅσα ἔπαθεν.*

19. *Ὅσα συνέβη σημαντικὰ τοῦ τὸν Μιχαὴλ τοῦ Λέοντος διάδοχον ἔσεσθαι. ὅτι περὶ σπονδῶν δια-* PII354 *πρεσβευσάμενος ὁ Λέων πρὸς τὸν ἄρχοντα Βουλγάρων, ἐπεὶ οὐκ ἐδέχθη, ἐξεστράτευσε κατ' ἐκείνου καὶ ἐνίκησεν. ὅπως ὁ Ἀρμένιος Λέων ἔθετο τῇ τῶν εἰκονομάχων αἱρέσει. περὶ τοῦ Μελισσηνοῦ Θεοδότου καὶ ὅπως τὸν Λέοντα ἠπάτησε κατὰ τῶν ἁγίων εἰκόνων λυττῆσαι. ὅτι ἀντιλέγοντα αὐτῷ περὶ τῶν ἁγίων εἰκόνων τὸν θεῖον Νικηφόρον τὸν πατριάρχην ἐξώρισεν. περὶ τῆς προγνώσεως τοῦ πατριάρχου Νικηφόρου καὶ τοῦ ὁμολογητοῦ Θεοφάνους.*

20. *Ὅτι ὁ Μελισσηνὸς Θεόδοτος προεβλήθη πατριάρχης, καὶ ὅθεν ᾠκειώθη οὗτος τῷ Λέοντι. περὶ τοῦ πρωτοψάλτου, καὶ ὅπως ἠρέθιζε[2]) τὸν βασιλέα κατὰ τῶν ἁγίων εἰκόνων. ὅτι ὀργίλος ἦν ὁ Λέων*

---

1) *ἠρέθιζε* pro *ἠρέθισε.*

καὶ κολαστὴς ἀπαραίτητος καὶ τοὺς ἀδικοῦντας ἀνέστελλε. οἵους προεχειρίζετο ἄρχοντας.[1])

21. *Περὶ τοῦ Τραυλοῦ Μιχαὴλ καὶ ὅπως ἐπὶ τυραννίδι ἁλοὺς διέφυγε τὴν τιμωρίαν καὶ ἐβασίλευσεν. ὅσα προεῖπεν ὁ Λέων περὶ τοῦ Μιχαήλ. περὶ τῶν ἐν τῷ βιβλίῳ τῷ ἐν τοῖς ἀνακτόροις καὶ τῶν ἐν ἐκείνῳ εἰκονισμένων, καὶ ὅπως ἡρμηνεύθησαν ἐκεῖνα καὶ παρὰ τίνος. περὶ τοῦ ἐνυπνίου τῆς μητρὸς τοῦ Λέοντος. ἕτερον ἐνύπνιον. ὅτι πεδηθεὶς τοὺς πόδας ὁ Μιχαὴλ τῷ Παπίᾳ παρεδόθη φυλάττεσθαι. ὅπως ὁ βασιλεὺς εἰς τὴν τοῦ Παπίου καταγωγὴν ἀπῆλθε, καὶ ὅσα εἶδε καὶ ὡς ἠπείλησε, καὶ ὡς οὐκ ἔλαθεν. ὅσα ὁ Μιχαὴλ τοῖς συνωμόταις ἐπέστειλεν. ἀναίρεσις Λέοντος τοῦ Ἀρμενίου. ἀνάρρησις τοῦ Μιχαὴλ ἔτι τοὺς πόδας πεπεδημένου. ὅσα ἐποίησεν ὁ Μιχαὴλ τῇ τοῦ Λέοντος γαμετῇ καὶ τοῖς ἐκείνου παισί, καὶ ὅπως ὁ τοῦ Λέοντος υἱὸς Κωνσταντῖνος ἐλύθη τῆς ἀφωνίας.*[2])

22. *Ὅθεν ὥρμητο ὁ Μιχαὴλ καὶ οἷος τὴν πίστιν καὶ τὰ ἤθη. ὅτι καὶ οὗτος τοὺς πρὸ αὐτοῦ ἐμιμήσατο. ὅσα ὁ ματαιόφρων Μιχαὴλ ἐφρόνει. περὶ τῆς τοῦ Θωμᾶ τυραννίδος. ὅτι περιέθετο ἑαυτῷ ὁ Θωμᾶς τὰ τῆς βασιλείας παράσημα. ὅτι εὐτύχει ὁ τύραννος οὗτος καὶ ἐκρατύνετο.*

23. *Ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν προσβαλὼν ὁ Θωμᾶς τῇ πόλει πολλάκις οὐδὲν ἀνύσαι ἴσχυσεν, ἀλλ' ἥττητο συνεχῶς, ὁ δὲ καὶ ἡττώμενος τοῦ τυραννεῖν οὐκ ἀπείχετο. ὅτι ὁ τῶν Βουλγάρων ἀρχηγὸς σπονδὰς μετὰ Ῥωμαίων θέμενος ἐμαχέσατο*

1) *καὶ τοὺς — ἄρχοντας*] addit 2) *ἀνάρρησις — ἀφωνίας*] addit.

τῷ Θωμᾷ[1]) *καὶ ἐνίκησε καὶ αἴτιος γέγονε τῆς αὐτοῦ καταλύσεως. κατάσχεσις τοῦ Θωμᾶ. περὶ τῆς Ἡρακλείας καὶ τοῦ Πανίου μηδὲ μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ τῆς ἀποστασίας ἀφισταμένων.*

24. *Ὅπως ἡ Κρήτη γέγονεν ὑπὸ τοὺς Ἀγαρηνούς. ὅπως καὶ τίνα δευτέραν γαμετὴν εἰλήφει ὁ Μιχαήλ. περὶ πατριαρχῶν. περὶ τῶν ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν. ἑτέρα στάσις ἐν Σικελίᾳ καὶ ὅπως ὑπὸ τοὺς Ἀγαρηνοὺς ἐγένετο ἡ νῆσος. τελευτὴ Μιχαὴλ τοῦ βασιλέως. ὅπως ἐκόλασεν ὁ Θεόφιλος τὸν ἀνελόντα τὸν Λέοντα.*[2])

25. *Ὅτι τὴν μητρυιὰν ἑαυτοῦ εἰς τὴν μονήν, ἐξ ἧς ἐλήφθη, ἐγκατέστησεν. περὶ τῆς γυναικὸς Εἰκασίας. ὅπως περὶ τοὺς ἀδικοῦντας διέκειτο ὁ Θεόφιλος καὶ ὅπως τῆς εὐθηνίας τῶν ὠνίων ἐφρόντιζεν. περὶ τοῦ ἀδελφοῦ τῆς Αὐγούστης τοῦ Πετρωνᾶ. περὶ τοῦ πλοίου τῆς Αὐγούστης.*

26. *Περὶ τῶν γονέων τῆς Θεοδώρας καὶ περὶ τῆς μητρὸς αὐτῆς καὶ τῶν θυγατέρων τοῦ βασιλέως. περὶ τῆς δεσποίνης Θεοδώρας καὶ τοῦ παράφρονος Δένδερι. ὅτι βαρὺς ἦν τῶν εὐσεβῶν κολαστὴς ὁ Θεόφιλος. περὶ τοῦ συγκέλλου*[3]) *Ἰωάννου, καὶ ὅπως πρὸς τοὺς Ἀγαρηνοὺς ἀπεστάλη καὶ ὅσα ἐποίησεν.*

27. *Περὶ τῶν τῆς πόλεως παραλίων τειχῶν. περὶ τοῦ ξενῶνος τοῦ Θεοφίλου. περὶ τοῦ μοναχοῦ Λαζάρου τοῦ ζωγράφου. περὶ τῶν ὁμολογητῶν αὐταδέλφων Θεοφάνους καὶ Θεοδώρου τῶν γραπτῶν. ὅτι ἐπὶ θυγατρὶ ἐποιήσατο γαμβρὸν Ἀλέξιον τὸν Μωσηλέ, ὃν καὶ Καίσαρα ἐτίμησεν. περὶ τοῦ Μα-*

---

1) *ἐμαχέσατο τῷ θωμᾷ καὶ* pro *ἐμᾷ καὶ* 2) *ἑτέρα —Λέοντα* pro *περὶ στάσεως ἐν Σικελίᾳ συστάσης*, quae habet Duc., om. Wolfius 3) *συγκέλλου* pro *συγκελοῦ*.

νουὴλ καὶ τοῦ Θεοφόβου. ὅτι τοῖς Πέρσαις μαχόμενος ὁ Θεόφιλος ἡττήθη καὶ ἥλω ἄν, εἰ μὴ ὁ Θεόφοβος ἐβοήθησεν. ἐκστρατεία κατὰ τῶν Ἀγαρηνῶν καὶ νίκη τοῦ βασιλέως.[1]

28. *Περὶ τοῦ περιδεξίου Ἀγαρηνοῦ καὶ τοῦ ἐκτομίου Θεοδώρου τοῦ Κρατεροῦ.*[2] *ἐκστρατεία ἑτέρα*[3] *κατὰ τῶν Ἀγαρηνῶν καὶ ἧττα Ῥωμαίων. ὅτι διαβολαῖς κατὰ τοῦ Μανουὴλ πιστεύσας ὁ βασιλεὺς τυφλῶσαι αὐτὸν ἐμελέτα· ὃ γνοὺς ἐκεῖνος προσπέφευγε τοῖς Ἀγαρηνοῖς.*[4] *ὅτι πίστεις λαβὼν ὁ Μανουὴλ ἐκ τοῦ βασιλέως αὖθις ἐπανῆλθε κατασοφισάμενος τὸν τῶν Ἀγαρηνῶν ἀρχηγόν. περὶ πατριαρχῶν. ὅτι τὸν ἱερὸν Μεθόδιον ὑπερώρισε καὶ ὅσα ὑπέμεινεν.*

29. *Ὅτι κατὰ τῶν Ἀγαρηνῶν ἐκστρατεύσας ὁ Θεόφιλος εὐτύχησεν. ὅπως παρὰ τῶν μισθοφορούντων Περσῶν ὁ Θεόφοβος βασιλεὺς ἀνερρήθη καὶ ἄκων. ὅτι ὁ Θεόφοβος προσῆλθε τῷ βασιλεῖ. περὶ τῆς τοῦ Ἀμορίου ἁλώσεως. ὅπως προεδόθη τοῖς Ἀγαρηνοῖς τὸ Ἀμόριον. ὅτι διεπρεσβεύσατο πρὸς τὸν τῶν Ἀγαρηνῶν ἀρχηγὸν ὁ βασιλεὺς τοὺς ἐπιφανεῖς τῶν ἁλόντων ὠνήσασθαι θέλων, ὁ δὲ τὴν πρεσβείαν οὐ προσήκατο καὶ ὅτι ἐκ λύπης ὁ βασιλεὺς ἐνόσησε δυσεντερίαν. ὅτι θνήσκων ὁ Θεόφιλος ἀνεῖλε τὸν Θεόφοβον. τελευτὴ Θεοφίλου.*

PII355 1. *Ὅπως ὁ Μανουὴλ μὴ συναινῶν πρότερον τῇ τῆς αἱρέσεως τῶν εἰκονομάχων καθαιρέσει ὕστερον καὶ λίαν ἐκθύμως*[5] *συνήνει. ἐξώθησις ἐκ τῆς*[6] *ἐκκλησίας τοῦ πατριάρχου*[7] *Ἰωάννου, τοῦ δὲ ἱεροῦ*

---

1) *ἐκστρατεία—βασιλέως*] addit, et *εἷλω* scribit ut Wolfius 2) *κρατεροῦ* pro *Κρατερῇ* 3) *ἑτέρα*] addit 4) *ἧττα ῥωμαίων—ἀγαρηνοῖς* pro *καὶ νίκη τοῦ βασιλέως* 5) *ἐκθύμως* pro *ἐκθύμος* 6) *ἐκ τῆς*] addit 7) *πατριάρχου*] *φατριάρχου*.

Μεθοδίου προχείρισις καὶ ὅπως δι' ἐντεύξεων λέγεται σωτηρίας τυχεῖν ὁ Θεόφιλος. ἔτι περὶ τοῦ καθαιρεθέντος Ἰωάννου τοῦ πατριάρχου. περὶ τῆς κατηγορίας τοῦ θείου Μεθοδίου τοῦ πατριάρχου καὶ ὅπως ἠλέγχθη ψευδής. ὅσα ὁ τῶν Βουλγάρων ἀρχηγὸς ἠπείλησε τῇ βασιλίσσῃ καὶ ὅσα ἐκείνη αὐτῷ ἀντεμήνυσεν.

2. *Ὅπως οἱ Βούλγαροι εἰς ἐπίγνωσιν ἦλθον τοῦ Χριστοῦ. ὅπως γῆς τῷ ἔθνει τῶν Βουλγάρων ἡ βασιλὶς παρεχώρησεν. περὶ Μανιχαίων.*[1] *ὅπως ὁ Μιχαὴλ τὸν λογοθέτην ἀνεῖλε Θεόκτιστον. ὅτι καὶ ἡ βασιλὶς Θεοδώρα τῶν ἀνακτόρων ἀπῆλθε γνωρίσασα τοῖς τῆς βουλῆς ὅσα χρήματα παρὰ τοῖς ταμείοις καταλιμπάνει.*

3. *Ὅτι ταχέως ὁ Μιχαὴλ τὰ ταμεῖα ἐκένωσε τὰ βασιλικά, καὶ ὅτι τὴν μητέρα καὶ τὰς ἀδελφὰς ἀπέκειρεν.*[2] *ὅτι ἡ τῆς βασιλείας διοίκησις τῷ Βάρδᾳ ἀνετέθη. ὅτι ἐκστρατεύσας ὁ Μιχαὴλ καὶ πολιορκῶν τὰ Σαμόσατα κακῶς ἐκεῖθεν ἀπήλλαξεν. αὖθις στρατεία κατὰ Ἀγαρηνῶν καὶ αὖθις ἧττα Ῥωμαίων. ὅτι ὁ Πετρωνᾶς ἐστάλη κατὰ τῶν Ἀγαρηνῶν καὶ ὅτι συμβαλὼν αὐτοῖς ἐνίκησε, μοναχοῦ τινος τὴν νίκην αὐτῷ προειπόντος. ὅτι τοῦ Μανουὴλ θανόντος ὁ Πετρωνᾶς προεβλήθη δομέστικος τῶν σχολῶν.*

4. *Ὅτι ἡνιόχει ὁ βασιλεὺς Μιχαὴλ καὶ οἱ ἄρχοντες αὐτοῦ. ὅπως τῶν κοινῶν ἐφρόντιζεν ὁ βέλτιστος βασιλεὺς οὗτος. ὅπως περὶ λόγους ἐσπούδασεν ὁ Βάρδας. περὶ τοῦ φιλοσόφου Λέοντος καὶ τοῦ αἰχμαλωτισθέντος μαθητοῦ αὐτοῦ. περὶ πατριαρχῶν. ὅσα ὁ θεῖος Ἰγνάτιος ἔπαθεν ἀφορίσας τὸν Καίσαρα Βάρδαν.*

---

1) *περὶ Μανιχαίων*] addit 2) *καὶ ὅτι — ἀπέκειρεν*] om.

5. *Περὶ τῶν Ῥώς. περὶ τῶν ἐκ Κρήτης Ἀγαρηνῶν. περὶ τῶν τόπων ἐν οἷς ἀνήπτοντο οἱ πυρσοί. περὶ τῆς ἀνοήτου τοῦ Μιχαὴλ μετριότητος καὶ τῶν ἀνοητοτέρων παιγνίων αὐτοῦ. περὶ Βασιλείου τοῦ Μακεδόνος.*

6. *Σημεῖον περὶ τὸν Βασίλειον γεγονὸς προδηλοῦν ὡς βασιλεύσει. περὶ τοῦ ὀνείρου τοῦ φανέντος τῷ νεωκόρῳ τοῦ ναοῦ τοῦ ἁγίου Διομήδους. ὅτι πρότερον ὁ Βασίλειος τῷ Θεοφιλίτζῃ ἐξυπηρέτησεν. ὅθεν καὶ ὅπως εἰς τὰ βασίλεια εἰσήχθη ὁ βασιλεύς, καὶ ὅπως ᾠκειώθη καὶ ἐτιμήθη. περὶ τῆς προρρήσεως τῆς μητρὸς τοῦ βασιλέως τῆς περὶ τοῦ Βασιλείου.*

7. *Ὅτι ἐπεβούλευον ἀλλήλοις*[1]) *ὁ Καῖσαρ καὶ ὁ Βασίλειος. σημεῖόν τι περὶ τὸν Καίσαρα γεγονός. ὅτι πολλὰ τῶν ᾠκονομημένων ἀνέτρεπεν ὁ βασιλεύς. ἀναίρεσις τοῦ Καίσαρος Βάρδα. ἀνάρρησις τοῦ Βασιλείου. ὅθεν ὁ Βασίλειος ἀνελεῖν ἠρεθίσθη τὸν Μιχαήλ. ἀναίρεσις τοῦ βασιλέως Μιχαήλ.*

8. *Ὅτι τῶν κακῶς δαπανηθέντων χρημάτων ὁ βασιλεὺς συνάξας εἰς τρία ἐπόσωσε*[2]) *κεντηνάρια. ὅπως ὁ Φώτιος ἐξώσθη τῆς ἐκκλησίας. περὶ ἐπιβουλῆς. ὅτι ἔστεψε βασιλεῖς τοὺς υἱοὺς αὐτοῦ, τὰς δὲ θυγατέρας ἀπέκειρεν. ὅτι ἐν τῇ Κρήτῃ ἐκστρατεύσας ἡττήθη. ὅπως ὁ Χρυσόχειρ ἡττήθη παρὰ Ῥωμαίων καὶ ἀνῃρέθη. ὅτι τοῦ Ἰγνατίου τελευτήσαντος ὁ Φώτιος αὖθις ἀνήχθη εἰς τὸν θρόνον τὸν πατριαρχικόν.*

9. *Περὶ ἐπιβουλῆς. ἐκστρατεία κατὰ Συρίας.*

1) *ἀλλήλοις* pro *ἀλλήλους* 2) *ἐπόσωσε* obscurius in ed. Wolfii, unde Ducang. *ἐπέσωσε.*

ὅτι πολιορκῶν τὴν Ἄδαταν ὁ βασιλεύς, καὶ ὁρῶν τοὺς ἐντὸς μὴ φροντίζοντας τῆς πολιορκίας, ἤρετο τὸν τρόπον, καὶ ἀπηγγέλη αὐτῷ. ὅπως οἱ ἐκ Ταρσοῦ καὶ Μελιτηνῆς Ἀγαρηνοὶ ἡττήθησαν. περὶ τῶν ἐκ Καρχηδόνος Ἀγαρηνῶν. ὅτι ὁ ῥὴξ Φραγγίας συνεμάχησε τοῖς Ῥωμαίοις κατὰ τῶν Ἀγαρηνῶν, καὶ ἡττηθέντων ἑάλω καὶ ὁ ἀρχηγὸς αὐτῶν παρὰ τοῦ ῥηγός, καὶ ὅσα ἐμηχανήσατο, καὶ διέδρα καὶ ὅσα ἐποίησεν. ὅτι ἐκ Ταρσοῦ πλοῖα ἐπολιόρκουν τὴν Εὔριπον, ἤνυσαν δὲ οὐδέν, καὶ ἐκ Κρήτης ἕτερα τὰς παραλίας Ῥωμαϊκὰς ἐδῄουν χώρας, ἀλλὰ κἀκεῖνα κακῶς ἀπηλλάγησαν. περὶ τῶν ἐξ Ἀφρικῆς νηῶν καὶ περὶ τῶν ἐκ τοῦ Ῥωμαϊκοῦ στόλου ἀποδράντων, καὶ ὅπως οὐδένα ἐκείνων ἀνελὼν τοῖς λοιποῖς ἐνεποίησε φόβον.

10. *Ὅτι ἐνίκησαν οἱ Ῥωμαῖοι τοὺς Ἀγαρηνοὺς ἐν τῇ ναυμαχίᾳ. ὅτι τῶν τοῦ στόλου εἰς οἰκοδομὰς ἀσχολουμένων οἱ Ἀγαρηνοὶ ἀδεῶς τὰ παράλια ἐκάκουν. περὶ τῆς γυναικός, ἣ προεῖπεν ὁ ἐν τῷ ναῷ τοῦ ἁγίου Ἀνδρέου μοναχὸς περὶ τοῦ Βασιλείου ὡς βασιλεύσει. ὅτι βασιλεύσαντος τοῦ Βασιλείου προσ-* PII356
ῆλθεν αὐτῷ ἡ γυνὴ μετὰ τοῦ υἱοῦ αὐτῆς, καὶ ἐτιμήθησαν. ὅπως τὸ ἔθνος τῶν Ῥὼς εἰς ἐπίγνωσιν ἦλθε Χριστοῦ.

11. *Ὅτι θανόντος τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου ὁ βασιλεὺς ἀπαρηγόρητος ἦν, καὶ ὅπως ὁ Σανταβαρηνὸς ἔδειξεν αὐτῷ τὸν τεθνεῶτα ἔφιππον. ὅσα ὁ Σανταβαρηνὸς κατὰ τοῦ υἱοῦ τοῦ βασιλέως Λέοντος ἐτύρευσε, καὶ ὅπως αὐτοῦ κατεῖπε πρὸς τὸν πατέρα, καὶ ὅσα ὁ Λέων ἔπαθεν. ἐξ οἵας λαβῆς ἐτελεύτησεν ὁ βασιλεύς, καὶ περὶ τοῦ διασώσαντος αὐτὸν ἐκ τοῦ ἐλάφου.*

12. Ὅτι ἐξώθησε τῆς ἐκκλησίας ὁ Λέων τὸν Φώτιον καὶ τὸν ἀδελφὸν Στέφανον πατριάρχην προεχειρίσατο. ὅπως ἐτίμησε τὸν τοῦ βασιλέως Μιχαὴλ νεκρόν. ὅτι πυρποληθέντα τὸν τοῦ ἁγίου Θωμᾶ ναὸν ὁ βασιλεὺς οὗτος ἀνεκαίνισεν. ὅπως τὸν Σανταβαρηνὸν ἠμύνατο. περὶ πατριαρχῶν. περὶ Βουλγάρων καὶ τοῦ ἄρχοντος αὐτῶν Συμεὼν καὶ ὅσα συνέβη ἐξ ἐκείνου Ῥωμαίοις. ὅτι ἐπῆλθον τοῖς Βουλγάροις οἱ Οὖγγροι. ἐπιβουλὴ κατὰ τοῦ βασιλέως Λέοντος. ὅτι τὴν τοῦ Ζαούτζη Ζωὴν ἔστεψεν ὁ Λέων.

13. Ὅτι καὶ τρίτην γαμετὴν ὁ Λέων ἠγάγετο. ὅτι καὶ τετάρτῃ ὡμίλησε γυναικί. περὶ πατριαρχῶν. ὅτι ἐν τῇ εἰς τὸν ἅγιον Μώκιον προελεύσει ἐπλήγη ὁ βασιλεὺς τὴν κεφαλήν. περὶ τῆς προρρήσεως τοῦ μοναχοῦ Μάρκου. ὅτι ἀποδιδράσκων ὁ Σαμωνᾶς κατελήφθη. ὅτι ἐξώρισε τὸν πατριάρχην Νικόλαον ὁ Λέων.

14. Ὅτι ἐξ ἐπιβουλῆς τοῦ Σαμωνᾶ ὁ δοὺξ Ἀνδρόνικος τοῖς Ἀγαρηνοῖς προσελήλυθεν. οἷα ἐμηχανᾶτο ὁ Σαμωνᾶς κατὰ τοῦ Ἀνδρονίκου τοῦ δουκός. ὅτι διέδρα Κωνσταντῖνος ὁ τοῦ Ἀνδρονίκου υἱός, καὶ ὅσα ἐλθόντι αὐτῷ ὁ βασιλεὺς προεφοίβασεν. ὅτι ἔστεψεν ὁ Λέων τὸν οἰκεῖον υἱόν, ὅσα κατεῖπεν ὁ Σαμωνᾶς τοῦ ἐκτομίου Κωνσταντίνου, καὶ ὅσα εἰς ἐκεῖνον ἐγένετο. ἐξώθησις ἐκ τῶν βασιλείων τοῦ Σαμωνᾶ. τελευτὴ τοῦ βασιλέως Λέοντος.

15. Ὅτι τὸν ἀνεψιὸν Κωνσταντῖνον ἐκτομίαν ποιῆσαι ὁ [1]) Ἀλέξανδρος ἐβούλετο. τελευτὴ τοῦ Ἀλεξάνδρου. τίνας ἐπιτρόπους κατέλιπε τῷ ἀνεψιῷ ὁ Ἀλέξανδρος.

---

1) ὁ] addit.

16. Ἀποστασία Κωνσταντίνου τοῦ δουκός. ἀναίρεσις[1]) τοῦ Δούκα Κωνσταντίνου. ὅτι πολλοὺς οἱ τοῦ βασιλέως ἐπίτροποι τῶν συναραμένων τῷ ἀποστάτῃ ἐκόλασαν. ὅτι διεφέροντο ἀλλήλων οἱ τοῦ βασιλέως ἐπίτροποι. ὅτι ἀνήχθη τοῦ βασιλέως μήτηρ εἰς τὰ βασίλεια καὶ τῆς διοικήσεως εἴχετο.

17. Ὅπως ὁ Λακαπηνὸς παρὰ τοῦ βασιλέως Κωνσταντίνου εἰς ἐπικουρίαν προσελήφθη. ὅπως ὁ παρακοιμώμενος κατεσχέθη παρὰ τοῦ Λακαπηνοῦ. ὅτι ὁ βασιλεὺς κατενεγκεῖν[2]) τὴν ἑαυτοῦ μητέρα τοῦ παλατίου ἐπεχείρει, τοῖς δὲ δάκρυσιν ἐκείνης μαλαχθεὶς ἀφῆκεν αὐτήν. ὅτι τὴν ἑαυτοῦ θυγατέρα ἐμνηστεύσατο ὁ Λακαπηνὸς τῷ βασιλεῖ Κωνσταντίνῳ. ὅτι ὁ Φωκᾶς Λέων τυραννίδι ἐπικεχείρηκε καὶ ἁλοὺς ἐτυφλώθη. ἐπιβουλὴ κατὰ τοῦ βασιλέως.

18. Ὅτι ἥλω παρὰ τῶν Βουλγάρων ἡ Ἀδριανούπολις. ὅτι ὁ ἐκ Τριπόλεως στόλος ἀπώλετο. ὅτι ὡμίλησαν ἀλλήλοις ὁ βασιλεὺς Ῥωμαίων καὶ ὁ Συμεών, οὐκ εἰρήνευσαν δέ. μετάθεσις τῶν ἀρχιερέων. ὅτι Πέτρος ὁ τοῦ Συμεὼν υἱὸς ἐσπείσατο[3]) καὶ συνήφθη αὐτῷ ἡ τοῦ βασιλέως ἐγγόνη.

19. Ὅπως καὶ τὸν υἱὸν αὐτοῦ Χριστοφόρον προεβίβασε τοῦ βασιλέως Κωνσταντίνου, εἶτα τοὺς λοιποὺς δύο. περὶ πατριαρχῶν. τελευτὴ τοῦ βασιλέως Χριστοφόρου.

20. Ὅτι διαδόσεις ἐποίει ὁ βασιλεὺς Ῥωμανός, ἐξιλεούμενος τὸν θεὸν διὰ τὴν ἐπιορκίαν καὶ τὰ χρέα τῶν ἐν τῇ πόλει ἀπέτισεν. περὶ τοῦ ἁγίου

---

1) ἀναίρεσις — 20, 4, μειρακίων] om. 2) κατενεγκεῖν] καταγαγεῖν sic dicit, ut alii recentiorum, Zonaras paullo ante cum genitivo, cui hoc loco addit praep. ἐκ. 3) ἐσπείσατο Duc., ἐπείσατο Wolf.

μανδιλίου. περὶ τῶν συμφυῶν μειρακίων. καθαίρεσις ἐκ τῆς βασιλείας[1]) *Ῥωμανοῦ τοῦ Λακαπηνοῦ. δίκαιος εἶ, κύριε, καὶ εὐθεῖς*[2]) *αἱ κρίσεις σου.*

21. *Καθαίρεσις ἐκ τῆς βασιλείας καὶ τῶν υἱῶν τοῦ Λακαπηνοῦ καὶ τελευτὴ αὐτῶν καὶ τοῦ πατρὸς αὐτῶν.*[3]) *οἷος ἦν ὁ Κωνσταντῖνος [καὶ περὶ τὰ ἤθη.*[4])] *περὶ ἐπιβουλῆς. περὶ Οὔγγρων.*

22. *Περὶ τοῦ πατριάρχου Θεοφυλάκτου. περὶ τοῦ πατριάρχου Πολυεύκτου. περὶ τῆς τιμίας χειρὸς τοῦ Προδρόμου. περὶ τῶν*[5]) *Ἀγαρηνῶν. ὅτι ὁ τοῦ βασιλέως υἱὸς Ῥωμανὸς ἐπεβούλευσε τῷ πατρί. τελευτὴ τοῦ βασιλέως Κωνσταντίνου.*

23. *Ὅτι ἔστεψεν ὁ Ῥωμανὸς τὸν υἱὸν αὐτοῦ τὸν*
PII357 *Βασίλειον. ὅτι τὰ πλείω τῆς Κρήτης εἷλεν ὁ Φωκᾶς Νικηφόρος. ὅτι ὁ Φωκᾶς Λέων ὁ τοῦ Νικηφόρου ἀδελφὸς τῷ Χαμδὰν*[6]) *πολεμήσας ἐνίκησεν. ὅτι αὖθις ὁ Νικηφόρος τῷ Χαμδὰν*[6]) *συμβαλὼν ἤττησεν αὐτὸν καὶ τὸ Χάλεπ ἐπόρθησεν. τελευτὴ τοῦ βασιλέως Ῥωμανοῦ. ὅπως ὁ Φωκᾶς βασιλειᾶν ὑποπτευόμενος κατεσοφίσατο τὸν παρακοιμώμενον Βρίγγαν. ὅτι θανόντος τοῦ τῶν Βουλγάρων ἄρχοντος Πέτρου οἱ κομητόπωλοι ἀπεστάτησαν. ὅπως ὁ Φωκᾶς βασιλεὺς ἀνερρήθη.*

24. *Οἷα ὁ Βρίγγας ἠπείλησε τῷ δήμῳ παντί. ὅτι ὁ παρακοιμώμενος Βασίλειος λαὸν ἀπέστειλε καὶ τὴν τοῦ Βρίγγα οἰκίαν κατέστρεψε καὶ ἄλλων. ὅτι ἐστέφθη παρὰ τοῦ πατριάρχου ὁ Φωκᾶς. ὅτι συνεμίγη*

---

1) *καθαίρεσις ἐκ τῆς βασιλείας* pro *ἐκ τῆς βασιλείας καθαίρεσις* 2) *εὐθὺς* pro *εὐθεῖαι*, quod scripsi *εὐθεῖς* 3) *καθαίρεσις—αὐτῶν*] addit 4) *καὶ περὶ τὰ ἤθη*] addit Duc. 5) *τῶν*] addit: *περὶ Ἀγ.* om. Wolfius, addit Duc. 6) *χαμδὰν* pro *Χαμαδᾶν*.

ὁ βασιλεὺς τῇ Θεοφανοῖ. ὅτι ἐκωλύθη ὁ βασιλεὺς παρὰ τοῦ πατριάρχου ἐπιβῆναι τοῦ θυσιαστηρίου. περὶ τῶν ἐν Σικελίᾳ Ἀγαρηνῶν. ὅτι ὁ Τζιμισκῆς κατετροπώσατο τοὺς ἐν Κιλικίᾳ Ἀγαρηνούς.

25. *Ὅτι ὁ βασιλεὺς ἐν Κιλικίᾳ ἐστράτευσε καὶ πόλεις αὐτῶν εἷλεν. περὶ τῶν πυλῶν τῆς Ταρσοῦ καὶ τῆς Μοψουεστίας. περὶ τῆς Κύπρου. ὅτι τῆς Συρίας πόλεις πορθήσας καὶ τὴν Ἀντιόχειαν πολιορκῶν ἀπανέστη καὶ περὶ τοῦ ἁγίου κεραμίου.*[1]) *ὅπως ὁ Φωκᾶς Νικηφόρος διέκειτο περὶ τὸ ὑπήκοον, καὶ ὅτι οὐδὲ τῶν ἐκκλησιαστικῶν ἀπείχετο. ὅσα εἰς κάκωσιν τῶν ὑπηκόων οὗτος ὁ βασιλεὺς ἐπενόει καὶ οἷα ἐθέσπιζεν*[2]) *ἄθεσμα. ὅτι παρὰ τοῦ Φωκᾶ τὸ τεταρτηρὸν ἐπενοήθη καὶ ἡ προτίμησις τῆς νέας χαραγῆς.*

26. *Περὶ τοῦ τείχους τῶν πρὸς ἕω*[3]) *ἀνακτόρων. ὅπως ἑάλω ἡ Ἀντιόχεια ἐπὶ τούτου τοῦ αὐτοκράτορος, καὶ ὅπως ἐκεῖνος διετέθη πρὸς τοὺς ἁλόντας αὐτὴν καὶ διὰ τίνα αἰτίαν.*

27. *Περὶ τῆς μέσον τῶν Ἀρμενίων καὶ τῶν πλωίμων φιλονεικίας, καὶ ὅπως ὁ δῆμος διὰ ταύτης ἐξεμάνη*[4]) *κατὰ τοῦ βασιλέως. ὅπως τοῦ δήμου φοβηθέντος καὶ ἐκ τοῦ θεάτρου ἀποδιδράσκοντος πολλοὶ διεφθάρησαν. περὶ τῶν Οὔγγρων. ὅτι ὁ βασιλεὺς τὸν Ῥὼς κεκίνηκε κατὰ τῶν Βουλγάρων.*

28. *Ὅτι λιμὸς γέγονεν ἐπὶ τοῦ Φωκᾶ. ὁ δὲ τούτῳ εἰς κέρδος ἐχρήσατο. τί ἐποίησεν ὁ Μακεδὼν Βασίλειος σιτοδείας ἐπὶ τῶν ἡμερῶν αὐτοῦ γενομένης. περὶ Λέοντος τοῦ ἀδελφοῦ τοῦ Φωκᾶ. ὅτι*

---

1) *κεραμίου* pro *κεραμίδος* 2) *ἐθέσπιζεν* pro *ἐθέσπισεν* 3) *ἕω*] *ἐκ* Wolfius 4) *ἐξεμάνη* pro *ἐξέμηνε.*

κατὰ τοῦ βασιλέως ἠρέθισε τὸν Τζιμισκῆν ἡ Θεοφανώ. ὅτι λογοθέτην τοῦ δρόμου προεβάλετο τὸν Τζιμισκῆν ὁ Φωκᾶς. ἐπιβουλὴ τοῦ Τζιμισκῆ κατὰ τοῦ Φωκᾶ, συμπραττούσης καὶ τῆς Θεοφανοῦς. ἀναίρεσις τοῦ Φωκᾶ Νικηφόρου.

1. *Ὅτι τὸν παρακοιμώμενον Βασίλειον τοῖς τῆς βασιλείας ἐπέστησε πράγμασιν. ὅτι ἐκωλύθη ὁ Τζιμισκῆς εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. πότε ἐστέφθη ὁ Τζιμισκῆς. πότε οἱ Μανιχαῖοι ἐκ τῆς ἑῴας εἰς τὰ ἑσπέρια μετηνέχθησαν. περὶ πατριαρχῶν. περὶ τῶν Ἀγαρηνῶν. ὅτι οἱ Ῥὼς μετακληθέντες κατὰ τῶν Βουλγάρων, καὶ αὐτοὺς καταγωνισάμενοι, ἐπανελθεῖν εἰς τὰ ἴδια οὐκ ἤθελον, καὶ περὶ τοῦ Καλοκυροῦ. ὅτι ὁ Σκληρὸς Βάρδας ἐστάλη κατὰ τῶν Ῥώς. ὅπως ὁ Σκληρὸς τοὺς Ῥὼς κατηγωνίσατο καὶ τοὺς συμμαχοῦντας αὐτοῖς.*

2. *Ὅπως ὁ Φωκᾶς Βάρδας τυραννίδι ἐπικεχείρηκε, καὶ ὁ πατὴρ αὐτοῦ καὶ ὁ ἀδελφὸς ἀποδρᾶναι μελετήσαντες ἐγνώσθησαν. ὅτι τοῦ Σκληροῦ ἐπελθόντος τῷ Φωκᾷ οἱ σὺν ἐκείνῳ προσῆλθον τῷ Σκληρῷ, καὶ ὁ Φωκᾶς τῷ βασιλεῖ προσεχώρησε, καὶ ἐκάρη κληρικὸς καὶ περιωρίσθη εἰς Χίον. ὅτι ἔγημεν ὁ βασιλεὺς τὴν θυγατέρα τοῦ βασιλέως Κωνσταντίνου. ὅτι ἐξεστράτευσε κατὰ τῶν Ῥώς, καὶ πόλεις καὶ φρούρια ὑπ' αὐτῶν κατεχόμενα ἔλαβεν. ἅλωσις τῆς Περσθλάβας. πολιορκία τοῦ Δοροστόλου ἤτοι τῆς Δρίστρας, καὶ ὅπως γέγονεν ἡ πολιορκία.*

3. *Ἡ τελευταία μάχη πρὸς Σφενδοσθλάβον καὶ τοὺς Ῥώς. ὅτι καὶ τῆς ἐκ θεοῦ βοηθείας ἔτυχον οἱ Ῥωμαῖοι. ἅλωσις τῆς Δρίστρας. ὅπως ἐγνώσθη ὅτι ὁ ἅγιος Θεόδωρος τῷ βασιλεῖ συνεμάχησε. ὅτι προσῆλθε τῷ βασιλεῖ ὁ Σφενδοσθλάβος καὶ προσεδέχθη.*

4. Ὅτι ἐπανελθὼν ὁ βασιλεὺς ἐθριάμβευσε. περὶ PII358
τοῦ ἐν τοῖς Χαλκοῖς ναοῦ τοῦ σωτῆρος. περὶ πατριαρχῶν. ὅτι ἀποστατησάντων τῶν ἑῴων βαρβάρων ἐξεστράτευσεν ὁ βασιλεὺς κατ' αὐτῶν, καὶ ὅθεν ὁ παρακοιμώμενος ἠρεθίσθη ἐπιβουλεῦσαι αὐτῷ[1]) καὶ ὅπως ἐπεβούλευσεν. τελευτὴ Ἰωάννου τοῦ Τζιμισκῆ. ὅτι αὖθις ὁ Φωκᾶς Λέων καὶ ὁ υἱὸς αὐτοῦ Νικηφόρος μελετήσαντες ἐπιθέσθαι τῇ βασιλείᾳ ἐτυφλώθησαν.

5. Ὅτι ἀνεκλήθη ἐκ τῆς ὑπερορίας ἡ μήτηρ τῶν βασιλέων. ὅτι ἀπεστάτησεν ὁ μάγιστρος Βάρδας ὁ Σκληρός, καὶ ὅσα ἐν τῇ ἀποστασίᾳ αὐτοῦ γεγόνασι. πῶς ὁ Σκληρὸς τῆς Νικαίας ἐκράτησεν. ὅτι τῷ Φωκᾷ Βάρδᾳ τὸν κατὰ τοῦ Σκληροῦ ἐνεπίστευσε πόλεμον ὁ παρακοιμώμενος. ὅπως ἐμονομάχησαν ὁ Σκληρὸς καὶ ὁ Φωκᾶς καὶ ὅπως οἱ περὶ τὸν Σκληρὸν ἐτράπησαν εἰς φυγήν. φυγὴ τοῦ Σκληροῦ πρὸς Βαβυλῶνα καὶ κάθειρξις αὐτοῦ καὶ τῶν μετ' αὐτοῦ.

6. Περὶ πατριαρχῶν. περὶ Βουλγάρων καὶ τοῦ Σαμουὴλ καὶ τῶν ἀδελφῶν αὐτοῦ. ὅτι ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ Βουλγάρων καὶ τὴν Τριάδιτζαν ἔμελλε πολιορκεῖν. ὅπως ὁ Κοντοστέφανος ἀπάτῃ μετῆλθε τὸν βασιλέα καὶ πέπεικεν ἀναζεῦξαι, καὶ ὅσα οἱ Βούλγαροι τοῖς Ῥωμαίοις ἐποίησαν[2]) ἀναζευγνύουσι. ὅτι ὁ Φωκᾶς βασιλεὺς ἀνερρήθη. ὅτι ὁ Σκληρὸς καὶ οἱ παρὰ τοῖς Ἀγαρηνοῖς Ῥωμαῖοι ἀνείθησαν τῶν δεσμῶν καὶ ἐπανελθεῖν εἰς τὰ Ῥωμαίων ὅρια ἠδυνήθησαν. ὅτι κοινωνίαν θέσθαι μετὰ τοῦ Φωκᾶ ἐπὶ τῇ τυραννίδι ἠθέλησεν ὁ Σκληρός, καὶ ὅπως κατεσχέθη καὶ ἐδεσμήθη.

---

1) αὐτῷ] αὐτοῦ 2) ἐποίησαν τοῖς Ῥ.] invertit.

7. Ὅτι πρὸ τοῦ δεσμηθῆναι λάθρᾳ ὡς αὐτόμολον ἔπεμψε τὸν υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα ὁ Σκληρός. περὶ τοῦ Δελφινᾶ. ὅπως ἑάλω καὶ ἀνεσκολοπίσθη. ὅπως ὁ Φωκᾶς κατέστρεψε τὴν ζωήν. οἷος ὁ βασιλεὺς Βασίλειος τὸ ἦθος ἐγένετο μετὰ τὴν κατάλυσιν τοῦ Φωκᾶ. ὅπως τὸν παρακοιμώμενον ὁ βασιλεὺς ἀπεσκευάσατο, καὶ ὅπως πρὸς ἐκεῖνον διετέθη. τελευτὴ τοῦ παρακοιμωμένου. οἷος ἦν ὁ βασιλεὺς πρὸ τοῦ τῆς ἐξουσίας ἐπιλαβέσθαι, καὶ οἷος μετὰ ταῦτα ἐγένετο καὶ ὅπως ἐκέχρητο τῷ ἀδελφῷ, καὶ οἷος ἦν ἐκεῖνος τὸ ἦθος. ὅτι αὖθις ὁ Σκληρὸς τῆς τυραννίδος εἴχετο καὶ ὅπως ἐσπείσατο, καὶ προσῆλθε τῷ βασιλεῖ καὶ ἐδέχθη. ὅτι κληρονόμος τῆς Ἰβηρίας καταλειφθεὶς ὁ βασιλεὺς ἀπῆλθεν ἐκεῖ. ὅσα ἐν Ἰβηρίᾳ καὶ Φοινίκῃ κατώρθωσε.

8. Περὶ πατριαρχῶν. περὶ τοῦ Σαμουὴλ καὶ τῶν Βουλγάρων, καὶ ὅσα κατ' αὐτῶν ὁ βασιλεὺς ἐστήσατο τρόπαια, τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ διὰ τῶν στρατηγῶν, καὶ ὅσας πόλεις εἷλε καὶ φρούρια. οἷα ὁ βασιλεὺς ἐδογμάτισεν. οἷος ἦν ὁ βασιλεὺς οὗτος τὸ ἦθος. καὶ οἷος ἦν περὶ χρήματα καὶ ὅσα συνῆξε καὶ ἐθησαύρισεν.

9. Ὅτι οἱ Ἀγαρηνοὶ τὸν ἐν Ἱερουσαλὴμ καθεῖλον ναόν. ὅσα ἐν Βουλγαρίᾳ ἐποίησεν ὁ βασιλεὺς Βασίλειος. ὅπως τοὺς φραγμοὺς τῶν ὀρῶν καθεῖλεν ὁ βασιλεὺς καὶ εἰς Βουλγαρίαν εἰσέβαλε, καὶ περὶ τῆς τελευτῆς τοῦ Σαμουήλ. ὅτι ὁ τοῦ Σαμουὴλ υἱὸς ἀνῃρέθη παρὰ συγγενοῦς αὐτοῦ. ὅτι πολλοὶ τῶν ἐπισήμων Βουλγάρων προσερρύησαν τῷ βασιλεῖ. ὅτι καὶ αὖθις ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ Βουλγάρων καὶ ὅσα ἐποίησεν. ὅτι προσερρύη τῷ βασιλεῖ ἡ γυνὴ καὶ οἱ παῖδες τοῦ Βλαδισθλάβου

Ἰωάννου τοῦ υἱοῦ Ἀαρών. ὅτι κατασχὼν τὴν Βουλγαρίαν ὁ βασιλεὺς εἰς Ἀθήνας ἀπῆλθε τῇ θεομήτορι ἀνθομολογούμενος. περὶ πατριαρχῶν. ἐκστρατεία κατὰ Ἀβασγίας. νίκη Ῥωμαίων κατὰ τῶν Ἰβήρων. περὶ πατριαρχῶν. τελευτὴ Βασιλείου.

10. Οἷος ἦν τὸ ἦθος ὁ Κωνσταντῖνος καὶ τὴν διαγωγήν. περὶ τῶν θυγατέρων τοῦ βασιλέως καὶ τῶν ἐκτομιῶν αὐτοῦ θεραπόντων. περὶ Πατζινάκων. ὅπως ταῖς εἰσπράξεσιν ὁ βασιλεὺς οὗτος ἐξέτριψε τὸ ὑπήκοον. ὅπως τὸν Ἀργυρόπωλον[1]) Ῥωμανὸν γαμβρὸν εἰς τὴν θυγατέρα ὁ βασιλεὺς ἐποιήσατο, τὴν ἐκείνου σύμβιον ἀποκαρῆναι ποιήσας. καὶ Καίσαρα τοῦτον ἀνεῖπε καὶ διάδοχον τῆς βασιλείας κατέλιπεν. τελευτὴ τοῦ βασιλέως Κωνσταντίνου.

11. Ὅτι ἐξέκοψε τὸ ἀλληλέγγυον καὶ ἐπηύξησε τὴν ῥόγαν τῶν κληρικῶν τῆς μεγάλης ἐκκλησίας καὶ χρεοκοπίαν ἐποίησεν. ὅτι ὁ Προυσιανὸς ὑποπτευθεὶς ἐπὶ τυραννίδι ἐτυφλώθη. καὶ ὁ Διογένης Κωνσταντῖνος ὁμοίᾳ αἰτίᾳ καθείρχθη. ὅτι ἐσπείσατο τοῖς Ἀβασγοῖς καὶ τὴν ἰδίαν ἀνεψιὰν νύμφην ἔδωκεν. ὅτι οἱ Ἀγαρηνοὶ καιροῦ[2]) λαβόμενοι τῶν πόλεων ἐπελάβοντο, ἃς παρὰ τοῦ Φωκᾶ καὶ τοῦ Τζιμισκῆ ἀφῃρέθησαν. ὅτι ἐστράτευσε κατὰ τοῦ[3]) Χάλεπ, καὶ PII359
προσῆλθεν αὐτῷ πρεσβεία εἰρήνην αἰτοῦσα, ὁ δὲ οὐκ ἐσπείσατο. ὅτι Ἄραβες ἀθρόον τῷ χάρακι ἐπελθόντες ἐτρέψαντο τοὺς Ῥωμαίους, καὶ ὁ βασιλεὺς ἔφυγε, καὶ τὸ στρατόπεδον διηρπάγη.

12. Ὅτι ἐπανελθὼν ὁ βασιλεὺς εἰς τὴν πόλιν βαρέως τοῖς ὑπ' αὐτὸν προσεφέρετο. περὶ τῆς παρὰ

1) Ἀργυρόπωλον] ἀργυρο[πλ] 2) καιροῦ pro καιρὸν 3) τοῦ pro τό.

τοῦ Ῥωμανοῦ δομηθείσης μονῆς. περὶ τοῦ υἱοῦ τοῦ Χαλεπίτου. περὶ Κωνσταντίνου τοῦ Διογένους. περὶ διαφόρων ἐθνῶν τὰ ὑπὸ Ῥωμαίους ληιζομένων.[1] *περὶ τῆς αὐτογράφου ἐπιστολῆς τοῦ Χριστοῦ. περὶ τῶν μεταναστευόντων διὰ τὸν λιμόν. περὶ σεισμῶν.*

13. *Ὅτι πρότερον ὁ βασιλεὺς κατέτεινεν ἑαυτὸν περὶ μίξιν παιδοποιΐας ἐφιέμενος, ἀπογνοὺς δὲ ταύτης, οὐ συνεχῶς προσῄει τῇ βασιλίσσῃ, ἡ δὲ αὐτὸν ἐμίσησεν. ὅπως ὁ Παφλαγὼν Μιχαὴλ προσελήφθη παρὰ τοῦ βασιλέως, καὶ ὡς ἠράσθη αὐτοῦ ἡ Ζωή, καὶ ὅτι διὰ τὸν ἔρωτα ὁ βασιλεὺς Ῥωμανὸς ἐπεβουλεύθη καὶ τέθνηκε. [τελευτὴ τοῦ βασιλέως Ῥωμανοῦ.*[2]*]*

14. *Οἵως διετέθη πρὸς τὴν βασιλίδα ὁ Μιχαήλ. οἷος ἦν τὸ ἦθος ὁ τοῦ βασιλέως ἀδελφὸς Ἰωάννης. περὶ τῆς νόσου τοῦ βασιλέως Μιχαήλ. περὶ τοῦ Δαλασσηνοῦ καὶ διὰ τίνα αἰτίαν καθείρχθη. περὶ τοῦ ἐξ Ἀφρικῆς στόλου. περὶ Παγκρατίου τοῦ ἄρχοντος Ἀβασγίας. περὶ Σκυθῶν. [περὶ Ἀράβων.*[2]*]*

15. *Ὅτι μετὰ τῶν Αἰγυπτίων οἱ Ῥωμαῖοι ἐσπείσαντο. ὅτι ὁ Μανιάκης τὴν Σικελίαν ὑπὸ Σαρακηνῶν κατεχομένην Ῥωμαίοις ὑπέταξε. ὅπως ὑπὸ Ἀράβων ἐπεβουλεύθη ἡ Ἔδεσα, καὶ ὅπως ἐγνώσθη τὰ*[3] *τῆς ἐπιβουλῆς. ὅτι ὁ Καρχηδόνιος*[4] *κρατῶν κατὰ τῆς Σικελίας ἐπῆλθε. καὶ ὅπως ἡττήθη παρὰ τοῦ Μανιάκη καὶ ἔφυγε, καὶ ὅπως ὁ Μανιάκης δέσμιος ἐκεῖθεν ἀχθεὶς καθείρχθη. ὅτι ἡ Σικελία αὖθις ἐλήφθη ὑπὸ τῶν Ἀγαρηνῶν ἄνευ μιᾶς πόλεως τῆς Μεσήνης. ὅτι ἐφίετο τοῦ πατριαρχείου ὁ ὀρφανοτρόφος. ὅπως πρὸς τὸ ὑπήκοον διέκειτο ὁ ὀρφα-*

1) *ληιζομένων*] addit Duc. 2) *τελ.—Ῥ.* et *περὶ Ἀράβων* addit Duc. 3) *τὰ* pro *τὸ* 4) *καρχηδόνιος* pro *Καρχηδόνος*.

νοτρόφος καὶ ἡ ἀδελφὴ αὐτοῦ. ὅτι ἐπεβουλεύθη παρὰ τῆς βασιλίδος Ζωῆς ὁ ὀρφανοτρόφος.

16. Ὅτι ἡ νόσος τῆς παραφορᾶς κατεκράτησε σφόδρα τοῦ βασιλέως. ὅπως ἔσχε περὶ τὴν βασίλισσαν ὁ βασιλεὺς Μιχαήλ. ὅτι καὶ ὑδέρῳ περιέπεσεν ὁ βασιλεὺς Μιχαήλ. ὅτι καὶ ὑδέρῳ περιέπεσεν ὁ βασιλεὺς Μιχαήλ. ὅτι ὁ Καλαφάτης Μιχαὴλ υἱοθετήθη τῇ βασιλίσσῃ καὶ Καῖσαρ ἀνηγορεύθη.

17. Ὅπως ἀπεστάτησε πάλιν τὸ τῶν Βουλγάρων ἔθνος, καὶ ὅπως εἰς δύο ἀρχηγοὺς περιέστη, καὶ ὅπως ὁ εἷς τὸν ἄλλον διέφθειρε, παρασκευάσας τὸ πλῆθος λιθολευστῆσαι αὐτόν. ὅτι ὁ βασιλεὺς ὑδεριῶν ἐξεστράτευσε κατὰ Βουλγάρων. ὅπως ὁ Ἀλουσιανὸς ἔφυγεν ἐκ τῶν Ῥωμαίων εἰς τοὺς Βουλγάρους, καὶ ὅπως ἐγνωρίσθη τοῦ Ἀαρὼν εἶναι υἱός. καὶ ὅπως τὸν Δολιανὸν κατασχὼν ἀπετύφλωσεν. ὅτι προσῆλθεν ὁ Ἀλουσιανὸς τῷ βασιλεῖ. ὅπως ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὴν μονὴν τῶν ἁγίων Ἀναργύρων, καὶ ἀπεκάρη. τελευτὴ τοῦ βασιλέως Μιχαὴλ τοῦ Παφλαγόνος.

18. Ὅτι εἰσῆλθεν εἰς τὰ βασίλεια ὁ Καῖσαρ Μιχαήλ. ἀνάρρησις εἰς βασιλέα τοῦ Καίσαρος, καὶ οἷος ἦν τὸ ἦθος ὁ Μιχαήλ. ὅπως διετέθη πρὸς τὸν θεῖον αὐτοῦ τὸν ὀφανοτρόφον. ἐξορία τοῦ ὀρφανοτρόφου. ὅτι τοὺς οἰκείους συγγενεῖς ὁ Μιχαὴλ ἐξευνούχισε.[1])

19. Ὅτι αἰτιάσεις κατὰ τῆς βασιλίδος Ζωῆς πλασάμενος ὁ Μιχαὴλ ἀποκείρει αὐτὴν πρότερον εἰς τὴν τοῦ Πρίγκιπος νῆσον περιορίσας αὐτήν.[2]) ὅτι διὰ τὴν στάσιν ἀνεκομίσθη ἡ βασιλίς, καὶ ὁ λαὸς

---

1) ἐξευνούχισε, sed mediis syllabis duabus evanidis, pro ὑβρίζει 2) ὅτι αἰτιάσεις — αὐτὴν bis in fine paginae et initio sequentis.

μελενδυτοῦσαν ἰδὼν αὐτὴν εἰς πλέον τεθύμωται. ὅτι πρὸς τὴν τῆς Ζωῆς ἀδελφὴν τὴν Θεοδώραν τὸ πλῆθος τραπὲν Αὐγοῦσταν αὐτὴν ἀνηγόρευσεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ὅτι εἰς τὴν μονὴν τοῦ Στουδίου ὁ Μιχαὴλ καὶ ὁ θεῖος αὐτοῦ ὁ Κωνσταντῖνος ἀπῆλθον. ὅτι ἐτυφλώθησαν ὁ βασιλεὺς Μιχαὴλ καὶ ὁ θεῖος αὐτοῦ ὁ νωβελλίσιμος Κωνσταντῖνος, εἶτα καὶ ὑπερωρίσθησαν.

20. Ὅτι ἄνδρα ἡ βασιλὶς Ζωὴ ἐμνηστεύετο. ὅπως ἀπεδοκιμάσθη ὁ Δαλασσηνός. περὶ τοῦ Μονομάχου, καὶ ὅπως παρὰ τῆς βασιλίσσης Ζωῆς ἡρέθη πρὸς βασιλείαν καὶ πρὸς συνοίκησιν. ὅτι ἐστέφθη ὁ Μονομάχος.

21. Οἷος ἦν τὴν γνώμην ὁ Μονομάχος. περὶ τοῦ Βοϊσθλάβου καὶ ὅσα παρ' ἐκείνου ἐγένοντο. περὶ τοῦ Μονομάχου καὶ τῆς Σκληραίνης τοῦ πρὸς ἀλλήλους ἔρωτος. ὅτι ἐπανήχθη ἐκ τῆς Μιτυλήνης ἡ Σκλήραινα, καὶ ὅπως αὐτῇ ἐχρήσατο ὁ βασιλεύς. τελευτὴ τῆς Σκληραίνης.

PII360 22. Περὶ τῆς τοῦ Μανιάκη ἀποστασίας καὶ ὅπως διελύθη. ἀποστασία τοῦ Ἐρωτικοῦ. περὶ πατριαρχῶν. ὅτι ἐτυφλώθη ὁ γεγονὼς ὀρφανοτρόφος Ἰωάννης. ἀποστασία τοῦ Τορνικίου Λέοντος.

23. Ὅτι ἐτυφλώθησαν ὁ Τορνίκιος καὶ ὁ Βατάτζης.

24. Περὶ τῶν Ῥὼς[1]) κατὰ τῆς βασιλίδος τῶν πόλεων ἐπελεύσεως. ναυμαχία κατὰ τῶν Ῥὼς καὶ ἧττα αὐτῶν.

25. Ὅπως οἱ Τοῦρκοι κατὰ τῆς ὑποκειμένης Ῥωμαίοις ἑῴας μοίρας ἐχώρησαν, καὶ τίνες οὗτοι. ὅπως

---

1) Ῥὼς] ϱῶς hic et mox.

οἱ Τοῦρκοι ταῖς ὑπὸ Ῥωμαίους ἐπῆλθον χώραις. περὶ τῆς κωμοπόλεως τοῦ Ἄρτζε. πόλεμοι Ῥωμαίων συμμαχομένων[1]) *Ἴβηρσι πρὸς τοὺς Τούρκους καὶ ἅλωσις τοῦ Λιπαρίτου ἄρχοντος τῶν Ἰβήρων. ὅτι αὐτὸς ὁ Σουλτὰν κατὰ Ῥωμαίων ἐχώρησε.*

26. *Περὶ Πατζινάκων καὶ ὅπως εἰς τὰ παρίστρια διέβησαν. περὶ τῆς τῶν Σκυθῶν προσελεύσεως. περὶ τῆς τῶν ἑτέρων Σκυθῶν ἐπελεύσεως, καὶ ὅπως ἑάλωσαν. ὅπως οἱ Σκύθαι τῆς ὑπὸ Ῥωμαίους δουλείας ἀφηνίασαν, εἶτα ἐσπείσαντο.*

27. *Περὶ ἐπιβουλῆς ἣν ὁ Βοΐλας ἐμελέτησε*[2]) *καὶ οἷος ἦν ἐκεῖνος. ὅτι οὐ κατὰ λόγον ἀναλίσκων τὰ δημόσια χρήματα εἰς πόρους ἀπεῖδεν οὐκ εὐαγεῖς ὁ Μονομάχος.*

28. *Τελευτὴ τῆς βασιλίδος Ζωῆς. περὶ τῆς ἐξ Ἀλανῶν παλλακευομένης τῷ βασιλεῖ. περὶ τῆς νόσου ἢ τῶν νόσων τοῦ Μονομάχου. περὶ τοῦ λογοθέτου τοῦ δρόμου Ἰωάννου. περὶ τοῦ Λειχούδου Κωνσταντίνου. ὅτι τὸν πρωτεύοντα ἠβουλήθη ὁ βασιλεὺς καταλιπεῖν διάδοχον τῆς ἀρχῆς.*

29. *Ὅτι εὐτυχῶς*[3]) *ἤνυσε τὴν ἀρχὴν ἡ Θεοδώρα. ὅτι ὁ Στρατιωτικὸς Μιχαὴλ εἰς τὴν τῆς βασιλείας ἀνήχθη περιωπήν. τελευτὴ τῆς βασιλίδος Θεοδώρας.*

1. *Ὅτι τοῖς στρατιωτικοῖς ἄρχουσιν οὐ δεξιῶς ἐχρήσατο ὁ βασιλεὺς Μιχαήλ. ἀποστασία τοῦ Μονομάχου Θεοδοσίου.*

2. *Προσέλευσις τῶν στρατιωτικῶν ἀρχόντων πρὸς τὸν παρασπόνδυλον. ὅπως ὁ Βρυέννιος*[4]) *ἐτυ-*

---

1) *συμμαχομένων* scripsi pro *συμμαχουμένων* 2) *ἣν ὁ βοΐλας ἐμελέτησε*, sed litteris partim evanidis et charta lacera, unde *τοῦ Βοΐλα* tantum in ed. 3) *εὐτυχῶς* pro *εὐτυχῶν* 4) *Βρυέννιος*] *βρυένιος*.

φλώθη. ἀποστασία τοῦ Κομνηνοῦ καὶ τῶν λοιπῶν[1]) *στρατιωτικῶν ἀρχόντων. ὅτι ἐκράτησε Νικαίας ὁ Κομνηνός. ὅτι συμβαλόντες τοῖς περὶ τὸν Κομνηνὸν οἱ βασιλικοὶ ἡττήθησαν.*

3. *Ἀποστολὴ πρέσβεων πρὸς τὸν Κομνηνὸν περὶ εἰρήνης. ὅσα τῷ βασιλεῖ διὰ τῶν πρέσβεων ὁ Κομνηνὸς ἐδήλωσεν. ὅτι ἃ ᾔτησεν ὁ Κομνηνὸς πληρῶσαι ὁ βασιλεὺς ἐπηγγείλατο, καὶ πάλιν οἱ πρέσβεις πρὸς αὐτὸν ἀπεστάλησαν. οἷα ἐγγράφως*[2]) *τοὺς συγκλητικοὺς· ἀπήτησεν ὁ βασιλεὺς Μιχαήλ. ὅτι στασιώδεις τινὲς εἰς τὴν μεγάλην ἐκκλησίαν συνήχθησαν, καὶ ὅτι βασιλέα τὸν Κομνηνὸν ἀνηγόρευσαν καὶ τοῦ πατριάρχου συνευδοκοῦντος.*[3]) *ἔκπτωσις τῆς βασιλείας Μιχαὴλ τοῦ γέροντος.*

4. *Ὅτι πρῴην οἰκονόμων καὶ σκευοφυλάκων τῆς μεγάλης ἐκκλησίας παρὰ τοῦ βασιλέως προβαλλομένων οἱ Κομνηνοὶ καὶ ἄμφω τῇ ἐκκλησίᾳ ἀπένειμαν.*[4]) *ὅτι ἀποτόμως τῇ τῶν κοινῶν πραγμάτων διορθώσει ἐπικεχείρηκε καὶ γέγονεν ἅπασι μισητός. ὅτι οὐδὲ αὐτῶν τῶν τῷ θεῷ καθωσιωμένων ἐφείσατο.*

5. *Ὅτι ὁ πατριάρχης ἤθελεν ἐπιτάσσειν τῷ βασιλεῖ καὶ ἠπείλει αὐτῷ. ἐξορία τοῦ πατριάρχου Μιχαήλ. τελευτὴ τοῦ πατριάρχου ἐν τῇ ἐξορίᾳ. περὶ πατριαρχῶν. ὅπως τὰ δικαιώματα τῆς ἐλευθερίας τῶν Μαγγάνων ἔλαβεν ὁ βασιλεὺς ἐκ τοῦ Λειχούδη.*

6. *Ἐκστρατεία κατὰ τῶν Οὔγγρων καὶ Πατζι-*

---

1) *καὶ τῶν λοιπῶν*] addit 2) *ἐγγράφως* pro *ἐγγράφω* 3) *συνευδοκοῦντος* pro *συνευδικοῦντος* 4) *ἀπένειμαν*] *ἀπένειμ*, ultima compendio supra scripta, unde *ἀπένειμε* Wolfius.

νάκων. ὅπως τὸν ἐκ τῆς δρυὸς κίνδυνον ἐξέφυγεν ὁ βασιλεὺς καὶ οἱ περὶ αὐτόν.

7. Ὅπως τὴν βασιλείαν ἀπέθετο ὁ Κομνηνὸς καὶ ἐμόνασε, τὸν Δούκαν προχειρισάμενος βασιλέα. οἷος ἦν τὸ ἦθος ὁ Κομνηνός.

8. Ἐπιβουλὴ κατὰ τοῦ βασιλέως καὶ ὅπως ταύτην διέφυγεν. οἷος ἦν ὁ Δούκας τοὺς τρόπους. ὅτι ἐκ φειδωλίας δώροις ἤθελε φιλιοῦν τῇ Ῥωμαίων ἀρχῇ.

9. Περὶ τοῦ ἔθνους τῶν Οὔζων. περὶ σεισμοῦ.[1]) περὶ ἀστέρος κομήτου. περὶ πατριαρχῶν. ὅτι νοσήσας ὁ βασιλεὺς καὶ ἐκλείπων τοῖς υἱοῖς τὴν[2]) βασιλείαν κατέλιπε, κἀκείνοις τὴν μητέρα ἐπέστησεν, ὀμόσασαν ἐγγράφως μὴ δευτερογαμῆσαι. τελευτὴ Κωνσταντίνου βασιλέως τοῦ Δούκα. PII361

10. Ὅτι ἡ βασιλὶς Εὐδοκία βασιλέα τοῖς πράγμασιν ἐπιστῆσαι ἐβουλεύσατο. περὶ τοῦ Διογένους καὶ οἷος ἦν τὸ γένος καὶ τὴν ἰσχύν. ὅτι τυραννῆσαι βουλευσάμενος κατεσχέθη ὁ Διογένης, καὶ μέλλων κολασθῆναι ἀφείθη καὶ εἰς κγλ ἀφωρίσθη.[3]) ὅπως ἠπατήθη ὁ πατριάρχης καὶ δέδωκε τῇ δεσποίνῃ τὸ τοῦ ὅρκου αὐτῆς ἔγγραφον. ὅτι συνήφθη τῇ βασιλίδι Εὐδοκίας ὁ Διογένης καὶ ἀνεῤῥήθη.

11. Ὅτι ἐξεστράτευσεν ὁ Διογένης ἐν τῇ ἑῴᾳ καὶ ὅσα ἐποίησεν. ὅτι καὶ πρὸς Συρίαν ὥρμησεν ὁ βασιλεὺς καὶ τὴν Ἱεράπολιν ἔλαβε καὶ τοὺς Χαλεπίτας ἐτρέψατο. ἧττα τῶν βαρβάρων. ἅλωσις ὑπὸ[4])

1) σεισμοῦ pro σεισμῶν 2) τὴν] addit 3) καὶ εἰς — ἀφωρίσθη] addit: sed vox media, sic fere ut supra positum scripta, quum desiderari videatur Καππαδοκίαν, quomodo sit expediendа incertum 4) ὑπὸ] om.

Ῥωμαίων φρουρίων τινῶν βαρβαρικῶν καὶ ἀγγελία τῷ βασιλεῖ λαφυραγωγηθῆναι τὸ Ἀμόριον.

12. *Ἑτέρα ἐκστρατεία τοῦ βασιλέως καὶ ὅσα ἐν ταύτῃ συνέβησαν. περὶ τοῦ ἐμπρησμοῦ τοῦ ναοῦ τῶν Βλαχερνῶν. περὶ τοῦ Κομνηνοῦ Μανουὴλ καὶ ὅπως ἐλήφθη αἰχμάλωτος, καὶ ὅπως ἐπανῆλθεν, ἄγων καὶ τὸν ἑλόντα αὐτὸν Τοῦρκον πρόσφυγα τῷ βασιλεῖ.*

13. *Ἡ τελευταία ἐκστρατεία τοῦ Διογένους καὶ ὅσα ἐν αὐτῇ σημεῖα συνέβησαν. περὶ τῆς τῶν Νεμίτζων ἀποστασίας καὶ ὅτι διεῖλεν ὁ Διογένης τὸ στράτευμα, καὶ οὐ μετὰ πολλῶν ἐκεῖνος περιελείφθη. ὅτι τὸν Βρυέννιον ἔστειλαν συμβαλεῖν τοῖς Τούρκοις, εἶτα καὶ τὸν Βασιλάκιον, καὶ ὡς ἑάλω ὁ Βασιλάκιος.*[1])

14. *Ὅτι Οὖζοι πρὸς τοὺς Τούρκους ηὐτομόλησαν, καὶ ὅτι μετεκαλέσατο καὶ τὸ στράτευμα, ὃ διεῖλεν ὁ βασιλεύς· οἱ δὲ οὐκ ἀφίκοντο, καὶ ὅτι τοῦ βασιλέως ἑτοιμαζομένου πρὸς πόλεμον ἐκ τοῦ Σουλτὰν πρέσβεις ἥκασι περὶ εἰρήνης. ὅτι ὑποστρεψάντων τῶν πρέσβεων ὁ βασιλεὺς πρὸς μάχην ὥρμησε καὶ ὅπως ἡττήθη καὶ ἑάλω. ὅπως ὁ Σουλτὰν ἐχρήσατο τῷ βασιλεῖ ἀπαχθέντι πρὸς αὐτόν. τίνα γεγόνασιν ἐν τοῖς βασιλείοις τῆς ἁλώσεως ἀγγελθείσης.*[2])

15. *Ὅτι προστάγματα ἐπέμφθησαν πανταχοῦ μὴ δέχεσθαι τὸν Διογένην ὡς βασιλέα, καὶ ὅτι τοῦ Καίσαρος υἱοὶ ἐστάλησαν κατ' αὐτοῦ. ὅπως κατεκλείσθη ὁ Διογένης καὶ ἐπολιορκεῖτο.*[3]) *καὶ ὅτι ἐπὶ*

---

1) *ὅτι τὸν Βρυέννιον — Βασιλάκιος*] addit 2) *τίνα — ἀγγ.* addit, post quae sequitur vocabulum cuius initium *ουτ* vix, minus etiam ceteri ductus possunt legi, quum etiam illa *ἐν — ἀγγελθείσης* propemodum sint extrita 3) *καὶ ἐπολιορκεῖτο*] addit.

συνθήκαις παρέδωκεν ἑαυτόν.[1] *ὅτι ἐν τῇ Πρώτῃ νήσῳ ἀπαχθεὶς ἐτελεύτησεν ὁ Διογένης.*

16. *Ὅτι τὸν Σίδης ἐπέστησε τοῖς πράγμασι πρότερον, εἶτα τὸν Νικηφορίτζην. ὅτι ἀμελῶν τῶν τῆς βασιλείας πραγμάτων λόγοις ἐσχόλαζεν*[2] *ὁ Μιχαήλ. ὅτι ὁ Σουλτὰν τὰ κατὰ τὸν Διογένην μαθὼν τὴν ἑῴαν κατέτρεχεν. ὅτι ὁ Κομνηνὸς Ἰσαάκιος ἐστάλη μετὰ τοῦ Ῥουσελίου τοῖς Τούρκοις ἀντιταξόμενος, καὶ ἡττηθεὶς ἑάλω, καὶ ὁ Ῥουσέλιος ἀπεστάτησεν. ὅτι ὁ Καῖσαρ σταλεὶς κατὰ τοῦ Ῥουσελίου ἡττήθη καὶ ἑάλω. ὅτι ὁ βασιλεὺς Τούρκους κατὰ τοῦ Ῥουσελίου μετεπέμψατο, ὁ δὲ λύσας τὸν Καίσαρα βασιλέα ἀνεῖπε· καὶ συμμίξας τοῖς Τούρκοις αἰχμάλωτος καὶ αὐτὸς καὶ ὁ Καῖσαρ ἐλήφθησαν. ὅτι ὁ Καῖσαρ διὰ τοῦ βασιλέως ἐξωνηθεὶς ἐκείρατο καὶ μοναχὸς γέγονεν. ὅτι ὁ βασιλεὺς Ἀλέξιος εἷλε τὸν Ῥουσέλιον. ὅπως ἐκλήθη Παραπινάκιος οὗτος ὁ βασιλεύς.*

17. *Περὶ τοῦ τῶν Χροβάτων*[3] *ἔθνους. περὶ τῆς ἀποστασίας τοῦ δούλου Νέστορος. ὅτι υἱὸς ἐτέχθη τῷ*[4] *βασιλεῖ, καὶ ἐστέφθη παρ᾽ αὐτοῦ. περὶ τοῦ τεχθέντος σημειώδους παιδός. περὶ τοῦ ἐν τῇ βασιλείᾳ τούτου γενομένου λιμοῦ καὶ λοιμοῦ. ὅτι ὁ Βοτανειάτης παρὰ τῶν ἑῴων ἀρχόντων*[5] *βασιλεὺς ἀνερρήθη. ὅτι καὶ ἐν τῇ δύσει ὁ Βρυέννιος Νικηφόρος ἀποστασίαν*[6] *ἐπεχείρησεν. ὅτι ὁ Κομνηνὸς Ἀλέξιος καὶ ὁ Ῥουσέλιος ἀπεστάλησαν κατὰ τοῦ Βρυεννίου.*

---

1) Post haec evanida nonnulla, quorum legi potest *ὅτι πρότερον μὲν φάρμακον ἐκεράσθη τῷ Διογένει* et fortasse *ἐπέμφθη* 2) *ἐσχόλαζεν* pro *ἐσχόλασεν* 3) *Χροβάτων*] *χορβάτων* 4) *τῷ* pro *τὸν* 5) *ἀρχόντων*] *ἄρχεται* 6) *ἀποστασίαν*] *αν* per compendium, et mox *βρυένιος* et *βρυενίου*.

18. *Περὶ πατριαρχῶν. ὅτι οἱ Τοῦρκοι τὰς Ῥωμαϊκὰς κατέσχον χώρας ἐν τῇ ἑῴᾳ καὶ ᾠκειώσαντο. ὅτι ὁ Βοτανειάτης κατέσχε τὴν Νίκαιαν. ὅτι ὁ δῆμος τῆς πόλεως βασιλέα ἀνεῖπε τὸν Βοτανειάτην καὶ τὸν Μιχαὴλ καθεῖλον καὶ ἀπέκειραν. ὅπως ὁ Βοτανειάτης τῆς βασιλείας ἐδράξατο.*

19. *Ὅπως ὁ Βρυέννιος τυραννῶν ἑάλω καὶ ἐτυφλώθη. ἐπανάστασις τῶν Βαράγγων. ὅτι τὴν πρὸ τοῦ αὐτοῦ βασιλέως γυναῖκα ἔγημεν ὁ Βοτανειάτης. ὅτι Μητροπολίτης Ἐφέσου ἐχειροτονήθη ὁ τῆς βασιλείας ἐκπεσὼν Μιχαήλ. ἀποστασία τοῦ Βασιλακίου καὶ ἅλωσις, καὶ πήρωσις τῶν ὀφθαλμῶν αὐτοῦ. ἀποστασία Κωνσταντίνου τοῦ υἱοῦ τοῦ Δούκα. ὅτι τὸν Σίδην εἰς διοίκησιν τῶν κοινῶν ὁ βασιλεὺς προεστήσατο καὶ περὶ τοῦ Γερμανοῦ καὶ τοῦ Βοτανειάτου.*[1]) *περὶ τοῦ λογοθέτου Νικηφόρου, καὶ ὅπως ἀνῃρέθη.*

20. *Περὶ τῶν Κομνηνῶν, καὶ πῶς εἰς ἀποστασίαν ὥρμησαν, ὅπως τῆς πόλεως ἐκράτησαν καὶ τῆς βασιλείας ἐπέτυχον. ὅτι ὁ Βοτανειάτης ἀπεκάρη καὶ εἰς τὴν Περίβλεπτον*[2]) *ἀπελθὼν ἐκεῖ ἐτελεύτησε.*

21. *Περὶ τῶν ἀδελφῶν τοῦ βασιλέως καὶ τῆς μητρὸς καὶ τῶν γαμβρῶν.*[3]) *περὶ πατριαρχῶν. περὶ*

---

1) *Βοτανειάτου*] *βορίλου*, qui sic etiam in textu 2) *Περιβλέπτου*] *περιβλεπτ*, ultima compendio expressa, *ι* autem resecto, et accentu, ut videtur, carente. Ante *ὅτι ὁ Βοτανειάτης* autem haec fere partim evanida: *ὅσα καὶ οἷα γεγόνασι παρὰ τοῦ . . . εἰσελθόντος εἰς τὴν . . . . . πόλιν* 3) Post haec margo ad paullo infra sequentia *ἐντεῦθεν τῶν βασιλείων προσόδων* nonnulla partim resecta, unde apparent tantum particulae vocabulorum *ἐσχόλα . . . τῶν ἀξιωμάτων ῥόγαν ὁ κομνηνός· ἔστεψε τὴν . . σύζυγον . . βασιλίσ* et aliae quaedam syllabae quae vix possunt extricari.

τοῦ Ῥομπέρτου τοῦ . . . καὶ ὅπως πρότερον μὲν ἐτιμήθη βασιλεὺς προσβαλὼν αὐτῷ, εἶτα ἐνίκησε.[1])

22. *Περὶ τῶν νήσων, ὅπως ἑάλωσαν. περὶ τοῦ Τζαχᾶ. περὶ τῆς Κρήτης καὶ τῆς Κύπρου. ὅσα ἐποίησεν οὗτος ὁ βασιλεὺς πρὸς κάκωσιν τῶν ὑπηκόων. περὶ τῶν* |ῑ|[2]). *περὶ τῶν θυγατέρων τοῦ βασιλέως καὶ τῶν υἱῶν καὶ τῶν ἐπὶ θυγατράσι γαμβρῶν. περὶ τοῦ μεγάλου σεισμοῦ.*

23. *Περὶ τῶν Πατζινάκων καὶ ὅπως κατετρώθησαν. περὶ ἐπιβουλῆς κατὰ τοῦ βασιλέως μελετηθείσης. ἑτέρα ἐπιβουλή. περὶ τῆς τῶν Φράγγων συγκινήσεως καὶ πρὸς τὴν ἑῴαν αὐτῶν διαπεραιώσεως. περὶ τῆς τῶν Βογομίλων αἱρέσεως καὶ ὅπως ὁ ταύτης κῆρυξ διεφθάρη. ἐπανάστασις τοῦ Ψευδοδιογένους.*

24. *Περὶ τοῦ ὀρφανοτροφείου. μελέτη κατὰ τοῦ βασιλέως, οὗ*[3]) *ὁ κορυφαῖος ὁ Ἀνεμᾶς. δρῶπαξ τὸ χρίσμα δι' οὗ μαδᾶται ἡ τρίχωσις. ἀνεχώρησε*[4]) *τῶν βασιλείων ἡ μήτηρ τοῦ βασιλέως, καὶ ἀπελθοῦσα εἰς τὸν*[5]) *Παντεπόπτην ἐκεῖ ἐτελεύτησεν. τελευτὴ τοῦ σεβαστοκράτορος. ὅπως διέκειτο πρῴην πρὸς τὴν κοινωνὸν τοῦ βίου*[6]) *ὁ βασιλεύς, καὶ ὅπως μετέπειτα. ὅτι ἡ τῆς βασιλείας ἐξουσία τῇ βασιλίδι ἀνατεθῆναι μεμελέτητο, ὁ δὲ υἱὸς ταύτης καὶ βα-*

---

1) *περὶ τοῦ — ἐνίκησε* addit litteris partim evanidis (nam *πρ*(ο)*βαλ αυτ* tantum apparet et *ἐνίκη* pro iis quae hic sunt posita) 2) *περὶ τῶν* |ῑ| addit. Legendum videtur *νομισμάτων* 3) sic etiam cod. 4) *μαδᾶται ἡ τρίχωσις* pro *ἡ τρ. ἀφαιρεῖται* et *ἀνεχώρησε* pro *ἀναχωρηθεῖσα* 5) *τὸν* pro *τὴν* 6) *τὴν κοινωνὸν τοῦ βίου*] pro his *τὴν αὐ* (*τοῦ* evanuit).

σιλεὺς ἀντέπραττε τούτῳ[1]), *ὡς ἐνόν, καὶ ὡς ἀπείρητο πᾶσιν αὐτῷ προσιέναι.*[2])

25. *Περὶ πατριαρχῶν. περὶ τῆς νόσου τοῦ βασιλέως καὶ ὅπως ἀνερρώσθη. περὶ τῆς φήμης τῆς*[3]) *γενομένης κατὰ τὸ μέγα σάββατον.*

26. *Περὶ τῆς εἰς Χερρόνησον ἐκδημίας τοῦ βασιλέως. ὅτι προυκάθητο ἐν τῷ Φιλοπατίῳ καὶ τῶν δεομένων ἠκροᾶτο καὶ αὐτίκα τὰς ἀποκρίσεις πεποίητο. ἐκδημία ἑτέρα τοῦ βασιλέως. ὅτε καὶ πολλοὶ τῶν Μανιχαίων ἐπέστρεψαν εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. περὶ τῆς Αὐγούστης καὶ τοῦ Καίσαρος Βρυεννίου καὶ τῆς αὐτοῦ συζύγου.*[4]) *περὶ ἐμπρησμοῦ καὶ ἀνέμων.*[5])

27. *Ἐκστρατεία Τούρκων. ἑτέρα ἐκστρατεία καὶ πρ..σις* $\overset{\text{ου}}{\text{μς}}$ *σουλτ̈* litteris partim evanidis pariterque *ὅτι μετηνέχθη ὁ βασιλεὺς εἰς τὸ μέγα παλάτιον κἀκεῖ τὸν στόμαχον καυθεὶς εἰς τὰ μάγγανα μετήχθη.*[6])

29. *Ὅτι τοῦ βασιλέως τὰ τελευταῖα πνέοντος ὁ υἱὸς ἐξελθὼν τῶν μαγγάνων ἀπ.. εἰς τὸ μέγα παλ. καὶ αὐτοὶ προσερρυ.*[7]) *οἷος ἦν τοὺς τρόπους καὶ τὸ ἦθος ὁ βασιλεὺς Ἀλέξιος.*

---

1) *τούτῳ*] *τοῦτο* 2) sequuntur in cod. nonnulla de Raimundo litteris partim evanidis, *ι τοῦ ῥαϊμούνδου ὅπως παραβὰς τὰς συνθήκας κατὰ ῥωμαίων ἐχώρησεν ... μηδὲν ἀνύσας .... εἴσατο* 3) *τῆς*] addit 4) *ὅτι προυκάθητο — ἐπίγνωσιν* et *περὶ τῆς Αὐγούστης — συζύγου*] addit 5) *καὶ ὑ* addit, etsi nihil de *ὑετοῖς* est in textu 6) *ἑτέρα — μετήχθη*] addit 7) *ὅτι τοῦ βασιλέως — προσερρυ*] addit.

Ταῦθ' ἱστορεῖ ο Καισαρεὺς Εὐσέβιος ὁ Παμφίλου PII313
ἐν τῷ λόγῳ ὃς ἐκλήθη Βασιλικός.
Ἀρχὴ κόσμου.

Ἐπιτομὴ χρόνων τῶν ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ ͵ϛφπθ' ἔτους, ἕως τῆς ἀρχῆς τῆς βασιλείας τοῦ κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ.[1])

Ἀδὰμ ἐγέννησε τὸν Σὴθ	*ἐτῶν*	*σλ'*	*σλ'*
Σὴθ ἐγέννησε τὸν Ἐνὼς	*ἐτῶν*	*σξ'*	*υλε'*
Ἐνὼς ἐγέννησε τὸν Καϊνὰν	*ἐτῶν*	*ρϟ'*	*χκε'*
Καϊνὰν ἐγέννησε τὸν Μαλαλεὴλ	*ἐτῶν*	*ρο'*	*ψϟε'*
Μαλαλεὴλ ἐγέννησε τὸν Ἰαρὲδ	*ἐτῶν*	*ρξε'*	*ϡξ'*
Ἰαρὲδ ἐγέννησε τὸν Ἐνὼχ	*ἐτῶν*	*ρξβ'*	*͵αρκβ'*
Ἐνὼχ ἐγέννησε τὸν Μαθουσάλα	*ἐτῶν*	*ρξε'*	*͵ασπζ'*
Μαθουσάλα ἐγέννησε τὸν Λαμὲχ	*ἐτῶν*	*ρξζ'*	*͵αυνδ'*
Λαμὲχ ἐγέννησε τὸν Νῶε	*ἐτῶν*	*ρπη'*	*͵αχμβ'*
Νῶε ἐγέννησε τὸν Σὴμ	*ἐτῶν*	*φ'*	*͵βρμβ'*
Σὴμ ἐγέννησε τὸν Ἀρφαξὰδ	*ἐτῶν*	*ρα'*	*͵βσμγ'*
Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνὰν	*ἐτῶν*	*ρλ'*	*͵βτογ'*
Καϊνὰν ἐγέννησε τὸν Σάλα	*ἐτῶν*	*ρλε'*	*͵βφη'*
Σάλα ἐγέννησε τὸν Ἕβερ	*ἐτῶν*	*ρλ'*	*͵βχλη'*
Ἕβερ ἐγέννησε τὸν Φαλὲκ	*ἐτῶν*	*ρλγ'*	*͵βψοα'*
Φαλὲκ ἐγέννησε τὸν Ῥαγαῦ	*ἐτῶν*	*ρλ'*	*͵βϡα'*
Ῥαγαῦ ἐγέννησε τὸν Σεροὺχ	*ἐτῶν*	*ρλβ'*	*͵γλγ'*

---

1) De hac epitome v. Ducangius praef. vol. 1, p. XXI huius ed.

Σεροὺχ ἐγέννησε τὸν Ναχὼρ	ἐτῶν	ρλ'	,γρξγ'
Ναχὼρ ἐγέννησε τὸν Θάρα	ἐτῶν	οθ'	,γσμβ'
Θάρα ἐγέννησε τὸν Ἀβραὰμ	ἐτῶν	ο'	,γτιβ'
Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ	ἐτῶν	ρ'	,γυιβ'
Ἰσαὰκ ἐγέννησε τὸν Ἰακὼβ	ἐτῶν	ξ'	,γυοβ'
Ἰακὼβ ἐγέννησε τὸν Λευὶ	ἐτῶν	πβ'	,γφνδ'
Λευὶ ἐγέννησε τὸν Καὰθ	ἐτῶν	μζ'	,γχα'
Καὰθ ἐγέννησε τὸν Ἀβρὰμ	ἐτῶν	ξ'	,γχξα'
Ἀβρὰμ ἐγέννησε τὸν Μωϋσῆ	ἐτῶν	οε'	,γψλϛ'
Μωυσῆς ἔζησεν	ἔτη	ρκ'	,γωνϛ'
Ἰησοῦς ἡγήσατο Ἰσραὴλ	ἔτη	κδ'	,γωπ'
Φινεὲς ἱεράτευσε τοῦ Ἰσραὴλ	ἔτη	κδ'	,γϡε'
Χουσὰρ ἐβασίλευσε τοῦ Ἰσραὴλ	ἔτη	ν'	,γϡνε'
Γοθονιὴλ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	μ'	,γϡϟέ
Εγλὼμ ἐβασίλευσε τοῦ Ἰσραὴλ	ἔτη	ιη'	,διγ'
Ἀὼθ καὶ Σεπφόρα ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	π'	,δρκϛ'
Ἰαβεὶμ ἐβασίλευσε τοῦ Ἰσραὴλ	ἔτη	κ'	,δρκϛ'
PII315 Δεβώρα ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	μ'	,δρξϛ'
Ὠρὴβ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	ζ'	,δρογ'
Γεδεὼν ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	μ'	,δσιγ'
Ἀβιμελὲχ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	γ'	,δσιϛ'
Θωλᾶς ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	κγ'	,δσλθ'
Ἰαὰρ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	κβ'	,δσξα'
Ἀμὰν ἐβασίλευσε τοῦ Ἰσραὴλ	ἔτη	ιη'	,δσοθ'
Ἰεφθάε ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	ϛ'	,δσπε'
Ἐσβὰλ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	ζ'	,δοϟβ'
Ἐλὼμ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	ι'	,δτβ'
Ἀβδὼμ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	η'	,δτι'
Φιλιστιεὶμ ἐβασίλευσαν τοῦ Ἰσραὴλ	ἔτη	λ'	,δτμ'
Σαμψὼμ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	κ'	,δτξ'
Ἀναρχία καὶ εἰρήνη τοῦ Ἰσραὴλ	ἔτη	λβ'	,δτϟβ'
Ἡλεὶ ὁ ἱερεὺς ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	κ'	,δυιβ'

Κατὰ δὲ τοὺς χρόνους Ἠλεὶ τοῦ ἱερέως ὁ πρὸς τοὺς Τρῶας πόλεμος συνέστη τοῖς Ἕλλησιν· καθ' οὓς καὶ Ὅμηρος ἤκμαζεν.

Σαμουὴλ ἔκρινε τὸν Ἰσραὴλ	ἔτη	κ'	,δυλβ'
Σαοὺλ ἐβασίλευσε τοῦ Ἰσραὴλ	ἔτη	κ'	,δυνβ'
Δαβὶδ ἐβασίλευσε τοῦ Ἰσραὴλ	ἔτη	μ'	,δυϟβ'

Ἀπὸ δὲ τῆς βασιλείας Δαβὶδ ἕως τῆς τῶν Ῥωμαίων βασιλείας ἔτη ϡμ', ἀπὸ δὲ κτίσεως κόσμου ἔτη πεντακισχίλια υν'.

Γάιος Ἰούλιος ἐβασίλευσεν	ἔτη	δ'	,ευν'
Αὔγουστος ἐβασίλευσεν	ἔτη	νϛ'	,εφϛ'

Τῷ τούτου μβ' ἔτει τῆς βασιλείας γεννᾶται ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ σάρκα ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐκ τῆς ἀειπαρθένου Μαρίας, καὶ πάσχει τὸ ἑκούσιον πάθος ἐν τῷ ιη' ἔτει τῆς βασιλείας Τιβερίου Καίσαρος· τῷ γὰρ ιε' τοῦ αὐτοῦ Τιβερίου ἐβαπτίσθη.

Τιβέριος ἐβασίλευσεν	ἔτη	κβ'	,εφκη'
Γάιος ἄλλος ἐβασίλευσεν	ἔτη	δ'	,εφλβ'
Κλαύδιος ἐβασίλευσεν	ἔτη	ιδ'	,εφμϛ'
Νέρων ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν	ἔτη	ιδ'	,εφξ'
Γάλβας	μῆνας	ζ'	
Ὄθων	μῆνας	γ'	
Οὐιτέλλιος	μῆνας	η'	
Οὐεσπασιανὸς ἐβασίλευσεν	ἔτη	ι'	,εφοα'
Τίτος ἐβασίλευσεν	ἔτη	γ'	,εφοδ'

Ἐπὶ τούτου καὶ ἡ τῶν Ἱεροσολύμων ἅλωσις γέγονε καὶ ἡ παντελὴς τῶν Ἰουδαίων ἐρήμωσις. ἀπὸ δὲ τῆς τοιαύτης ἁλώσεως ἕως τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου ἤτοι τῆς τῶν Χριστιανῶν βασιλείας ἔτη σλζ', ἀπὸ δὲ κτίσεως κόσμου ἔτη ,εωμα', ἀπὸ δὲ τῆς τοῦ Χριστοῦ ἀναλήψεως ἕως τῆς ἁλώσεως Ἱεροσολύμων ἔτη μη'.

PII317 *Κωνσταντῖνος ὁ μέγας*	*ἔτη*	*λγ'*	*,εωμα'*
Κωνστάντιος ὁ υἱὸς αὐτοῦ	*ἔτη*	*κδ'*	*,εωξε'*
Ἰουλιανὸς ὁ παραβάτης	*ἔτη*	*β'*	*,εωξζ'*
Ἰοβιανὸς	*ἔτος*	*α'*	*,εωξη'*
Οὐαλεντινιανὸς	*ἔτη*	*ιβ'*	*,εωπ'*
Οὐάλης ὁ ἀδελφὸς αὐτοῦ	*ἔτη*	*γ'*	*,εωπγ'*
Γρατιανὸς	*ἔτη*	*γ'*	*,εωπϛ'*
Θεοδόσιος ὁ μέγας	*ἔτη*	*ιζ'*	*,εϡ'*
Ἀρκάδιος ὁ υἱὸς αὐτοῦ	*ἔτη*	*ιγ'*	*,εϡιγ'*
Θεοδόσιος ὁ μικρὸς	*ἔτη*	*μβ'*	*,εϡνε'*
Μαρκιανὸς	*ἔτη*	*ϛ'*	*,εϡξα'*
Λέων ὁ μέγας	*ἔτη*	*ιζ'*	*,εϡοη'*
Λέων ὁ μικρὸς	*ἔτος*	*α'*	*,εϡοθ'*
Ζήνων ἐβασίλευσεν	*ἔτη*	*ιϛ'*	*,εϡϟϛ'*
Ἀναστάσιος ἐβασίλευσεν	*ἔτη*	*κζ'*	*,ϛκγ'*
Ἰουστῖνος ὁ γέρων	*ἔτη*	*θ'*	*,ϛλβ'*
Ἰουστινιανὸς ὁ μέγας	*ἔτη*	*λθ'*	*,ϛοα'*
Ἰουστῖνος ὁ νέος	*ἔτη*	*ιγ'*	*,ϛπδ'*
Τιβέριος	*ἔτη*	*δ'*	*,ϛπδ'*
Μαυρίκιος	*ἔτη*	*κ'*	*,ϛρθ'*
Φωκᾶς ὁ τύραννος	*ἔτη*	*η'*	*,ϛριζ'*
Ἡράκλειος	*ἔτη*	*λα'*	*,ϛρμη'*
Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ	*ἔτος*	*α'*	*,ϛρμθ'*
Ἡράκλειος ὁ υἱὸς αὐτοῦ	*μῆνας*	*ϛ'*	
Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ	*ἔτη*	*κζ'*	*,ϛροϛ'*
Κωνσταντῖνος ὁ πατὴρ Ἰουστινιανοῦ	*ἔτη*	*ιζ'*	*,ϛρϟϛ'*
Ἰουστινιανὸς τὸ πρῶτον	*ἔτη*	*ι'*	*,ϛσγ,*
Λεόντιος	*ἔτη*	*γ'*	*,ϛσϛ,*
Τιβέριος Ἀψίμαρος	*ἔτη*	*ζι'*	*,ϛσιγ'*
Ἰουστινιανὸς τὸ β' καὶ Τιβέριος ὁ υἱὸς αὐτοῦ	*ἔτη*	*ϛ'*	*,ϛσιθ'*
Φίλιππος ὁ Βαρδάνης	*ἔτη*	*β' μῆν. η'*	*,ϛσκα'*
Ἀναστάσιος ὁ Ἀρτέμιος	*ἔτη*	*β'*	*,ϛσκγ'*
Θεοδόσιος ὁ Ἀτραμυτινὸς	*ἔτος*	*α'*	*,ϛσκδ'*
Λέων ὁ Ἴσαυρος	*ἔτη*	*κδ'*	*,ϛσμη'*
Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ Κοπρώνυμος	*ἔτη*	*κδ'*	*,ϛσοβ'*

Λέων ὁ υἱὸς αὐτοῦ	ἔτη	ε΄	͵ϛσπζ΄
Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ σὺν τῇ μητρὶ	ἔτη	ι΄	͵ϛσϞζ΄
Κωνσταντῖνος μόνος ὁ υἱὸς αὐτοῦ	ἔτη	ζ΄	͵ϛτδ΄
Εἰρήνη μόνη ἡ μήτηρ αὐτοῦ	ἔτη	ε΄	͵ϛτθ΄
Νικηφόρος ὁ ἀπὸ γενικῶν	ἔτη	η΄ μῆν. θ΄	͵ϛτιζ΄
Σταυράκιος ὁ υἱὸς αὐτοῦ	μῆνας	γ΄	
Μιχαὴλ ὁ Ῥαγαβὲ	ἔτος	α΄ μῆν. θ΄	͵ϛτκ΄
Λέων ὁ Ἀρμένιος	ἔτη	ϛ΄ μῆν. ε΄	͵ϛτκζ΄
Μιχαὴλ ὁ Τραυλὸς	ἔτη	η΄ μῆν. θ΄	͵ϛτλϛ΄
Θεόφιλος ὁ υἱὸς αὐτοῦ	ἔτη	ιβ΄ μῆν. γ΄	͵ϛτμη΄
Μιχαὴλ ὁ υἱὸς αὐτοῦ	ἔτη	κϛ΄	͵ϛτοδ΄
Βασίλειος ὁ Μακεδὼν	ἔτη	ιθ΄	͵ϛτϟγ΄
Λέων ὁ υἱὸς αὐτοῦ	ἔτη	κε΄ μῆν. η΄	͵ϛυιθ΄
Ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ	ἔτος	α΄	͵ϛυκ΄ PII319
Κωνσταντῖνος ὁ υἱὸς Λέοντος	ἔτη	μη΄	͵ϛυξη΄
Ῥωμανὸς ὁ υἱὸς αὐτοῦ	ἔτη	γ΄	͵ϛυοα΄
Νικηφόρος ὁ Φωκᾶς	ἔτη	ϛ΄	͵ϛτυοη΄
Ἰωάννης ὁ Τζιμίσκος	ἔτη	ϛ΄	͵ϛυπδ΄
Βασίλειος ὁ Βουλγαροκτόνος	ἔτη	νε΄ σὺν τῷ ἀδελφῷ Κωνσταντίνῳ	͵ϛφλζ΄

Ἐν οἷς βασιλεῦσι Σέργιος ὁ πατριάρχης τὸν πάπαν Ῥώμης ἀπὸ τῶν διπτύχων ἐξέωσεν.

Ῥωμανὸς ὁ Ἀργυρόπολος	ἔτη	ε΄ μῆν. ϛ΄	͵ϛφμβ΄
Μιχαὴλ ὁ Παφλαγὼν	ἔτη	ζ΄	͵ϛφμθ΄
Μιχαὴλ ὁ ἀνεψιὸς αὐτοῦ	ἔτη	δ΄	͵ϛφνγ΄
Κωνσταντῖνος ὁ Μονομάχος	ἔτη	ιγ΄	͵ϛφξγ΄
Θεοδώρα ἡ Πορφυρογέννητος	ἔτος	α΄	͵ϛφξε΄
Μιχαὴλ ὁ ἀπὸ Στρατιωτικῶν	ἔτος	α΄	͵ϛφξϛ΄
Ἰσαάκιος ὁ Κομνηνὸς	ἔτη	β΄	͵ϛφξη΄
Κωνσταντῖνος ὁ Δούκα	ἔτη	ϛ΄	͵ϛφοε΄
Ῥωμανὸς ὁ Διογένης	ἔτη	γ΄	͵ϛφοθ΄
Μιχαὴλ ὁ υἱὸς τοῦ Δούκα	ἔτη	ϛ΄	͵ϛφπε΄
Νικηφόρος ὁ Βατανιάτης	ἔτη	γ΄	͵ϛφπη΄
Ἀλέξιος ὁ Κομνηνὸς	ἔτη	λη΄	͵ϛχκϛ΄

Οὗτος ἦρξε τῆς βασιλείας ἀπὸ τοῦ ͵ϛφπθʹ ἔτους, ἰνδικτιῶνος δʹ, καὶ μηνὸς ἀπριλίου αʹ, τῇ μεγάλῃ πέμπτῃ, ὅτε καὶ ἡ ἁρπαγὴ γέγονε.

Ἀπὸ κυρίου Ἀλεξίου τοῦ βασιλέως ἕως ἄρτι ἔτη σμεʹ, ἔτους ͵ϛωξηʹ.